πολλοὺς δ' ὥρορε φῆμις ἰδεῖν σέβας ὁρμηθέντας
ἠϊθέων δελφῖνι συνηβώοντας ἑταίρους·
πολλαὶ δ' ἠϊόνων ἀγοραὶ πέλας ἦμαρ ἐπ' ἦμαρ

qui de-industria delphinis machinatus-est interitum.
Æque enim cum-humanis abhorrent cædibus
dii marinorum exitialem necem ducum;
similes enim *sunt* hominibus cogitationes et ministris
Jovis in-mari-sonantis; quocirca etiam amore generis *sui*
utuntur, valde autem sunt conjuncti sibi-mutuo.
Jam enim delphines mites hominibus qualem
capturam facilem in pisces instruunt
insula in Eubœa in fluctibus Ægæis!
Cum enim vespertinæ piscationis labore occupantur
piscatores, piscibus ignis ferentes terriculamentum,
lampadis æneæ velox lumen; tunc sectantur *eos*
delphines, ad-sociam-piscationem festinantes perniciosam.
Ibi quidem trementes recessim declinant
pisces, at exterius irruentes conjunctim
delphines fugant *eos* et cupientes ad profundum
verti ad terram exosam impellunt,
crebro insilientes, velut viris venatoribus
feram canes agitantes alternis latratibus.
Hos vero prope ad terram perterritos piscatores
facile configunt acuto tridente;
his autem interclusæ *sunt* viæ, saliunt autem in mari
et ab-igne et a-delphinis impulsi regibus.
Sed postquam piscationis felicis opus confectum-est,
tunc sane exigunt prope accedentes
mercedem societatis, piscationis divisam portionem;
at illi non abnuunt, sed præbent bonæ-capturæ partem
libenter; si enim quis impie violarit *eos*,
non-amplius ipsi delphines auxiliatores sunt ad capturam.
Et quidem aliquis Lesbii antiquum casum cantoris
audivit, quomodo delphini vectus tergo
fluctum nigrum trajecerit sedens, interritus in-pectore,
canens, et necem subterfugerit latronum,
Tænariamque propinquarit ad littora Lacenum.
Et aliquando quis Libyci pueri amorem cognovit fando,
quem quondam pascentem amavit calido amore
delphin, et collusit *ei* juxta littora, et sonora
delectatus fistula cupiebat pecudibus ipsis
misceri mareque relinquere et ad silvam venire.
Sed ne quidem adolescentis amorem universa oblita-est
Æolis, (nequaquam olim, sed nostra ætate),
delphin ut aliquando puerum amarit insulanum
insulam autem incolebat semperque tenebat navalem portum]
tanquam civis, sodalem vero relinquere recusabat
animo,] sed ipsius manebat convictor inde-usque a-parvo,
catulus adultus, parvus infans, moribus pueri
assuefactus; at postquam attigerunt finem robustæ pubertatis,]
et hic quidem inter adolescentes excellebat, sed ille in
-mari] celerrimus delphin aliis præstantior erat,
tunc sane stupendum et ineffabile et insperatum
miraculum erat peregrinis et incolis visu;
multos autem excitabat fama ad-videndam pietatem impulsos,]
adolescentem cum-delphine una-pubescentes sodales;
multæ vero prope littora catervæ in dies singulos

ἰεμένων ἵσταντο σέβας μέγα θηήσασθαι.
Ἔνθ' ὁ μὲν ἐμβεβαὼς ἄκατον κοίλοιο πάροιθεν
ὅρμου ἀναπλώεσκε, κάλει δέ μιν οὔνομ' ἀΰσας
κεῖνο, τό μιν φήμιξεν ἔτι πρώτης ἀπὸ φύτλης·
δελφὶς δ' ἠΰτ' ὀϊστὸς, ἐπεὶ κλύε παιδὸς ἰωλὴν,
κραιπνὰ θεῶν ἀκάτοιο φίλης ἄγχιστος ἵκανε,
σαίνων τ' οὐραίῃ, κεφαλήν τ' ἀνὰ γαῦρος ἀείρων,
παιδὸς ἐπιψαῦσαι λελιημένος· αὐτὰρ ὁ χερσὶν
ἦκα καταρέζεσκε, φιλοφροσύνῃσιν ἑταῖρον
ἀμφαγαπαζόμενος, τοῦ δ' ἵετο θυμὸς ἱκέσθαι
αὐτὴν εἰς ἄκατον παιδὸς πέλας· ἀλλ' ὅτ' ἐς ἅλμην
κοῦφα κυβιστήσειεν, ὁ δ' ἐγγύθι νήχετο κούρου,
αὐτῇσι πλευρῇσι πάρα πλευρὰς ἀναείρων
αὐτῇσι γενύεσσι πέλας γένυν, ἠδὲ καρήνῳ·
ἐγχρίμπτων κεφαλήν· φαίης κέ μιν ἱμείροντα
κύσσαι καὶ στέρνοισι περιπτύξαι μενεαίνειν
ἠΐθεον· τοίῃ γὰρ ὀπάονι νήχετο ῥιπῇ.
Ἀλλ' ὅτε καὶ πελάσειε παρ' ἠόσιν, αὐτίκα κοῦρος
ἁψάμενος λοφιῆς διερῶν ἐπεβήσατο νώτων·
αὐτὰρ ὅγ' ἀσπασίως παιδὸς δέμας ἔμφρονι θυμῷ
δεξάμενος φοίτασκεν, ὅπῃ νόος ἠΐθεόιο
ἦλασεν, εἴτ' ἄρα πόντον ἐπ' εὐρέα τῆλε κελεύοι
στέλλεσθ', εἴθ' αὖτως λιμένος διὰ χῶρον ἀμείβειν,
ἦ χέρσῳ πελάειν, ὁ δ' ἐπείθετο πᾶσαν ἐφετμήν.
Οὔτε τις ἡνιόχῳ πῶλος τόσον ἐν γενύεσσι
μαλθακὸς εὐγνάμπτοισιν ἐφέσπεται ὧδε χαλινοῖς·
οὔτε τις ἀγρευτῆρι κύων ἐθὰς ὀτρύνοντι
τόσσον ὑπεικαθέων ἐπιπείθεται, ᾗ κεν ἄγῃσιν·
οὔτ' ἔτι κεκλομένοιο τόσον θεράποντες ἄνακτος
πειθόμενοι ῥέζουσιν ἑκούσιον ἔργον ἑκόντες,
ὅσσον ὑπ' ἠΐθέῳ δελφὶς φίλος ὀτρύνοντι
πείθετ' ἄνευ ζεύγλης τε βιαζομένων τε χαλινῶν.
Οὐ μέν μιν μοῦνον φορέειν θέλεν, ἀλλὰ καὶ ἄλλῳ
πείθετο, τῷ μιν ἄνωγεν ἄναξ ἑὸς, ἀν δ' ἑκόμιζε
νώτοις, οὔτινα μόχθον ἀναινόμενος φιλότητι.
Τοίη μὲν ζωῷ φιλίη πέλεν· ἀλλ' ὅτε παῖδα
πότμος ἕλε, πρῶτον μὲν ὀδυρομένῳ ἀταλάντος
δελφὶς ἠϊόνεσσιν ἐπέδραμεν, ἥλικα κοῦρον
μαστεύων· φαίης κεν ἐτήτυμον ὅσσαν ἀκούειν
μυρομένου· τοῖόν μιν ἀμήχανον ἄμπεχε πένθος·
οὐδ' ἔτι κικλήσκουσιν ἐπείθετο πολλάκις ἀστοῖς
νησαίοις, οὐ βρῶσιν ὀρεγνυμένην ἐθέλεσκε
δέχνυσθαι, μᾶλλον δ' αἶψα καὶ ἐξ ἁλὸς ἔπλετ' ἄϊστος
κείνης, οὐδέ τις αὐτὸν ἐπεφράσατ', οὐδ' ἔτι χῶρον
ἵκετο· τὸν μέν που παιδὸς πόθος οἰχομένοιο
ἔσβεσε, σὺν δὲ θανόντι θανεῖν ἔσπευσεν ἑταίρῳ.
Ἀλλ' ἔμπης καὶ τόσσον ἐνηείῃ προφέροντας
καὶ τόσον ἀνθρώποισιν ὁμόφρονα θυμὸν ἔχοντας
Θρῃΐκες ὑβρισταὶ, καὶ ὅσοι Βύζαντος ἔχουσιν
ἄστυ, σιδηρείοισι νοήμασιν ἀγρώσσουσιν·
ἦ μέγ' ἀταρτηροὶ καὶ ἀτάσθαλοι· οὐδέ κε παίδων,
οὐ πατέρων φείσαιντο, κασιγνήτους δ' ὀλέκοιεν
ῥηϊδίως· τοῖος δὲ νόμος δυστερπέος ἄγρης.
Μητρὶ μὲν αἰνοτόκῳ δίδυμον γένος ἐγγὺς ὀπηδεῖ

cupientium stabant pietatem insignem contemplari.
Ibi ille quidem conscenso navigio cavum ante
portum navigabat, vocabatque ipsum, nomen exclamans
illud, quo ipsum appellaverat adhuc prima ab ætate;
delphin autem tanquam sagitta, postquam audivit pueri clamorem,] velocriter currens ad-scapham amicam proximus
venit,] blandiensque cauda, caputque superbus attollens,
puerum attingere cupiens; at ille manibus
sensim demulcebat cum benevolentia socium
amplectens, hujus vero cupiebat animus pervenire
ipsam in scapham puerum prope; verum quum in mare
leviter saliisset, ille prope natabat adolescentem,
ad ipsa latera latera attollens,
ipsis genis prope genam, atque capiti
adfigens caput; diceres ipsum cupere
osculari, et pectore amplecti velle
adolescentem; tali enim socio natabat impulsu.
Sed quando etiam propius-accesserat ad littora, statim puer
tangens collum *ejus* humida conscendit terga;
at ille libenter pueri corpus sapiente animo
recipiens ibat, quocunque mens adolescentis
impellebat, sive mare in spatiosum procul juberet
vehi, sive temere portus locum legere,
aut terræ accedere; ille vero auscultabat omnem jussum.
Neque ullus aurigæ equus tam in maxillis
mollis flexibilibus obsequitur ita frenis,
neque ullus venatori canis assuetus incitanti
tantum cedens obtemperat, quocunque duxerit,
neque adhuc vocante tantum ministri rege
obtemperantes peragunt voluntarium opus volentes,
quantum adolescenti delphin amicus incitanti
obediebat absque jugo cogentibusque frenis.
Non quidem ipsum solum gestare cupiebat, sed etiam alii
obsequebatur, cui ipsum jubebat rex ejus, portabatque *eum*
tergis, nullum laborem renuens præ-amore.
Talis quidem vivo amicitia fuit; verum ubi puerum
mors rapuit, primum quidem lugenti similis
delphin littoribus accurrebat, æqualem adolescentem
quærens; diceres veram vocem te-audire
ejulantis; talis ipsum inevitabilis occupaverat luctus;
neque amplius vocantibus obtemperabat sæpius civibus
insulanis, nec cibum præbitum volebat
capere, paulo autem mox etiam ex mari fuit fugitivus
illo, neque quisquam ipsum animadvertit, nec amplius locum *illum*] deveniebat; illum quidem alicubi pueri desiderium defuncti] extinxit, et mortuo commori festinavit sodali.
Verum tamen etiam tantum mansuetudine excellentes
et tam hominibus consentientem animum habentes *delphinos*] Thraces injuriosi, et quicunque Byzantii habitant
urbem, ferreis consiliis capiunt;
certe valde noxii et improbi; neque liberis,
neque parentibus parcerent, fratresque occiderent
facile; talis vero lex *est* crudelis capturæ.
Matrem quidem miseri-partus gemella soboles prope sequitur.

δελφίνων, ἀταλοῖσιν ἀλίγκιον ἠϊθέοισι·
Θρῆϊκες αὖ καὶ τοῖσιν ἀπηνέες ἐντύνονται,
στειλάμενοι δόρυ κοῦφον ἀτάσθαλον ἐς πόνον ἄγρης.
Οἳ μὲν δὴ λεύσσοντες ἐπειγόμενον σκάφος ἀντην
ἀτρεμέες μίμνουσι καὶ ἐς φόβον οὐχ ὁρόωσιν,
οὔ τιν' ὀϊόμενοι μερόπων δόλον, οὐδέ τιν' ἄτην
ἕξεσθαι, σαίνουσι δ' ἐνηέας ἠΰθ' ἑταίρους
γηθόσυνοι χρίμπτοντες ἐὸν χαίροντες ὄλεθρον.
Οἱ δὲ θοῶς ἐλάσαντες ἀκοντιστῆρι τριαίνῃ,
τήν τ' ἀκίδα κλείουσι, βέλος κρυερώτατον ἄγρης,
δελφίνων ἕνα κοῦρον ἀνωΐστῳ βάλον ἄτῃ·
αὐτὰρ ὅγ' ἰδνωθεὶς, ὀδύνης ὕπο πικρὸν ἀχεύων,
αὐτίχ' ὑποβρυχίης εἴσω καταδύεται ἅλμης,
ὀχθίζων σφακέλῳ τε καὶ ἀργαλέῃσιν ἀνίαις·
οἱ δέ μιν οὐκ ἐρύουσι βιώμενοι· ἦ γὰρ ἂν ἄγρης
μαψιδίως ἅλιον καὶ ἐτώσιον ἔργον ἄροιντο·
ἀλλά οἱ ἱεμένῳ δολιχὴν ἐφιᾶσιν ἄγεσθαι·
μήρινθον καὶ νῆα κατασπέρχουσιν ἐρετμοῖς,
ἑσπόμενοι δελφῖνος ἀτυζομένοιο κελεύθοις.
Ἀλλ' ὅτε λευγαλέῃσι κακηπελέων ὀδύνῃσι
κάμνῃ καὶ γλωχῖσι περισκαίρῃσι σιδήρου,
δή ῥα τότ' ἀδρανέων ἀναδύεται, ἅλκιμα γυῖα
κεκμηκὼς, κούφοισιν ἀειρόμενος ῥοθίοισιν,
ὕστατα φυσιόων· μήτηρ δέ μιν οὔποτε λείπει,
ἀλλ' αἰεὶ μογέοντι συνέσπεται ἔκ τ' ἀνιόντι
βυσσόθεν, ἀχνυμένῃ τε καὶ αἰνότατον στεναχούσῃ
εἰδομένῃ· φαίης κεν ὀδυρομένην ὁράασθαι
μητέρα, περθομένης πόλιος περὶ δυσμενέεσσι
παίδων θ' ἑλκομένων ὑπὸ ληΐδα δουρὸς ἀνάγκῃ·
ὡς ἥγ' αἵν' ἀχέουσα δαϊζομένῳ περὶ παιδὶ,
ὥστ' αὐτὴ μογέουσα καὶ οὐτηθεῖσα σιδήρῳ,
δινεύει· τὸν δ' ἄλλον ἑῆς ἀπὸ παῖδα κελεύθου
στέλλει ἐπεμπίπτουσα καὶ ὀτρύνουσα διώκειν·
Φεῦγε, τέκος· μέροπες γὰρ ἀνάρσιοι οὐκέθ' ἑταῖροι
ἡμῖν, ἀλλὰ σίδηρον ἐφοπλίζουσι καὶ ἄγρην·
ἤδη καὶ δελφῖσιν ἐπεντύνουσιν ἄρηα,
σπονδάς τ' ἀθανάτων καὶ ὁμοφροσύνην ἀλιτόντες
ἡμετέρην, τὴν πρόσθεν ἐπ' ἀλλήλοις ἐθέμεσθα.
Τοῖα καὶ ἄφθογγός περ ὅμως τεκέεσσιν ἑοῖσι
μυθεῖται, καὶ τὸν μὲν ἀπέτρεπε τῆλε φέβεσθαι,
τῷ δ' ἑτέρῳ κρυερῶς μεμογηότι συμμογέουσα
αὐτῆς ἄγχ' ἀκάτοιο συνέσπεται, οὐδ' ἀπολείπει·
οὐδέ τις ἱέμενός περ ἀποτρέψειε τεκοῦσαν
οὔτε βαλὼν, οὔτ' ἄλλο φέρων δέος· ἀλλ' ἅμα παιδὶ
ἑλκομένῳ δύστηνος ἀνέλκεται, ὄφρα πελάσσῃ
δυσμενέων ὑπὸ χεῖρας· ἀνάρσιοι, ἦ μέγ' ἀλιτροὶ
οἵδ', οὔτ' οἰκτείρουσιν ἀτυζομένην ὁρόωντες,
οὔτε νόον γνάμπτουσι σιδήρεον, ἀλλὰ καὶ αὐτὴν
χαλκείαις ἀκίδεσσι καταΐγδην ἐλάσαντες,
παῖδά τε καὶ γενέτειραν ὁμῇ συναπέφθισαν ἄτῃ
ἔφθισαν οὐκ ἀέκουσαν, ἐπεὶ περὶ παιδὶ θανόντι
μήτηρ καὶ φρονέουσα καὶ ἱεμένη δεδάϊκται.
Ὡς δ' ὁπότ' ὀρταλίχοισι χελιδόσι νηπιάχοισι
νέρθεν ὑπὲξ ὀρόφοιο τυχὼν ὄφις ἄγχι πελάσσῃ

delphinum, teneris similis adolescentibus;
Thraces iterum etiam his crudeles imminent,
mittentes hastam levem improbum ad laborem capturæ.
Hi quidem sane videntes festinantem scapham exadversum
intrepidi manent et in periculum non respiciunt,
nullum putantes ab-hominibus dolum, neque ullam noxam
venturam, adulant vero benignos quasi sodales
læti occurrentes, suo gaudentes exitio.
Illi vero celeriter ferientes jaculatore tridente,
quem acida vocant, telum maxime-horribile capturæ,
ex-delphinis unum parvum extrema percutiunt noxa;
at hic convolutus, a cruciatu acerbe dolens,
statim humidum intra submergitur mare,
æstuans et ex-vulnere et ex-gravibus cruciatibus;
illi vero ipsum non trahunt violenti; profecto enim capturæ
frustra vanum et inanem laborem susciperent;
sed ipsi cupienti longam permittunt auferendam
lineam et navem accelerant remis,
sequentes delphini afflicti vias.
Verum ubi horrendis laborans doloribus
defecerit et cuspidibus circumpalpitaverit ferri,
sane tunc defectus-viribus emergit, robustis membris
exhaustus, levibus sublatus fluentis,
extremum spirans; mater vero ipsum nunquam deserit,
sed semper laborantem comitatur et redeuntem
ex-profundo, dolentique et gravissime suspiranti
similis; diceres ejulantem videri
matrem, vastata urbe ab hostibus
liberisque tractis sub prædam hastæ necessitate:
sic illa graviter dolens vulneratam circa sobolem,
quasi ipsa laborans et vulnerata ferro,
versatur, at alterum fœtum sua de via
ablegat irruens *in ipsum*, et impellens persequitur:
Fuge, *mea* proles; homines enim impii non-amplius socii
sunt] nobis, sed ferrum adversum-*nos*-instruunt et capturam;] jam etiam delphinis intentant bellum,
fœderaque immortalium et concordiam violantes
nostram, quam antea inter nos-mutuo constitueramus.
Talia, etiamsi muta, tamen liberis suis
loquitur, et hunc quidem avertit procul ut-fugiat,
sed alterum horribiliter afflictum coafflicta
ipsam prope scapham sectatur, neque deserit;
nec quisquam, cupiens licet, avertat matrem,
neque percutiens *eam*, neque alium ullum afferens metum;
sed una cum-prole]tracta misera attrahitur, ut accedat-prope
hostium sub manus; impii, profecto valde scelerati
isti, neque miserantur afflictam cernentes,
neque animum flectunt ferreum, verum et ipsam
æneis lanceis impetuose impellentes
prolemque et matrem eodem simul-occidunt exitio;
occidunt non invitam, quoniam circa prolem mortuam
mater et sciens et cupiens vulneratur.
Ut autem cum in-implumes hirundines tenellas
inferne sub tecto incidens serpens prope accesserit,

καὶ τοὺς μὲν κατέπεφνε, καὶ ἔσπασεν ἔνδον ὀδόντων,
μήτηρ δὲ πρῶτον μὲν ἀτυζομένη δεδόνηται
λοίγια τετριγυῖα φόνου γόον· ἀλλ' ὅτε παῖδας
ἀθρήσῃ φθιμένους, ἡ δ' οὐκέτι φύξιν ὀλέθρου
δίζεται, ἀλλ' αὐτῆσιν ὑπαὶ γενύεσσι δράκοντος
εἰλεῖται, μέσφ' ὄρνιν ἕλῃ παιδοκτόνος ἄτη·
ὣς ἄρα καὶ δελφῖνι νέῳ συναπέφθιτο μήτηρ,
χεῖρας ἐς ἰχθυβόλων αὐτάγρετος ἀντήσασα.

Ἔθνεα δ' ὀστρακόρινα, τά θ' ἑρπύζουσι θαλάσσῃ,
πάντα φάτις μήνης μὲν ἀεξομένης κατὰ κύκλον
σαρκὶ περιπλήθειν καὶ πίονα ναιέμεν οἶκον·
φθινούσης δ' ἐξαῦτις ἀφαυροτέροις μελέεσσι
ῥικνοῦσθαι· τοίη τις ἐνὶ σφισιν ἐστὶν ἀνάγκη.
Τῶν δὲ τὰ μὲν δύνοντες ὑπόβρυχα χερσὶ λέγονται
ἀνέρες ἐκ ψαμάθοιο, τὰ δ' ἐκ σπιλάδων ἐρύουσι
νωλεμὲς ἐμπεφυῶτα, τὰ δ' ἠόσιν ἔπτυσαν αὐταῖς
κύματα καὶ βόθροισι λαχαινομένης ψαμάθοιο.

Πορφύραι αὖ πέρι δή τι μετ' ὀστρείοισιν ἔασι
λίχναι· τοίη δέ σφιν ἐτήτυμος ἵσταται ἄγρη.
Κυρτίδες ἠβαιαὶ ταλάροις γεγάασιν ὁμοῖαι,
πυκνῇσι σχοίνοισι τετυγμέναι· ἐν δ' ἄρα τῇσι
στρόμβους συγκέλσαντες ὁμοῦ χήμῃσι τίθενται·
αἱ δ' ὅταν ἐμπελάσωσι βορῆς μεθύουσαι ἔρωτι,
γλῶσσαν ὑπὲκ θαλάμης δολιχὴν βάλον· ἡ δὲ τέτυκται
λεπτή τ' ὀξείη τε, διὰ σχοίνων δ' ἐτάνυσσαν
φορβῆς ἱέμεναι, χαλεπῆς δ' ἤντησαν ἐδωδῆς·
γλῶσσα γὰρ ἐν σχοίνοισιν ἐρειδομένη πυκινῇσιν
οἰδάνεται, στείνει δὲ λύγων βρόχος, οὐδ' ἔτ' ὀπίσσω
ἀνδύνει μεμαυῖα, μένει δ' ὀδύνῃσι ταθεῖσα
εἰσόκεν αὖ ἐρύσωσι περὶ γλώσσῃ μεμαυίας,
πορφυρέοις κάλλιστον ὑφάσμασιν ἄνθος ἄγοντες.

Σπογγοτόμων δ' οὔ φημι κακώτερον ἄλλον ἄεθλον
ἔμμεναι, οὐδ' ἀνδρεσσιν ὀϊζυρώτερον ἔργον.
Οἳ δ' ἤτοι πρῶτον μὲν, ὅτ' ἐς πόνον ὁπλίζονται,
βρώμῃ τ' ἠδὲ ποτοῖσιν ἀφαυροτέροισι μέλονται,
ὕπνῳ τ' οὐχ ἁλιεῦσιν ἐοικότι μαλθάσσονται.
Ὡς δ' ὅτ' ἀνὴρ εὔγηρυν ἐφοπλίζητ' ἐς ἀγῶνα
μολπῆς εὐφόρμιγγος ἔχων Φοιβήϊον εὖχος,
πᾶσα δέ οἱ μέλεται κομιδὴ, πάντῃ δὲ φυλάσσει,
πιαίνων ἐς ἄεθλα λιγυφθόγγου μέλος αὐδῆς·
ὣς οἳγ' ἐνδυκέως κομιδὴν εὔφρουρον ἔχουσι,
ὄφρα σφι πνοιή τε μένῃ ποτὶ βυσσὸν ἰοῦσιν
ἀσκηθὴς, προτέροιο δ' ἀναψύξωσι πόνοιο.
Ἀλλ' ὅτ' ἀεθλεύωσι μέγαν πόνον ἐξανύοντες,
εὐχόμενοι μακάρεσσιν ἁλὸς μεδέουσι βαθείης
ἀρῶνται κήτειον ἀλεξῆσαί σφισι πῆμα,
μήτε τιν' ἀντιάσαι λώβην ἁλός· ἢν δ' ἐσίδωνται
κάλλιχθυν, τότε δή σφι νόον μέγα θάρσος ἱκάνει·
οὐ γάρ πω κείνῃσι νομαῖς ἔνι κῆτος ἄαπτον,
οὐ δάκος, οὐδέ τι πῆμα θαλάσσιον ἄλλο φαάνθη,
ἀλλ' αἰεὶ καθαροῖσιν ἀπημάντοις τε πόροισι
τέρπονται· τῷ καί μιν ἐφήμισαν ἱερὸν ἰχθύν.
Τῷ δ' ἐπιγηθήσαντες ἐπισπεύδουσι πόνοισι.
Ἡείσματι μηκεδανῷ μεσάτης ὑπὲρ ἰξύος ἀνὴρ

et has quidem occidit, et abstrahit intra dentes,
mater vero primum quidem afflicta volitat
miserabiliter stridens cædis luctum; verum ubi pullos
viderit necatos, illa non-amplius fugam exitii
quærit, sed ipsis sub maxillis draconis
volvitur, donec avem rapiat pullicida noxa:
sic etiam delphino juveni commoritur mater,
in manus piscatorum sponte-capta occurrens.

Genera vero ostracea, quæ serpunt in-mari,
omnia rumor *est* luna quidem augescente secundum orbem
carne repleta-esse et pinguem habitare domum,
decrescente vero rursum tenuioribus membris
corrugari; talis quædam in ipsis est necessitas.
Horum autem alia quidem subeuntes humida manibus legunt
viri ex arena, alia vero a scopulis abstrahunt
firmiter inhærentia, alia denique in-littora exspuunt ipsa
fluctus et in-foveas effossæ arenæ.

Purpuræ porro admodum sane inter ostrea sunt
voraces; talis autem ipsis vera constat captura.
Nassæ parvæ calathis fiunt similes,
densis funibus confectæ; in his vero
strombos complicatos cum foraminibus ponunt;
hæ vero cum accesserint cibi inebriatæ amore,
linguam subtus-e testa longam emittunt; illa vero est
tenuisque acutaque, per funes vero extendunt *eam*
cibum desiderantes, molestæ vero occurrunt escæ;
lingua enim in funibus infixa densis
intumescit, angustat vero viminum laqueus, neque amplius
retro] emergit quamvis-cupiens, manet vero doloribus ex-
tensa] donec extrahant *eas* circa linguam satagentes,
purpureis pulcherrimum telis florem ferentes.

Quam-spongiariorum autem nego pejorem alium laborem
esse, neque viris miserabilius opus.
Qui sane primo quidem, quando ad laborem instruuntur,
ciboque et potu pauciore aluntur,
somnoque piscatoribus non conveniente effeminantur.
Ut autem cum quis dulcisonum instruitur in certamen
cantus suavis habens Phœbeam gloriam,
omnis autem illi cordi-est cura, ubique vero cautionem-ad-
hibet,] pinguefaciens in certamina acutæ carmen vocis:
sic illi sedulo curam diligentem habent,
ut ipsis spiritusque maneat ad profundum vergentibus
illæsus, priorique refocillentur a-labore.
Sed cum exercentur magnum laborem perficientes,
vota facientes superis mari imperantibus profundo
precantur, ceteum ut prohibeant ab-ipsis nocumentum,
neve *ipsi* in-ullam incurrant noxam maris; ubi vero intuiti
-fuerint] piscem-pulchrum, tunc sane ipsis in-animum ma-
gna audacia venit;] non enim unquam illis in regionibus
cetus crudelis,] non bestia, neque ullum nocumentum mari-
num aliud conspectum-est;] sed semper puris, innoxiisque
viis] delectantur; unde etiam ipsum appellarunt sacrum pi-
scem.] Hoc lætati *piscatores* festinant-ad labores.
Fune longo mediam supra coxam vir

ἔζωσται, παλάμῃσι δ' ἐν ἀμφοτέρῃσιν ἀείρει
τῇ μὲν ἐριβριθῆ μολίβου χύσιν ἀμφιμεμαρπὼς,
δεξιτερῇ δ' ἅρπην εὐήκεα χειρὶ τιταίνει·
φρουρεῖ δ' ἐν γενύεσσιν ὑπὸ στόμα λευκὸν ἄλειφαρ·
στὰς δ' ἄρ' ὑπὲρ πρώρης ἐσκέψατο πόντιον οἶδμα,
ὁρμαίνων βριθύν τε πόνον καὶ ἀθέσφατον ὕδωρ.
Οἱ δέ μιν ὀτρύνουσιν ἐπισπέρχουσί τε μύθοις
θαρσαλέοις ἐπὶ μόχθον, ἅτ' ἐν νύσσῃ βεβαῶτα
ἄνδρα ποδωκείης δεδαημένον· ἀλλ' ὅτε θυμῷ
θαρσήσῃ, δίναις μὲν ἐνήλατο, τὸν δὲ καθέλκει
ἱέμενον πολιοῦ μολίβου βεβριθότος ὁρμή.
Αὐτὰρ ὅγ' ἐς βυσσὸν προμολὼν ἐξέπτυσ' ἀλοιφήν·
ἡ δὲ μέγα στίλβει τε καὶ ὕδατι μίσγεται αὐγή,
ὄρφνης ἠΰτε πυρσὸς ἀνὰ κνέφας ὄμμα φαείνων·
πέτραις δ' ἐμπελάσας σπόγγους ἴδεν· οἱ δὲ φύονται
ἐν νεάτοις πλαταμῶσιν, ἀρηρότες ἐν σπιλάδεσσι·
καί σφισι καὶ πνοιὴν φάτις ἔμμεναι, οἷα καὶ ἄλλοις,
ὅσσα πολυραθάγοισιν ἐνὶ σπιλάδεσσι φύονται.
Αἶψα δ' ἐπαΐξας δρεπάνῃ τάμε χειρὶ παχείῃ
ὥστε τις ἀμητὴρ σπόγγων δέμας, οὐδέ τι μέλλει
δηθύνων, σχοῖνον δὲ θοῶς κίνησεν, ἑταίροις
σημαίνων κραιπνῶς μιν ἀνελκέμεν· αἷμα γὰρ ἐχθρὸν
αὐτίχ' ἀπὸ σπόγγων ῥαθαμίζεται, ἀμφὶ δ' ἄρ' ἀνδρὶ
εἵλεῖται, πνοιῇ δὲ δυσαεῖ πολλάκι φῶτα
ἔσβεσε μυκτήρεσσιν ἐνισχόμενος βαρὺς ἰχώρ.
Τοὔνεκα λαιψηρῶς ἀναδύεται ὥστε νόημα
ἑλκόμενος· τὸν μέν τις ἰδὼν προφυγόντα θαλάσσης
ἄμφω γηθήσειε καὶ οἰκτείρων ἀκάχοιτο·
ὧδε γὰρ ἠπεδανοῖσι παριεμένου μελέεσσι
δείματι καὶ καμάτῳ θυμαλγεῖ γυῖα λέλυνται.
Πολλάκι δ' ἐχθίστης τε τυχὼν καὶ ἀπηνέος ἄγρης
ἅλμενος ἐς πόντοιο βαθὺν πόρον οὐκέτ' ἀνέσχε,
δύσμορος, ἀντιάσας δυσδερκεῖ θηρὶ πελώρῳ·
καί ῥ' ὁ μὲν οἷς ἑτάροισιν ἐπισείων θαμὰ δεσμὸν
κέκλεται αὖ ἐρύειν, τὸ δέ οἱ δέμας ἡμιδάϊκτον
κητείη τε βίη καὶ ὁμόστολοι ἕσπασαν ἄνδρες,
οἰκτρὸν ἰδεῖν, ἔτι νηὸς ἐφιέμενον καὶ ἑταίρων
οἱ δὲ θοῶς κεῖνόν τε πόρον καὶ λυγρὸν ἄεθλον
ἀχνύμενοι λείπουσι καὶ ἐς χέρσον κατάγονται
λείψανα δυστήνοιο περικλαίοντες ἑταίρου.
Τόσσ' ἐδάην, σκηπτοῦχε διοτρεφὲς, ἔργα θαλάσσης·
σοὶ δ' αἰεὶ νῆες μὲν ἀπήμονες ἰθύνοιντο,
πεμπόμεναι λιαροῖσι καὶ ἰθυπόροισιν ἀήταις,
αἰεὶ δ' ἰχθυόεσσα περιπλήθοιτο θάλασσα·
γαίης δ' ἀστυφέλικτα Ποσειδάων ἐρύοιτο
ἀσφάλιος ῥιζοῦχα θεμείλια νέρθε φυλάσσων.

cinctus-est, manibus vero in ambabus sumit,
altera quidem (*læva*) prægravem plumbi massam correptam,
dextra autem falcem bene-acutam manu protendit;
continet autem in maxillis sub ore candidum unguentum;
stans autem super proram spectat marinum fluctum,
versans-animo gravemque laborem et immensam aquam.
Hi vero (*socii*) ipsum incitant impelluntque cohortationibus
confirmantibus ad laborem, velut in carceribus incedentem
virum velocitatis-pedum peritum; verum ubi animo
confisus-fuerit, vorticibus quidem insilit, illum vero attrahit
cupientem cani plumbi aggravantis impetus.
At ille in profundum profectus expuit unguentum;
hoc autem valde radiat, et aquæ miscetur splendor,
caliginis velut fax per obscuritatem visum illustrans;
petris vero appropinquans spongias videt; hæ vero nascuntur] in extremis lapidibus, fixæ in scopulis;
et ipsis etiam odorem fama *est* esse, qualis etiam aliis,
quæcunque streperis in scopulis nascuntur.
Statim vero irruens falce secat manu crassa,
quasi quidam messor, spongiarum corpus, neque quicquam
cunctatur] moras-nectens, funem vero celeriter movet, sociis
signum-dans, velociter ipsum ut-extrahant; sanguis enim
noxius] statim a spongiis stillat, circaque virum
volvitur, odore vero putido sæpe virum
extinxit naribus inhærens gravis sanies.
Quapropter celeriter emergit, tanquam cogitatio,
extractus; quem quidem aliquis conspicatus elapsum ex mari,
utrumque, et gaudeat et miserans doleat;
sic enim debilibus resoluti membris
timore et labore dolorifico membra soluta-sunt.
Sæpe vero in-odiosissimam incidens et crudelem capturam,
saliens in maris profundam semitam, non-amplius sustinet,
infelix, occurrens deformi belluæ vastæ;
et ipse quidem suos socios quatiens crebro vinculum
jubet retrahere, at ejus corpus semilacerum
celeaque vis et comites trahunt viri,
miserabile visu, adhuc navis appetentem et sociorum;
hi vero celeriter illamque viam et triste certamen
dolentes relinquunt et in terram subducunt
reliquias miseri circumflentes socii.
Tot novi, o-sceptrifer a-Jove-nutrite, opera maris;
tibi vero semper naves quidem innocuæ dirigantur,
delatæ mollibus et rectigradis ventis,
semper autem piscosum usquequaque-compleatur mare,
terræque inconcussa Neptunus servet
tutor radicata fundamenta inferne custodiens.

ΠΑΡΑΦΡΑΣΙΣ

ΤΩΝ

ΔΙΟΝΥΣΙΟΥ

ΟΡΝΙΘΙΑΚΩΝ.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

I. Ἐπειδή σοι τῆς γῆς ἁπάσης ἔχοντι καὶ τοῦ πελάγους τοὺς οἴακας σοφῷ τε εἶναι καὶ φιλομαθεῖ δέδωκεν εὖ ποιῶν ὁ Θεός, καὶ τοῖς πολλοῖς ἐθέλεις ἅπερ οἶσθα προσθεῖναι πάνθ' ὅσα περὶ πτηνῶν τῷ ποιητῇ Διονυσίῳ συγγέγραπται, φέρε δὴ καὶ ταύτην σοι τὴν ὑπουργίαν ἐκπληρώσομεν, ὡς ἂν τῶν ὀρνίθων εἰδείης τούς τε ὑγρᾶς τροφῆς ἔρωτι ποταμοῖς ἢ λίμναις ἢ καὶ τῇ θαλάσσῃ χαίροντας καὶ τοὺς τοῖς ὄρεσιν ἢ τοῖς πεδίοις ἐφιπταμένους, ὀνομάζειν τε ἔχοις ἕκαστον, ἤθη καὶ τέχνας καὶ ἰσχὺν καὶ πόθους αὐτῶν, καὶ τοὺς τῆς ἄγρας τρόπους ἐξεπιστάμενος. Τερπνὴ δέ τις καὶ οὐκ ἀχαρὶς θέα ταχὺν ὄρνιν ἰδεῖν αἰρεθέντα βρόχου δεσμοῖς ἢ δένδρου μέν τινος ἐφιζήσαντα κλάδῳ, καλάμῳ δὲ, ὃν ἰξῷ τις ἐπαλείψας θηρατὴς ἀνατείνει, συγκολλώμενόν τε καὶ καθελκόμενον, ἢ πρὸς θάμνους μέν τινας ὑπὲρ διαναπαύσεως ἀφικόμενον, τοῖς δὲ πολυτρήτοις κόλποις ἐνσχεθέντα τῶν λίνων, ὥστε ὀλέθριον καὶ τελευταίαν αὐτῷ γενέσθαι τὴν διανάπαυσιν. Καὶ μὴν κἀκεῖνο σοφὸν καὶ χαρίεν τὸ ἐπιτήδευμα· τῆς ὥρας ἤδη τῆς χειμερινῆς ἐπελθούσης, δένδρον τι κλάδοις τε καὶ φύλλοις ἀλλοτρίοις ἐπικαλύψαντες καί τινας μεταξὺ τῶν κλάδων ῥάβδους ἐνθέντες ἐπιχρισθείσας ἰξῷ κατὰ τῶν πεδίων ἱστῶσι, κλωβοὺς ἀπαρτήσαντες· τοῖσδε ὄρνεις ἐνεισιν οἳ πρὸς τὴν ἄγραν τοῖς θηρατῆις ἀναγκαῖοι· τοὺς γὰρ λοιποὺς ταῖς ᾠδαῖς ἀναπείθουσι πλησιάσαντας τοῖς κλάδοις ἐπικαθῆσθαι τοῖς νόθοις· τοῖσδε ἅμα τῷ ξυνιζῆσαι καὶ τότε θηρᾶσθαι συμβαίνει. Καὶ μὴν καὶ πάγαις ἔστιν ἰδεῖν τῶν πτηνῶν πλεῖστα θηρώμενα, τιθέναι δ' αὐτὰς τροφήν τινα ἐμβαλόντες ὑπὸ τοὺς θάμνους εἰώθασιν. Καὶ καθ' ἑτέρους ἁλίσκονται τρόπους· γνώσῃ δ' ἕκαστον, εἴπερ ἕλεως ἀκούοις, ἐν τάξει. Γένη μὲν δὴ πλεῖστα πτηνῶν τὸν ὑγρὸν ἀέρα διίπταται.

II. Πάντων δὲ χρὴ προκρίνειν τοὺς ἀετοὺς, ἐπεὶ μηδὲν ὑπὲρ γρυπῶν σαφὲς ἔστιν εἰπεῖν, οὓς φασιν ἐν τοῖς τῶν πλουσίων Ἀριμασπῶν ἕλεσι τρεφομένους χρυσὸν ἐκ τῆς γῆς ἀγείρειν ὀρύσσοντας, τοὺς Ἀριμάσπας δὲ τούτους οὐχὶ δύο τοὺς ὀφθαλμοὺς, ἀλλ' ἕνα ἕκαστον ἔχειν φασίν.

III. Τῶν ἀετῶν δὲ τὸ γένος καὶ τὴν ἰσχὺν ἐπιστάμεθα, καὶ ὅσον τῶν λοιπῶν ὑπερτεροῦσι ὀρνέων, ὡς καὶ τοῖς τοῦ Διὸς σκήπτροις ἀγχοῦ τῶν κεραυνῶν ἐπικαθῆσθαι πιστεύεσθαι. Ἵπτανταί γε μὴν ὑπὲρ τὸν

PARAPHRASIS

LIBRORUM

DIONYSII

DE AVIBUS.

LIBER PRIMUS.

I. In te telluris totius et æquoris gubernacula tenentem cum Deus beneficium contulit, ut sapiens esses et discendi cupidus, cumque rebus numerosis quas jam cognovisti, addere velis quæcunque de avibus conscripsit Dionysius vates, ecce tibi hoc quoque officium præstabimus, ut cognoscas aves cum humidi alimenti amore fluminibus et lacubus, vel etiam mari gaudentes, tum montes et campos volatu petentes, nominareque queas unamquamque, perspectis moribus, artibus, viribus, amoribus et rationibus quibus capiuntur. Lepidum sane nec injucundum est spectaculum, celerem avem laquei vinculis captam videre, aut arboris insidentem ramo et calamo, quem visco oblitum protendit venator, agglutinatam et detractam, aut ad frutices aliquos quiescendi causa advenientem, sed lacunoso linorum sinu irretitam, ita ut perniciosa et ultima ei hæc requies evadat. Profecto hoc quoque solers nec ingratum est inventum : hyeme jam instante, arborem quandam ramis et foliis alienis obtectam, ramis intersertis virgis quibusdam visco oblitis, in campo statuunt, suspensis ab ea caveis quibus insunt aves venationis gratia cum aucupibus familiaritate conjunctæ; reliquis enim avibus accedentibus, cantu persuadent ut ramis insidant simulatis; his autem, simulac consederint, contingit ut capiantur. Profecto decipulis quoque permultas volucres captas videre licet; has autem, injecto aliquo cibo, fruticibus supponere solent. Aliis etiam rationibus capiuntur; disces autem omnes deinceps, si propitias mihi aures præbere velis. Plurima quidem avium genera humidum aerem volando permeant.

II. Omnibus autem præferri debent aquilæ, quoniam de gryphis nihil certi dicere licet, qui in divitum Arimasparum paludibus enutriti aurum fodiendo e tellure colligere dicuntur; horum autem Arimasparum unumquemque non duobus, sed uno oculo instructum esse ferunt.

III. Aquilarum autem genus et vires novimus, et quantum reliquis avibus præstent, adeo ut Jovis sceptro juxta fulmina insidere perhibeantur. Aerem volatu superant et sublimius ad ipsum ætherem evadunt; visu acerrimo va-

ἀέρα καὶ πρὸς αὐτὸν τὸν αἰθέρα εὐκόλως, καὶ ὀξὺ δεδόρκασι μέχρι τῆς γῆς, ἢ τάχα καὶ δι' αὐτῆς, ὡς μηδὲ τὰ μικρὰ ζωΰφια λανθάνειν αὐτοὺς τροφῆς χρῄζοντας, κἂν εἰ θάμνοις ἐπικαλύπτοιντο. Ἀρνῶν δὲ καὶ νεβρῶν καὶ τῶν ταχυτάτων λαγωῶν σαρξὶν ἥδονται, καὶ νεκρὸν οὐκ ἂν φάγοιεν, εἰ μὴ παρ' αὐτῶν τι ζῷον ἀποκτάνθη ληφθέν. Ἐς δὲ τὸ ταῖς νόσοις ἄκος τὰς χελώνας ἐσθίουσι, καὶ ὅσα γε εἰς ποτὸν, ἀπόχρη τὸ τῶν θηρωμένων αἷμα ζῴων αὐτοῖς, ὥστε οὐκ ἂν ὕδωρ πίοιεν. Καὶ τὰς ἄκρας οἰκοῦσι τὰς ἐν τοῖς ὄρεσι περιφανεῖς τε καὶ ὑψηλὰς, εἴτε ἀναπαύλης δέοιντο μετὰ θήραν, εἴτε τοῖς τέκνοις οἰκοδομεῖν βούλοιντο καλιὰς, ὥστε ὀλιγάκις ἐπὶ τὰ πεδία φέρεσθαι τῶν πετρῶν ἀφιπτάμενοι, τὰ πολλὰ δὲ αὐτῶν ἐγγύθεν βλέπειν τὸν οὐρανόν. Ἣν δὲ ἀποτεκεῖν δέῃ, κομίσαντές τινα λίθον ταῖς κοίλαις ἐντιθέασι καλιαῖς, ἵνα ἐν καιρῷ τίκτωσι, καὶ μὴ τὸ τικτόμενον πρὸ τῆς ὥρας ἀτέλεστον ὠθοῖτο ὑπ' ἰσχύος. Οὐ μὴν ἔστι τι σαφὲς περὶ τοῦ λίθου τούτου γινώσκειν, ἀλλ' οἱ μὲν αὐτὸν ἀπὸ τῶν Καυκασίων ὀρῶν, οἱ δὲ ἀπὸ τῆς τοῦ ὠκεανοῦ ὄχθης φασὶ κομίζεσθαι, λευκὸν ὑπερφυῶς ὄντα καὶ μεστὸν ἔνδοθεν πνεύματος, ὡς καὶ ἦχον ἀποτελεῖν, εἰ κινοῖτο. Τικτούσῃ δ' εἴ τις αὐτὸν γυναικὶ περιάψειε, ὀλισθαίνειν διακωλύσει τὸ βρέφος. Κἂν ἐν λέβητι παφλάζοντος ὕδατος ἐπιψαύσῃ, τὴν τοῦ πυρὸς νικήσει πάντως ἰσχύν. Καὶ γνησιότητος δὲ τῶν τέκνων μέλει σφόδρα αὐτοῖς, καὶ πρὸς ἀνίσχοντα τὸν ἥλιον ἐναντίᾳ πτήσει κρίνουσι τὰ τεχθέντα, καὶ τὸ νικηθὲν ὑπὸ τῆς αὐγῆς ἢ καταμῦσαν οὐκ ἂν γνήσιον νομισθείη, νόθον δὲ, καὶ τῆς καλιᾶς ἐξελαύνεται, καὶ τῶν ἄλλων ὀρνίθων οἶκτος αὐτῷ τροφὴν χορηγεῖ, ὡς τοὺς παῖδας τρέφειν τοὺς ὀρφανοὺς τοῖς αὐτῶν περιττοῖς (οἱ) γειτνιῶντες εἰώθασι, τήν τε πενίας ἀνάγκην ἰώμενοι καὶ τὴν χρείαν· οὐ μὴν ἡ τοιάδε τροφὴ τοὺς νεοττούς ποτε ἤγαγεν εἰς τὴν τῶν πατέρων ἀλκήν.

IV. Τὰς ἅρπας δὲ οὐδὲ ἰδεῖν συνεχῶς τοῖς ἀνθρώποις ἔστιν· τὰς τραχυτάτας γὰρ οἰκοῦσι πέτρας καὶ τοῖς νεοττοῖς ἐπὶ ταῖς ὑψηλαῖς φάραγξι ποιοῦσι τὰς καλιὰς, τοῖς κρημνοῖς ἀντὶ πρέμνων ἢ κλάδων ἐπικαθήμεναι. Φιλοῦσι δὲ τὰ τέκνα ὑπερφυῶς, καὶ εἰ λαθών τις ἀγροῖκος ἅρπης νεοττὸν ἀποκλέψειεν, ὑπερόψεται μὲν θρηνοῦσα τροφῆς, οὐκ ἀποπτήσεται δέ που τῆς καλιᾶς, ὀδυρμῶν δὲ πάντα ἐμπλήσει, καὶ γυναῖκά τις εἴποι θρηνεῖν καὶ δακρύων ἐπιρβοῇ τὰς παρειὰς αὐτῆς ἐπικλύζειν. Πτερῶν δὲ αὐταῖς εἰσιν αἵ τε παρειαὶ καὶ ὁ ἀνθερεὼν μεστὸς, ὥστε τι γένειον μέχρι τῆς δειρῆς ἐπιδεικνύναι. Καὶ τοῦτο ταῖς ἅρπαις ἴδιον σημεῖόν ἐστιν· μόναι δὴ ὀρνίθων λίθοις τρέφονται καὶ τοῖς τῶν πάλαι τεθνηκότων θηρίων ὀστέοις, εἰ μὲν καταπιεῖν δύναιντο, ἡδέως ἅμα τὸ προστυχὸν παραπέμπουσαι, τὰ μείζονα δὲ τοῖς ποσὶ συλλαμβάνουσαί τε καὶ ἀνιπτάμεναι καὶ κατὰ τῶν πετρῶν ἀφιεῖσαι πολλάκις, ὥστε συντριβέντα ἐσθίειν. Ἀῤῥωστεῖν δὲ αὐτὰς ὁ μέλας βρωθεὶς ἀποκωλύει κισσός.

V. Οἱ γῦπες δὲ μίγνυνται μὲν ἐπεμβάντες ἀλλή-

lent eoque ad terram usque, vel fortasse etiam trans eam penetrant, ita ut ne parva quidem animantia, etiamsi inter frutices latitantia, eos latere possint, cum fames eos exstimulat. Delectantur agnina, hinnulorum et celerrimorum leporum pulpis. Cadaver nullum attingunt, nisi forte ab ipsis capti et interfecti animalis. Testudines pro medicamento vorant. Quod ad potum, sanguis animalium, quæ ceperint, eis sufficit, aquam vero non gustant. Montium vertices editos et conspicuos incolunt, sive cum a venatu ad quietem se recipiunt, sive soboli nidos parant; et raro sane ad campos, rupibus relictis, descendunt, sed ut plurimum e propinquo cœlum prospectant. Cum parturiunt, lapidem nidis imponunt, ut tempestive pariant, neque, per vim pulso fetu immaturo, abortiant. Non constat autem de hoc lapide: sunt qui de montibus Caucasiis, alii ab Oceani littore peti tradunt, colore candidissimo, spiritu gravidum, qui etiam ex agitatione sonum edit. Feminæ prægnanti alligatus abortum amolietur; contacta aqua in lebete fervente ignis vim penitus domabit. Maxime curant aquilæ, ut genuinos fœtus alant, quare pullos volatu adversus solem orientem probant, et nimio splendori cedentem aut oculis conniventem pro spurio rejiciunt nidoque pellunt. Ejecto reliquarum avium misericordia alimentum suppeditat, ita ut orbos cibi sui reliquiis alere soleant aves vicinæ, simul et suæ paupertatis necessitudini et pullorum indigentiæ occurrentes. Sed hujusmodi victus nunquam pullis vires impertiit paternis æquales.

IV. Harpæ conspectui hominum raro se offerunt, rupium asperrimarum incolæ; nidos enim pullis struunt in altis montium hiatibus; præcipitiis, ut reliquæ volucres truncis ac ramis, insident. Pullos amore miro prosequuntur, adeo ut, si quis rusticus pullos harpæ latenter suffuratus fuerit, illa nidum deinceps, cibo neglecto, non relinquat lugens et locum omnem gemitu lugentis instar mulieris impleat et lacrymarum defluxu genas madefacientis. Vestiuntur autem eis maxillæ et mentum tam frequentibus plumis, ut barbæ quandam speciem ad collum demissæ repræsentent. Hæc quoque eis nota peculiaris est: lapidibus inter omnes aves solæ vescuntur et pridem mortuorum animalium ossibus. Quodsi deglutire possint, avide quodcumque obtigerit ingerunt; majora vero pedibus apprehensa in sublime volantes per saxa dejiciunt sæpius, donec frangantur edendoque sint. Morbos hedera nigra arcent comesa.

V. Vultures autem se invicem inscendentes coeunt,

λοις, μάτην δὲ, καὶ οὐκ ἄν ποτε συνουσιάζοντες οὕτω παιδοποιήσαιεν, ἀλλ' ἡνίκα ἂν σχοῖεν πρὸς τὸν τῶν ᾠῶν τόκον ἐπιτηδείως, κατὰ τὰ θηρία τὰς τίγρεις τὴν αἰδὼ πρὸς τὸν ζέφυρον ἀποστρέψαντες ὑπὸ τῇ πνοῇ γαμοῦνται, καί φασιν ἐντεῦθεν αὐτοῖς ταχείας εἶναι τὰς κατὰ τὴν ὀσμὴν ἀντιλήψεις, εἰ καὶ πόῤῥω που τελευτήσειέ τι ζῷον. Καὶ ἀκόρεστοι δὲ τροφῆς ὑπὲρ τοὺς λοιποὺς πάντας ὄρνεις εἰσὶν, ὡς καὶ πολεμεῖν ὑπὲρ αὐτῆς πρὸς ἀλλήλους, καὶ τὸν ἰσχύϊ κρείσσονα τοὺς ἄλλους ἀποδιώκειν, τὴν μὲν τῶν πτερύγων προβαλλόμενον ἅτε ἀσπίδα, τῇ δὲ τοὺς λοιποὺς ἀπελαύνοντα· οἱ δὲ, ἢν κορεσθεὶς οὗτος ἀποχωρήσῃ, κοινῇ ταῖς τροφαῖς ἐφορμῶσι, μέχρις ἄν τις αὐτῶν τοὺς ἀσθενεστέρους ἀποδιώξῃ. Ῥᾳδίως δὲ οὐδεὶς ἂν εὕροι γυπῶν καλιάς· γίνονται γὰρ ἐν τόποις εἰς οὓς ἐλθεῖν ἀμηχανώτατόν ἐστιν. Τῇ δὲ τῶν τεθνηκότων ὑπερχαίροντες δυσοδμίᾳ, τοσοῦτον ἀπεχθάνονται πρὸς τὰ μύρα, ὥστε οὐδ' ἂν κτήνους ἅψαιντο τεθνεῶτος, εἴ τις αὐτοῦ τὰς σάρκας ἐπαλείψειε μύρῳ.

VI. Ἱεράκων δὲ γένη πλείω καὶ ταχεῖς μὲν ἄλλοι πρὸς θήραν, περιστεραῖς μάλιστα καὶ φάσσαις ὀλέθριοι· οἱ δὲ τὰς ὄρνεις τὰς ἐλάσσους αἱροῦσιν, ἕτεροι δὲ ἀργότατοι καὶ πρὸς τὰς πτήσεις ὀκνώδεις, ὥστε τρέφεσθαι παρ' ἑτέρων ἐθέλειν καὶ ὀψὲ τοῦ καιροῦ πρὸς ἄγραν ὁρμᾷν καὶ βατράχοις ἐπιτίθεσθαι μόνοις. Καὶ τοῖς ἀνθρώποις δ' ἄλλοι κοινωνοῦσι τῆς θήρας, δεσμοῖς τ' ἐχόμενοι καὶ τὰ θηρώμενα τῶν ὀρνέων φοβοῦντες· κορυδοῖς δ' εἰσὶν οὗτοι καὶ χελιδόσι πολέμιοι, καὶ ταύτῃ γε αὐτοὺς συγγενεῖς ἄν τις εἴποι Τηρέως. Καὶ ἀμβλυώττουσιν ὑπὲρ πᾶν ἕτερον γένος ὀρνέων, ὡς καὶ θεραπείαν τοῦ πάθους ἐπίστασθαι· γάλα δ' ἐστὶ θριδακίνης ἀγρίας, ἣν ἀποτέμνειν τοῖς ἱέραξιν ἔθος ὑπὲρ ἰάσεως.

VII. Τῶν ἰκτίνων δ' οὐδὲν ἄν τις ἀναιδέστερον εἴποι· ὁρμῶσι γὰρ πολλάκις καὶ ἐπ' αὐτὰς τῶν ἀνθρώπων τὰς χεῖρας, καὶ διαφθείρουσι τῶν κατοικιδίων ὀρνίθων τοὺς νεοττοὺς καὶ λυποῦσι μάλιστα τὰς γυναῖκας. Τίνουσι μέντοι τὴν προσήκουσαν δίκην, τοὺς πόδας ἐν ῥητῷ τινι τοῦ ἔτους καιρῷ σφόδρα ἀθλίως ἀλγοῦντες. Φασὶ δ' αὐτοὺς μηδὲ τῇ ῥοιᾷ ποτε ἐπικαθῆσθαι τῶν δένδρων, μηδὲ ὁρᾶν ἐθέλειν αὐτό. Καὶ ἄπιστος μὲν, κρατεῖ δὲ λόγος περὶ αὐτῶν, ὅτι γαμετήν τις ἀποβαλὼν ἀνὴρ, θυγατέρα τ' ἐξ αὐτῆς ἔχων, ὄνομα Σίδην, εἶδεν εἰς τὴν κόρην αἰσχρῶς, ὥστε τοῦ πατρὸς τὴν μίξιν ἐκείνην ἐκκλίνουσαν τῷ τῆς μητρὸς ἑαυτὴν ἐπισφάξαι τάφῳ· εἶτα τῶν θεῶν, φασὶ, τὸ πάθος ἐλεησάντων, ἀνῆκεν ἐκ τοῦ αἵματος τὸ δένδρον ἡ γῆ, τὸν δὲ πατέρα γεγονότα ἰκτῖνον φεύγειν ἀποθέν φασι τὰς τῆς συμφορᾶς ὑπομνήσεις, καὶ οὐκ ἐθέλειν ἐπικαθῆσθαι τῷ δένδρῳ.

VIII. Οἱ δὲ ὄρνεις οἱ μέμνονες γένος μὲν τῶν μελαντάτων Αἰθιόπων εἰσὶ, τὴν δὲ Αἰθιοπίαν καταλιπόντες, ὡς πρὸς γονὴν αὐτοῖς δι' ὑπερβολὴν θέρμης ἀχρείαν, καὶ οὐδὲ θέλοντες ἐν αὐτῇ ποιεῖν καλιάς· τὰ γὰρ ᾠὰ πάντως εὐθὺς ὁ ἥλιος καταφλέγει· πρὸς τὸν βορρᾶν καὶ τὴν Θρᾴκην ὁρμῶσιν· εἰς δὲ τὸν Ἑλ-

sed frustra, neque umquam e tali coitu liberos procreabunt, verum ubi ovis excludendis parati sunt, eodem quo feræ tigrides modo, naturalibus Favonio obversis, vento gravidantur; hinc, ut perhibent, odores prompte percipiunt, si animal quiddam, etiamsi procul, alicubi mortuum fuerit. Præ omnibus aliis avibus cibo satiari vix possunt, ita ut de eo quoque inter se decertent, atque viribus præstans reliquos fuget, altera quidem ala tamquam scuto prætensa, altera vero reliquos propellens. Hi autem, cum ille satiatus abiit, omnes simul in cibum irruunt, donec aliquis eorum ceteros fugaverit. Vulturum autem nidos nemo facile inveniet; fiunt enim in locis quam maxime inaccessis. Cadaverum fœtore magnopere delectantur et adeo aversantur unguenta, ut ne armenta quidem mortua, quorum carnes unguento illitæ fuerint, attingant.

VI. Accipitrum plura exstant genera, atque alii quidem ad venandum alacres sunt, columbis inprimis palumbisque perniciem inferentes, alii vero minores aves perdunt, alii porro adeo ignavi et ad volandum pigri sunt, ut ab aliis nutriri malint et sero tandem venatum profecti ranas tantum aggrediantur; alii tandem, fœdere cum hominibus inito, venationi student, vinculis impediti avibusque quas homines venantur metum incutientes; hi autem sæpius alaudas et hirundines infestant; quamobrem cognatos Tereo eos dixeris. Oculorum hebetudini præ omnibus aliis avibus ita obnoxii sunt, ut etiam curationem hujus ægritudinis noverint: lactucæ nempe agrestis, quam medicinæ gratia rescindere solent, liquorem lacteum.

VII. Impudentissimi omnium milvi sunt, qui etiam sæpe ad hominum manus provolant gallinarumque cohortalium pullos occidunt et mulieres inprimis mœrore afficiunt; justas tamen pœnas luunt, cum certo anni tempore imminanem pedibus dolorem patiuntur. Inter omnes arbores punicæ malo numquam eos insidere ferunt et ne aspectum quidem ejus sustinere. Fertur autem, si credere dignum est, virum quendam, amissa uxore, ex qua filiam nomine Siden susceperat, libidinis affectu in filiam exarsisse, illam vero, ne a parente contaminaretur, super materno tumulo sese jugulasse, postea vero, diis hunc casum miseratis, terram de sanguine arborem produxisse, et patrem mutatum in milvum calamitatis suæ monumenta procul refugere, nec insidere huic arbori velle.

VIII. Memnones aves genus a nigerrimis Æthiopibus ducunt; sed Æthiopia relicta, ut quæ nimio calore fœturam impediat, ne nidos quidem in ea struere volunt, (sol enim statim ova omnia comburit) et Aquilonem versus ac Thraciam feruntur. Cum autem ad Hellespontum et Trojam

λήσποντον ἀφικόμενοι καὶ τὴν Τροίαν, ἐπὶ τοῦ τάφου τοῦ Μέμνονος ἀγωνίζονται πρὸς ἀλλήλους, καὶ τὸν ἀπὸ τῶν πτερύγων ἦχον ἀσπίδων ἄν τις ἀπεικάσειε κτύπῳ. Εἶτα τῆς μάχης λήξαντες περὶ τὸν ῥόον τοῦ Αἰσήπου ἀπολούονται κονίζονταί τε ἐπὶ τῆς ψάμμου περιστρεφόμενοι, καὶ τῷ τάφῳ τοῦ Μέμνονος ἐφιζήσαντες ταῖς ἡλιακαῖς ἀκτῖσι ξηραίνουσι τὰς πτέρυγας, τήν τε ἐν αὐταῖς κόνιν ἐπὶ τῷ τοῦ Μέμνονος σπείρουσι τάφῳ, δεικνύντες, οἶμαι, κἀντεῦθεν, ὡς ἐξ ἀνδρῶν μεταβληθέντες εἰς ὄρνεις οὔτε τῆς βασιλικῆς τιμῆς, οὔτε τῆς πολεμικῆς ὀλιγωροῦσι μελέτης.

IX. Ὑπὲρ δὲ τῶν κοράκων ἡμῖν ταῦτα ἰστέον, ὡς ἐκ πάντων ὀρνέων μόνοι τοῖς παισὶ ποτὸν οὐ χορηγοῦσι, ῥηγνυμένου τοῦ ἀνθερεῶνος εὐθὺς μετὰ τὴν μίξιν αὐτοῖς. Τιμωρίαν τοῦτο παλαιᾶς τινές φασιν ἁμαρτάδος· ὕδωρ γὰρ ἐνεγκεῖν κελευσθεὶς, ἡνίκα ἐν Τρίκκῃ τὸν Ἀσκληπιὸν ἔτικτε Κορωνὶς, τοῦ κελευσθέντος ὑπεριδὼν ἐλαγνεύετο, καὶ διὰ τοῦτο μῆνις Ἀπόλλωνος εἰς ὄρνιν τ' αὐτὸν μέλανα τρέπει καὶ δίχα ποτοῦ ποιεῖ τὰς ῥῖνας αὐξάνεσθαι, κἀντεῦθεν εἶναι τοῖς νεοττοῖς λυπηρότατον. Καινόν γε μὴν καὶ τοῦτο ἐπὶ τῶν κοράκων ἐστίν· οὐ μίγνυνται πρίν τινα ταῖς θηλείαις ᾠδὴν ὥσπερ γαμήλιον περικράξαι· αἱ δὲ πεισθεῖσαι οὕτω συνουσιάζονται.

X. Ταῖς κορώναις οὐδὲ, κατὰ τὰ λοιπὰ πάντα πτηνὰ, τῶν ᾠῶν ῥαγέντων, ἔμπροσθεν ἐπὶ τὸ στόμα, ἀλλ' ἐξόπισθεν, πρῶτον προβάλλοντες τὰ σκέλη, προΐασιν οἱ νεοττοί.

XI. Τῶν ἐλάφων οἱ πέρδικες ἐρῶσιν ὑπερφυῶς, συννέμεσθαί τ' αὐτοῖς, καὶ οὐδὲ ἀποφοιτᾷν που βούλονται, παρομαρτοῦσι δὲ καὶ συνθέουσι καὶ τοῖς νώτοις ἐπικαθήμενοι διαξαίνουσι τὰς τρίχας αὐτῶν, ὡς καὶ ἁλίσκεσθαι προσιόντες ἀσμένως, ἢν εἰκόνα ἐλάφου δείξειεν ἀγρευτής. Ὑπὲρ ἀφροδισίων δὲ ἀγωνίζονται πρὸς ἀλλήλους, καὶ πρὸς μὲν τὰς μίξεις αὐτοὺς παροτρύνει τὸ ἔαρ· νεμόμενοι δ' ἐν ταῖς ὕλαις ἀγεληδὸν, εἰ φανείη θήλεια, διίστανται καὶ πολεμοῦσιν ἀλλήλοις, καὶ γίνεται τοῦ κεκρατηκότος ἡ θήλεια· ὁ δὲ ἀναβοᾷ, καὶ γέγηθεν, ὥσπερ χρυσὸν ἢ κόρην ἤ τι γέρας ἕτερον ἐκ πολέμου λαβὼν ἀριστεύς. Ἀλλ' οὐδὲ θάλπειν τὰ ᾠὰ ταῖς θηλείαις ἐπιτρέπουσιν καὶ ὑποκλέπτουσι δ' αὐτὰ πρὸς τὴν μίξιν σπεύδοντες· καίτοι κἀκεῖναι πολλάκις, ὡς ἀσελγεῖς, ὀλιγωροῦσι παιδοτροφίας. Καὶ δολερὸν τὸ γένος ἐστὶν, ὡς καὶ τοὺς νεοττοὺς γινώσκειν, ὅπως ἄνδρα χρὴ προσιόντα ἐξαπατᾷν, φύλλοις ἢ βώλοις ἤ τινι τῶν προστυχόντων καλυψαμένους· ὃ καὶ τοῖς ἁλιεῦσι ποιοῦσιν οἱ πολύποδες, αἷς ἂν προσερείσωνται πέτραις ἀφομοιούμενοι.

XII. Πλέον δὲ, ἧπερ φιλοῦσι τοὺς ἐλάφους οἱ πέρδικες, μισοῦσι τοὺς ὄνους οἱ αἴγινθοι, κἂν ἐπὶ φυτοῦ καλιᾶς οὔσης αἰγίνθου τρέφωνται νεοττοὶ, τῷ δένδρῳ πλησιάσας ὄνος ἀναιρεῖ πάντως αὐτοὺς, καὶ ὀγκησάμενος τὴν κύουσαν αἴγινθον ἀμβλῶσαι ποιεῖ.

XIII. Ὁ κόκκυξ δὲ, ὁ πρῶτος τῶν λοιπῶν πτηνῶν

pervenerunt, super Memnonis sepulcro inter se tanta prælia miscent, ut strepitus alarum scuta resonantia repræsentet. Deinde cum desitum est pugnari, circa fluvium Æsepum se lavant, et in arena se volutantes pulvere spargunter, ac super Memnonis sepulcro sedentes alas ad solis radios siccant, collectumque pennis pulverem monumento inspergunt, vel hoc argumento, ni fallor, ex humana in avium formam se transiisse, et neque regium honorem, neque belli meditationem a se negligi declarantes.

IX. De corvis hoc nos scire oportet quod inter omnes aves soli pullis suis potum non ministrant, mento eis statim a coitu dehiscente, quod veteris quidam peccati culpa eis accidere fama est; nam cum Coronis in Tricca Æsculapium pareret, Corax aquari jussus, re neglecta, veneri vacabat; quamobrem iratus Apollo convertit eum in avem atram, et absque potu rostrum ei excrescere fecit, quæ res pullis est molestissima. Etiam hoc in eis insolens, quod corvi mares non coeunt cum feminis, priusquam cantum quemdam ceu nuptialem ante eas crocitaverint; hæ vero mares ita conciliatæ admittunt.

X. Cornicum pulli ovis non ad caput ruptis, ut ceterarum avium omnium, sed retrorsum, pedibus primum prolatis, excluduntur.

XI. Perdices mirifice cervos amant et pasci cum eis gestiunt, nec usquam discedere volunt, sed comitantur et una currunt et dorsis insidentes pilos eorum vellicant, quare etiam ultro obviam euntes capiuntur ab aucupe, qui cervi imaginem eis ostenderit. Depugnant inter se propter venerem, ad quam tempore veris moventur, et cum gregatim per nemora pascentibus eis femina se offert, dissidium pugnamque cient; cedit autem femina victori. Hic protinus, tanquam præclarus aliquis bellator, auro aut puella aut alio honorario munere donatus, exclamat. Ne ova quidem feminis incubare permittunt eaque ob novum veneris desiderium suffurantur, quanquam et ipsæ matres sæpe præ libidine liberos educare negligant. Dolosæ autem sunt adeo, ut pulli quoque accedentem aucupem decipere calleant, frondibus aut gleba aut quacunque re obvia se occultantes: quem dolum etiam adversus piscatores adhibent polypi, saxi, cui se applicaverint, colorem simulantes.

XII. Perdices non tam cervos amant, ac æginthi asinos oderunt, quorum pullos, etiamsi nidulo plantæ affixo hærentes, accedens asinus utique interficit, rudendoque ova æginthi per abortum abigit.

XIII. Cuculus primus avium veri temporis nuncius est.

ἡμῖν τὸ ἔαρ ἀγγέλλων, αὐτὸς μὲν καλιὰν οὐ ποιεῖ, τὰ δὲ τῶν ἑτέρων ὀρνίθων ᾠὰ κατεσθίει καὶ ἐν ἀλλοτρίᾳ τεκὼν ἀφίσταται καλιᾷ, καὶ θάλπει μὲν ἕτερος ὀι' ἄγνοιαν τὰ τεχθέντα, μέχρις ἂν τῶν ᾠῶν ἴδῃ προκύψαντα, τῆς δὲ ἀπάτης αἰσθόμενος ἀπολείπει τ' αὐτὰ καὶ ἑτέραν ποιεῖται καλιάν· ὁ δὲ κόκκυξ ἐλθὼν τροφὴν τότε τοῖς ἑαυτοῦ δίδωσι νεοττοῖς.

XIV. Τοῖς δρυοκόλαψι δὲ καινόν τι παρὰ τῶν θεῶν δέδοται δῶρον· εἴ καλιάν τις αὐτῶν ἐπιφράξειε λίθοις ἢ ξύλοις, πόαν τινὰ πρὸς τοῦτο ἐγνωσμένην αὐτοῖς ἀνελόμενοι, καὶ τῷ τῆς καλιᾶς προσαγαγόντες στόματι, ἀνοίγουσί τ' αὐτὴν καὶ πάντας ἀποκινοῦσι τοὺς σφῆνας. Καὶ τὰς κλεῖς δὲ τῶν θυρῶν εὐμαρῶς ὁ τὴν πόαν ἐκείνην ἐπιστάμενος διαλύει.

XII. Τοὺς αἰγιθαλοὺς οἱ ποιμένες μισοῦσιν ὅτι τῶν αἰγῶν, ἃς ἂν τεκούσας ἴδοιεν, ταῖς θηλαῖς ὑπερχαίρουσι, τό τε γάλα αὐτῶν, ὥσπερ ἐριφοι, προσιόντες ἐξέλκουσι, καὶ πρὸς τὸν τόκον αὐτὰς εἰς τὸν ἑξῆς βλάπτουσι χρόνον.

XVI. Αἵ γε μὴν γλαῦκες ἐπὶ τῶν προβάτων ὁρῶσαι ταὐτὸν οὐδεμίαν φέρουσι βλάβην. Ἀλλ' ἐκεῖνο ἰστέον περὶ αὐτῶν, ὅτι τοὺς μύρμηκας ἀποκωλύειν βουλόμεναι τῶν ἰδίων νεοττῶν, ἐν τῇ καλιᾷ καρδίαν ἔχουσι νυκτερίδος, ὡς τῶν μυρμήκων ἀπολείπειν καὶ τοὺς ἑαυτῶν φωλεοὺς αἱρουμένων, εἰ νυκτερίδος τις ἐπ' αὐτοῖς θείη καρδίαν.

XVII. Ἴκτερός τις ὄρνις ἀπὸ τῆς χροιᾶς ὀνομάζεται, ὃν εἰ τῷ πάθει τούτῳ τις ἀνὴρ ἐχόμενος ἴδοι, φεύξεται πᾶσαν αὐτίκα τὴν νόσον.

XVIII. Τὰ δὲ τῆς κίσσης πρὸς τὰς τῶν φωνῶν μιμήσεις πῶς ἄν τις εἴποι πλεονεκτήματα καὶ πόσα ἂν εἶναι ζῷα δόξειε φθέγγομένη; μηκᾶσθαι ἐριφόν ποτε κίσσης ἀκούων ᾠήθην, καὶ ὡς τῆς μητρὸς χωρισθέντα περὶ τὸ δένδρον ἐζήτουν, ἐφ' οὗ καθῆστο κίσσα βοῶσα· μυκηθμὸν (ος cod.) εὐθὺς καὶ μόσχου ᾤμην· εἶτα ὡς πρόβατον ἐβληχᾶτο, καὶ τὸν τοῦ ποιμένος τέλος ἐμιμήσατο συριγμόν, ᾧ μετὰ τὴν νομὴν ἐπὶ ποτὸν ἄγει τὰ πρόβατα, ὥστε ὀψέ ποτε ἐπὶ τῶν κλάδων ἰδὼν μεθαλλομένην αὐτὴν, ἀπεθαύμασα πηλίκα μέχρι καὶ τῶν ὀρνέων ἐστὶ τὰ θεῖα δωρήματα.

XIX. Τοῖς ψιττακοῖς δὲ, οὓς οὐκ ἐν ξυλίνοις κλωβοῖς, ἀλλ' ἐν σιδηροῖς φρουρεῖν ἀναγκαῖον, μέχρι καὶ τῆς ἡμετέρας γλώσσης ὠδήγησε τὰς μιμήσεις ἡ φύσις.

XX. Καὶ ταῖς ἀηδόσι θαυμαστήν τινα ᾠδῆς δέδωκεν ἁρμονίαν, αἳ καὶ τοὺς νεοττοὺς ᾠδαῖς μᾶλλον ἢ τροφαῖς ἄλλαις ἐκτρέφουσι, γνησίους μὲν τοὺς εὐφθόγγους ἡγούμεναι καὶ θεραπείας ἀξιοῦσαι παντοίας, ἀποκτείνουσι δὲ τοὺς ἀφθόγγους, ὡς οὐκ ἀξίαν γενεὰν τῶν Ἀττικῶν ἀηδόνων, ὃ δὴ καὶ τῆς ἐλευθερίας αὐταῖς ἔρωτα τοσοῦτον ἐντίθησιν, ὡς εἰ ληφθεῖεν, μήτε ᾄδειν ἐθέλειν, καὶ τὴν γλῶσσαν ἀποτέμνειν εὐθύς.

XXI. Συνήθεις μάλιστα καὶ ὁμωρόφιοι τοῖς ἀνθρώποις αἱ χελιδόνες εἰσὶν, εἰς μὲν ὄρνιθας ἀμειφθεῖσαι, ἡνίκα ἦν ἀνὴρ ὁ Θρᾴξ ἔτι Τηρεύς· ὡς δὲ μεταβαλόντα κἀκεῖνον εἶδον εἰς ὄρνιν, τὰ πτηνὰ φυγοῦσαι πρὸς τὰς

Nidum non facit ipse, ceterarum vero avium devoratis ovis et suis suppositis discedit. Foventur ea ab aliena matre, donec, exclusis pullis, fraus detegatur, qua cognita eos relinquit et alium nidum struit, et ita demum cuculus accedens pullos nutricatur.

XIV. Picus martius singulare a diis beneficium habet. Si quis lapide aut ligno nidum obstruxerit, herbam sibi cognitam affert, eaque orificio opposita nidulum aperit omnesque cuneos removebit. Hanc herbam qui norit, nullo negotio januarum etiam seras resolvit.

XV. Caprimulgos oderunt pastores, quoniam caprarum, quascumque fœtus exclusisse viderint, mamillis impense delectantur, et lac earum accedentes tamquam hœdi exsugunt atque sic in posterum partum earum impediunt.

XVI. Noctuæ tamen, quæ eodem modo oves tractant, nullam iis inferunt noxam, verum hoc de noctuis scire oportet quod, cum formicas a suis pullis abigere cupiunt, vespertilionis cor in nido habent, quia scilicet formicæ sua etiam latibula deserere gestiunt, si quis cor vespertilionis imposuerit.

XVII. Icterus avis quædam a colore nominatur, quam si quis hujus nominis morbo detentus adspexerit, mox integre a morbo liberabitur.

XVIII. Picæ in vocis imitatione singularem naturam, et quam diversa animalia repræsentet, quomodo facile quis dixerit? Ego aliquando picam audiens hœdi vocem arbitrabar a matre separati, atque circa arborem eam exquirebam, cui pica clamans insidebat. Et iterum mugitum vituli audire putabam, deinde ovis instar balabat, postremo sibilum pastoris imitabatur, quo post pascua oves ad potum ducit. Vix vero tandem, pica per ramos saliente conspecta, miratus sum quanta etiam avibus dona largiti sint superi.

XIX. Psittacos non ligneis, sed ferreis caveis servare oportet; eos natura voces etiam humanas imitari docuit.

XX. Dedit et luscinlis natura miram concentus suavitatem. Hæ quoque pullos suos cantu potius quam aliis alimentis educant, et genuinos habentes quicumque pulcra voce instructi sunt omni diligentia curant, mutos autem occidunt, tanquam indignam Atticis luscinlis sobolem. Id etiam libertatis amorem tantum pullis instillat, ut si capiantur, cantum recusent et linguam resecent illico.

XXI. Hirundines hominibus inprimis contubernales sunt. In aves mutatæ sunt, cum vir adhuc esset Thrax Tereus; postquam vero et illum mutatum viderunt in avem, relicto omni avium consortio, ad hominum domicilia confugerunt

τῶν ἀνθρώπων ἦλθον οἰκήσεις. Ἀλλ' οὐδὲ τοῦ βορρᾶ, οὐδὲ ἄλλων τῶν ἐκ Θρᾴκης ἀνέμων στέργουσι τὴν πνοὴν, καὶ τὰς καλιὰς ἐκ τῶν τοιούτων πνευμάτων οἰκοδομοῦσιν ἀπεστραμμένας. Τοὺς νεοττοὺς δὲ τρέφουσιν οὕτως ἐν τάξει, ὥστε, εἴ δεξάμενός τις τροφὴν μεταβάλοι τὸν τόπον, οὐκ ἂν δοῖεν αὖθις, πρὶν ἀναδράμοι. Εἴ γε μήν τις αὐτῶν τὰ τέκνα ἀποτυφλώσειε, τὴν χελιδονίαν βοτάνην κατατεμοῦσαι τῷ στόματι καὶ τὸν ἐξ αὐτῆς χυλὸν ἐπιθαλοῦσαι τοῖς ὄμμασι τῆς πηρώσεως ἀπωθοῦνται τὴν βλάβην.

XXII. Πολυβορώτατον ὄρνεον ἡ σελευκὶς καὶ μετὰ πλείστης εὐχῆς ἀφικνούμενον τοῖς ἀγροίκοις, ἦν τοὺς καρποὺς ἀκρίδων ἔδηται πλῆθος· ὅτι τὰς μὲν φαγοῦσαι, τὰς δὲ καὶ ἀπὸ μόνης τῆς σκιᾶς ἀναιροῦσαι, ἐκκρίνουσιν ἃς ἂν καταφάγωσι ῥᾳδίως αὐτίκα, καὶ πορθουμένοις ἀνδράσι ξενικὴν ἄν τις εἴποι συμμαχίαν ἐληλυθέναι. Ἀλλ' εἴ τῆς χάριτός τις τοὺς ὄρνεις ἀποστερήσειε, διαφθείρουσιν αὖται τὸν σωθέντα καρπόν· κἂν ἀποκτείνῃ τις σελευκίδα φρενοβλαβὴς, οὐκέτ' ἄν, ὑπ' ἀκρίδων τῶν καρπῶν κειρομένων, εἰς τὴν χώραν ἐκείνην ἔλθοιεν βοηθοί.

XXIII. Αἱ δὲ ταῖς φαρμακίσι γυναιξὶ προσφιλεῖς ἴυγγες τροφῆς ὧδε μεταλαμβάνουσιν· τὰς μακρὰς γλώσσας, ὥσπερ οἱ ἁλιεῖς, ἐκτείνασαι καὶ εἰς ἀτραπόν τινα ἐμβαλοῦσαι μυρμήκων, ὡς ἐπὶ βρῶσιν σπεύδοντας ὑποδέχονται ἀκριβῶς, εἶτα τὴν γλῶσσαν κατὰ μικρὸν ἕλκουσαι τοὺς ἁλόντας ἐσθίουσιν. Συνεχῶς δὲ τοὺς τραχήλους κινοῦσιν, ὡς οἱ τῶν ἀνδρῶν διαδεχόμενοί τε καὶ θηλυδριῶν βακχευταὶ ἐπὶ τῆς τελετῆς τῆς Ῥέας εἰώθασιν.

XXIV. Σωφρονοῦσιν ὑπὲρ πᾶν ὄρνεον αἱ τρυγόνες, καὶ γάμον στέργουσιν ἕνα· καὶ τελευτησάσης τῆς δμόζυγος, οὐκ ἄν ποτε ὁ περιὼν ἑτέρᾳ μιχθείη.

XXV. Ταῖς περιστεραῖς δὲ γάμος εἷς ἀπόχρη· μιχθεῖεν δ' ἂν ἄλλῃ, τῆς προτέρας τελευτησάσης, καὶ συνουσίας δ' ἀρχὴν ποιοῦνται τὸ φίλημα· καὶ πρεσβυτέρα μὲν οὐκ ἂν πρὸ τῆς τῶν χειλῶν ἐμβολῆς ἀνάσχοιτο μίξεως· αἱ δὲ νέαι πολλάκις πρὸς τὴν συνουσίαν καὶ δίχα τῶν φιλημάτων ὁρμῶσιν. Εἰ δὲ μὴ παρεῖεν θήλειαι, παρὰ τὸν κοινὸν τῶν ὀρνέων νόμον ἐπιβαίνουσιν ἀλλήλοις οἱ ἄρρενες καὶ ᾠὰ τίκτουσιν, οὐδὲν πρὸς νεοττῶν γονὴν ἐπιτήδεια.

XXVI. Καὶ τὰς κατοικιδίους ὄρνιθας ἴσμεν ἀλεκτρυόνων χωρὶς καὶ ἐν ταῖς τῶν γυναικῶν χερσὶ θερμαινομένας τίκτειν ᾠά. Πρὸς εὐτοκίαν δὲ αὐταῖς, ἦν ὠδινῶνται, χρήσιμον ἐκ τῆς γῆς τῷ στόματι κάρφος λαβεῖν, καὶ ἐπιτιθέναι τοῖς νώτοις. Ὑπὲρ πάντα δὲ τὰ πτηνὰ τοὺς ἀλεκτρυόνας ἴσμεν χαίροντας μάχαις καὶ συνουσίαις. Φωτὶ δὲ μάλιστα χαίρουσι καὶ προαγγέλλουσι τὴν ἡμέραν ὡς ἡλίῳ κεχαρισμένοι, καὶ τὰς τῶν γαμετῶν ὠδῖνας παρηγοροῦσι τῇ κοινωνίᾳ τῶν πόνων, ὥστε ἠρεμαῖόν τι καὶ λεπτὸν ᾄδειν εἰς παραμυθίαν αὐταῖς.

XXVII. Πρὸ δὲ τῶν λοιπῶν πάντων ὀρνίθων, ἔτι

Quin etiam neque Boreæ, neque aliorum ventorum, qui e Thracia spirant, flatus amant, et nidos inde aversos collocant. Pullos suos hoc ordine pascunt, ut qui, cibo accepto, locum mutaverit, huic nihil amplius largiantur, donec ad pristinum suum locum redierit. Si quis earum pullos excœcaverit, hirundinariæ herbæ rostro demorsæ liquorem oculis infundunt et noxam cœcitatis amoliuntur.

XXII. Voracissima avis est seleucis et ab agricolis adveniens multis precibus salutatur, cum fruges locustarum multitudine devorantur, quas partim deglutiunt, partim vel umbra sua enecant, ingestasque nullo negotio confestim excernunt. Adventum sane ipsarum peregrinorum militum subsidio civitati quam populantur hostes occurrenti recte comparaverit aliquis. Nisi tamen gratitudinis aliquod specimen in ipsas mutuo referatur, conservatas a se fruges populantur. Jam si quis mentis parum compos seleucidem interfecerit, reliquæ ad defendendas a locustarum injuria fruges in regionem non revertentur opem ferentes.

XXIII. Illecebræ a veneficis mulieribus exquiruntur. Cibum vero hoc modo capiunt: linguas prælongas, ut piscatores lineas, protendentes, in formicarum aliquam semitam injiciunt. Accelerant illæ tanquam ad escam, illecebræ vero studiose admittunt, ac postea, paulatim lingua retracta, captas devorant. Indesinenter autem collum movent, quemadmodum facere solent viri et spadones se invicem bacchando excipientes, ubi Rheæ sacra celebrant.

XXIV. Turtures præ ceteris avibus omnibus casti sunt, atque singulares diligunt nuptias; quodsi vero fato occubuerit conjunx, numquam superstes cum alia venerem exercebit.

XXV. Columbis vero singulares sufficiunt nuptiæ, attamen priore mortua uxore, cum alia coire non recusant, atque oscula, antequam procreandæ soboli indulgeant, permiscent, idque inter eas, quæ provectiores ætate sunt, perpetuum est: juniores vero non raro absque osculis id faciunt. Quodsi femina desit, præter communem avium morem se invicem inscendunt mares, et ova, sed plane infœcunda, progenerant.

XXVI. Novimus altiles gallinas sine maris opera, mulierum tantum manibus confotas, ova parere. Facilius pariunt, si parturientes festucam e terra ore apprehensam dorso imposuerint. Galli præ omnibus avibus pugnaces et libidinosos esse novimus. Luce inprimis gaudent, diemque, quasi solis præsentia læti, annunciant. Partus conjugum levant et dolores participatione solantur, dum placida et exili voce eis accinunt.

XXVII. Merulæ prius quam reliquæ aves omnes ante

χειμῶνος ὄντος, ὁ κόσσυφος ἀποτίκτει, καὶ χαίρει μύρτοις καὶ δάφναις καὶ κυπαρίσσων ἄλσεσι καὶ ταῖς εὐθαλέσι λεύκαις, πεύκαις τε καὶ πλατάνοις καὶ ταῖς διπλόθριξι πίτυσι, καὶ κισσοῖς. Δύο δ' ἐστὶ γένη κοσσύφων· καὶ οἱ μὲν πάντη μέλανες, οἱ δὲ κηρῷ τὰ χείλη προσεοικότες, καὶ τῶν ἑτέρων μᾶλλον πρὸς τὰς ᾠδὰς ἐπιτήδειοι.

XXVIII. Τὸ κάλλος δὲ ὁ ταὼς τὸ οἰκεῖον τεθαύμακε, καὶ εἴ καλόν τις αὐτὸν ὀνομάσειεν, εὐθὺς τῶν πτερῶν τὰ ἄνθη μεμιγμένα χρυσῷ, ὥσπερ τινὰ λειμῶνα, δείκνυσιν ἀναστήσας, περιάγων εἰς κύκλον αὐτὰ διατεταγμένους ὄμμασιν· τὰ δὴ κατὰ τῆς οὐρᾶς λάμπουσιν ὥστερ ἀστέρες αὐτῷ. Καὶ εἴ προσιδών τις ἐπαινέσειεν ἐπὶ τῷ κάλλει, καὶ διὰ τῆς φωνῆς φιλοτιμήσεται· σκώψαντος δέ τινος, τὴν οὐρὰν κατακρύψει, μισῶν ὥσπερ τὸν φιλολοίδορον. Φρουρὸς οὗτος ἦν τῆς Ἰοῦς, ἡνίκα Ἥρα κατ' αὐτῆς ἐχαλέπαινεν· Ἑρμῆς δ' ἀνεῖλεν αὐτὸν, καὶ τελευτήσαντος, ἀνῆκεν ὄρνιν ἡ γῆ τῶν ὀφθαλμῶν ἔχοντα τὰ σημεῖα τῶν πρόσθεν.

XXIX. Ἔστι τι πορφυρίων ἀπὸ τῆς χροιᾶς λεγόμενον ὄρνεον· ἐρυθρὸν αὐτῷ τὸ ῥάμφος ἐστὶ, καὶ κατὰ κεφαλῆς ὥσπερ τινὰ πῖλον ἔχει, ὁποίους οἱ τοξόται Πέρσαι φέρουσιν· τοῖς κατοικιδίοις ὄρνισιν ἴσος εἰς μέγεθος, πλὴν ὅτι χρῆται σκέλεσι μακροτέροις. Οὗτος οὐκ ἄν ποτε εἰς μίξιν ἔλθοι, παρόντος καὶ ὁρῶντος ἀνδρός· φύσει δὲ σώφρων ἐστὶ, καὶ εἰ ζηλευθείη, ἀνιᾶται, ὡς μηδὲ ὁρᾶν ἄνδρα θέλειν τῇ ἑαυτοῦ γαμετῇ προσιόντα· εἰ δὲ μοιχείας αἴσθοιτο, ἀθυμεῖ τοσοῦτον, ὡς διαφθείρεσθαι.

XXX. Οἱ δὲ ὄρτυγες, ἦν τὰς νομὰς τὰς προτέρας ἀπολιμπάνωσιν, συνίπτανταί τ' ἀλλήλοις καὶ μιᾷ τὴν θάλασσαν ὁρμῇ παραμείβουσι, πτηνῶν ὄντες ὀξύτατοι, καὶ δειλοὶ τοσοῦτον, ὥστε φρίττειν τοῦ πελάγους τὴν ὄψιν καὶ τὰ βλέφαρα ἐπιμύειν, καὶ τοῖς ἱστίοις πολλάκις τῶν νεῶν περιῤῥήγνυσθαι καὶ τοῦτον παρὰ τῶν ναυτῶν θηρᾶσθαι τρόπον. Ὡς δ' ἂν εἰδεῖεν, πότερον διεληλύθασιν, ἢ οὔπω, τὸ πέλαγος, πεῖρας αὐτοῖς τοιόσδε τρόπος ἐξηύρηται. Τρεῖς ἕκαστος λίθους βραχεῖς ἐπὶ τοῦ στόματος φέρει, καθ' ἕνα τε ἀφίησιν, ἀκροώμενος πότερον ἢ εἰς ὕδωρ ἐμπέπτωκεν, καὶ δεῖ πτήσεως μακροτέρας, ἢ κατὰ τῆς γῆς ἐνήνεκται, καὶ καιρὸς ἥκει διαναπαύσεως.

XXXI. Μεθίστανται δὲ ὀρνέων γένη πολλὰ, ὥστε αὐτῶν τά τε τῆς ἐκδημίας καὶ τὰ τῆς ὁδοιπορίας μέτρα γινώσκεσθαι, πλὴν μόνον τῶν πελαργῶν, ὑπὲρ ὧν οὐκ ἄν τις ἀκριβῶς εἰδὼς εἴποι, πόθεν ἥκουσιν, ἢ ποῦ πάλιν ἐπανίασιν· οἱ μὲν γὰρ ἐκ Λυκίας αὐτοὺς, οἱ δὲ ἔρχεσθαι ἐξ Αἰθιοπίας φασὶν, ὅθεν τὸ μυρίον ὕδωρ τοῦ Νείλου τοὺς ἐν Αἰγύπτῳ καρποὺς ποιεῖ πλατυνόμενον. Θαυμαστοὶ δὲ καὶ ἀγχίνοοί εἰσιν, ἦν τε φυλάξασθαι βλάβην, ἦν τε ἐκτῖσαι δέῃ χάριν εὐεργεσίας. Καί τι περὶ αὐτῶν τοιόνδε ἀκήκοα· λίθῳ τις σκέλος ἔκλασε πελαργοῦ· ὁ δ' ἀπὸ τῆς αὐτοῦ πλάγιος ἔπεσε καλιᾶς, εἶτα γυναῖκες ἀσθενοῦντα αὐτὸν καὶ σκάζοντα θεα-

exactam hyemem fœtificant. Myrtis, lauris et cupresso consitis nemoribus gaudet, et læta populo, picea ac platano pinuque bis quotannis pilos producenti, denique hedera se oblectant. Duo earum genera sunt, quarum alterum undequaque nigrum (fuscum), alterum vero rostro cereo, idemque magis canorum.

XXVIII. Pavo suam ipse miratur pulchritudinem, et si quis eum formosum appellaverit, mox floridas auricomasque pennas expandit et veluti pratum erigens ostentat et oculis interspersas in orbem circumducit. A parte caudæ stellæ enitere videntur, ac si quis eum laudaverit de pulchritudine conspicatus, confestim vocis ope etiam laudes ambibit: si quis vero reprehenderit, cauda recondita, quasi calumniatorem odio sibi esse testabitur. Pavo quondam Ius erat custos, ubi in Junonis iram incurrerat, a Mercurio demum interfectus: ex cujus cadavere tellus avem protulit, in qua etiamnum signa, quos habuit, oculorum apparent.

XXIX. Exstat porphyrio quædam avis, cui a colore nomen; rostrum habet rubicundum et super capite veluti cristam, pileo similem quem gestant sagittiferi Persæ, par magnitudine gallinis altilibus, sed crura ei longiora. In hominum conspectu nunquam conjugi suæ miscetur: natura enim castus est, atque, si invideatur, ægre fert, ita ut viri etiam ad conjugem accedentis adspectum tolerare nolit. Si vero adulterium deprehenderit, nimio dolore contabescit.

XXX. Coturnices, pascuis prioribus relictis, gregatim volitant, et maris spatium volatu non intermisso, ceu avium celerrimæ, superant, tam timidæ interim, ut maris aspectum exhorreant et oculis conniveant, unde sæpe velis illisæ navium a nautis capiuntur. Ut autem intelligant, an superatum jam ipsis mare sit, necne, hoc experimentum commentæ sunt: unaquæque ternos ore lapillos fert, quorum singulos per intervalla demittunt, auscultantes, utrum in mare deciderit, ulteriusque volandum sit, an vero super terra feratur et tempus advenerit quiescendi.

XXXI. Avium multa genera locum ita mutant, ut certum sit, unde et quo se recipiant; ciconiæ vero solæ unde veniant, ac quo revertantur, non satis constat. Quidam ex Lycia volare aiunt, alii ex Æthiopia, quo loco, inchoata Nili exundatione, fœcundatur Ægyptus. Mirabilis omnino et solertis ingenii sunt, sive injuria cavenda, sive gratitudinis edendum aliquod signum fuerit. Hujusmodi autem de iis accepi fere narratiunculam; cum quidam ciconiæ crus lapide confregisset, eaque e nido transversa delapsa esset, a mulieribus, quæ claudicantem viderant, excepta et curata est ægrota; dein, sanato jam morbo, progressa cum ceteris avolavit. Sequentis deinde anni vere ad eandem

σάμεναι, ἰάσαντο λαβοῦσαι· καὶ βαδίζων, ἤδη νικηθέντος τοῦ πάθους, σὺν τοῖς λοιποῖς ἀπέπτη, καὶ πάλιν, ἐπιόντος ἔαρος, εἰς τὴν αὐτὴν ὥρμησεν οἰκίαν, ὡς γνωσθῆναι μὲν ἀπὸ τῶν τῆς χωλείας σημείων, ἡσθῆναι δὲ τὰς γυναῖκας, ὅτι παρ' αὐτὰς ἦκεν ἄσμενος. Τοῖς μακροῖς δὲ χελεσιν ἐπικύψας ἐκεῖνος λίθον τῶν τιμίων περικαλλέστατον πρὸς τοῖς ποσὶν ἤμεσε τῶν γυναικῶν· αἱ δ' ἔγνωσαν, ὡς εἰς χάριτος ἀμοιβὴν καὶ ἀνδρῶν πολλάκις εἰσὶν οἱ πελαργοὶ προθυμότεροι. Ἐν Ἰταλίᾳ δέ τι λέγεται συμβῆναι τοιοῦτον· νεοττοὺς τινῶν πελαργῶν ὄφις ἀπὸ τῆς γῆς κατήσθιεν ἀνερπύζων, καὶ πάλιν εἰς τὸ δεύτερον ἔτος τὸν ἕτερον τοῖς αὐτοῖς διέφθειρε τόκον. Οἱ δὲ στειλάμενοι πρὸς τὴν ξένην καὶ τὸ τρίτον ἥκοντες καινόν τινα ὄρνιν καὶ οὐκ ὀφθέντα πρότερον ἐπηγάγοντο, βραχύτερον μὲν αὐτῶν, ῥάμφος δὲ, ἀπὸ τῆς κεφαλῆς ὀξὺ καὶ μέγιστον ὥς τι προβαλλόμενον ξίφος. Πῶς ἄρα τῶν νεοττῶν αὐτῶν τὴν δυσποτμίαν ἀγγελλαντες, τίσι δὲ πρὸς τὴν ἐπικουρίαν ἐλθεῖν πείσαντες ἐπαγγελίαις ἢ λόγοις; εἰ μὴ ἄρα τις ἄγνωστα ἡμῖν πρὸς ἀλλήλους φθέγγεσθαι λέγοι τούς τε ὄρνεις καὶ τὰ θηρία. Ὁ δὲ, τέκνων μὲν οὐκ ὄντων ἔτι τοῖς πελαργοῖς, ἐπὶ τὰς αὐτὰς νομὰς ἦει τοῖς κεκληκόσιν· νεοττευσάντων δὲ, τοὺς μὲν ἀφίπτασθαι πόῤῥω καὶ τροφὰς κομίζειν ἔδει τοῖς νεοττοῖς καὶ τῷ φύλακι, τὸν δ' ἐπὶ τῆς καλιᾶς μένειν ἐπιόντα τὸν ὄφιν. Καὶ μικρὸν ὕστερον ἐκ τοῦ φωλεοῦ προελθὼν ἀνεσόβει τοὺς νεοττούς, ὧν ὁ σύμμαχος προεστήκει, καὶ παίει δὴ τῷ ῥάμφει τὸν ὄφιν· ὁ δ' οὐχ ὑπείξας, ἀλλὰ καὶ τὸν ὅλκὸν ἀναστήσας πρός τε τὴν οὐρὰν ἐρεισάμενος ἀντετάττετο, καὶ πληγὴν πάλιν δεξάμενος, εἶτα ἀντιταχθεὶς ταῖς σπείραις περιβαλεῖν τὸν ὄρνιν ἐπείγετο, μάτην πλείστοις χρώμενος ἑλιγμοῖς· ὁ γὰρ ὄρνις ὑπέφευγε ῥᾳδίως, τοῖς πτεροῖς κουφιζόμενος· καὶ τοὺς νεοττοὺς ὁ μὲν ἀνελεῖν ἔσπευδεν, ὁ δὲ σῶσαι, μέχρι πρὸς τὸ τῶν τραυμάτων πλῆθος ὁ ὄφις ἀπειπὼν διεφθάρη, δακών γε μὴν τὸν ὄρνιν ἐν τῇ συμπλοκῇ καὶ τὸν ἰὸν αὐτῷ τῶν ὀδόντων ἐγχέας, ὡς καὶ τὰ πτερὰ πάντα αὐτῷ διαῤῥεῦσαι. Τοῦ καιροῦ δὲ τῆς ἀναστροφῆς ἥκοντος, οἱ μὲν λοιποὶ πάντες ἀφίπταντο πελαργοί· οἷς δὲ τῆς πρὸς τὸν σεσωκότα τοὺς νεοττοὺς ἔμελεν ἀμοιβῆς, σὺν αὐτοῖς ἔμενον τοῖς νεοττοῖς, μέχρις ἐκείνῳ νέα περιφῦναι πτερὰ, καὶ συναπελθεῖν ὑπῆρξεν αὐτοῖς.

XXXII. Ἀκήκοα δέ, ὡς παρὰ τοῖς Ἰνδοῖς ὄρνις εἴη γονέων ἄτερ καὶ μίξεως χωρὶς ὑφιστάμενος, φοίνιξ τοὔνομα, καὶ βιοῦν φασιν ἐπὶ πλεῖστον καὶ μετὰ πάσης ἀφοβίας αὐτὸν, ὡς οὔτε τόξοις, οὔτε λίθοις, οὔτε καλάμοις, ἢ πάγαις τῶν ἀνδρῶν τι κατ' αὐτῶν ποιεῖν πειρωμένων. Ὁ δὲ θάνατος αὐτῷ τὴν ἀρχὴν ποιεῖ τῆς ζωῆς· ἦν γάρ ποτε γηράσας πρὸς τὰς πτήσεις ἑαυτὸν ἴδῃ νωθέστερον, ἢ τὰς αὐγὰς τῶν ὀμμάτων ἐλασσουμένας, ἐφ' ὑψηλῆς πέτρας κάρφη συλλέξας, πυράν τινα τῆς τελευτῆς, ἢ καλιὰν συντίθησι τῇ ζωῇ, ἣν, ἐν μέσῳ καθημένου τοῦ φοίνικος, ἡ τῶν ἡλιαχῶν ἀκτίνων καταφλέγει θερμότης· οὕτω δὲ διαφθαρέντος

domum reversa, agnoscebatur ex claudicationis signo, et mulieres conspectu, ceu quæ libenter apud ipsas diverteteret, exhilarabat. Illa vero e rostro oblongo egregiam et pretiosam gemmam ad pedes mulierum evomuit. Hæ autem animadverterunt, ciconias sæpe etiam viris ad gratiam rependendam promtiores esse. In Italia, ut fertur, cum serpens e terra prorepens ciconiarum quarumdam pullos devorasset et alteram sequentis anni fœturam similiter perdidisset, ciconiæ, confecta peregrinatione, tertio demum anno reversæ novam quandam avem et prius non visam, quæ brevior quidem ciconiis erat, sed rostrum maximum et acutum ensis instar e capite exerebat, secum adduxere, indicata nimirum ei nescio quo modo fœtus calamitate sui, sive pollicitationibus ullis sive verbis, ut opem ferret, incitatam, nisi forsitan aliquis aves et animantes alias suum inter se colloquium nobis ignotum miscere perhibeat. Avis hæc, nondum absoluto ciconiarum fœtu, ad pascua hospites sequebatur; pullis autem jam exclusis, parentes ad comparandum illis avique custodi victum longius avolare, ipsa vero, nido non relicto, adventum serpentis exspectare debebat. Serpens igitur paulo post progressus e latibulo pullos aggreditur, et licet ab ave custode rostro impeteretur, non statim recessit, sed erectus corpore caudæque innitens se opponebat, atque jam ictus vicissim spiris involvere custodem frustra moliebatur, utcunque plurimis se flexibus insinuaret; nam facile evadebat avis, in sublime se recipiens. Sic ille perdere, hæc servare pullos annitebantur, donec tandem ille plurimis vulneribus confossus occubuit, at non impune; avem enim in conflictu momordit venenumque dentium vulneri infudit, ita ut omnes ei pennæ defluerent. Cum vero revertendi tempus appetiisset, ac reliquæ ciconiæ jam avolarent, parentes cum pullis servatis, ut beneficii memores se declararent, tantisper mansere, donec, novis ei pennis renatis, simul avolare posset.

XXXII. Apud Indos, ut perhibent, exstat avis sine parentibus vel coitu nata; huic nomen est phœnici; longissimam et securam omnino ei vitam contingere ferunt, cum nullis hominum insidiis petatur, non sagittis, non lapidibus, non calamis, non denique decipulis. Mors ei initium vitæ; nam ubi jam per ætatem ad volatum torpidiorem se, aut aciem oculorum obtusam senserit, collectis in excelsa rupe cremiis, rogum sibi mortalem, vitalem autem novæ proli nidum construit, qui a solaribus radiis, insidente in medio ave, incensus conflagrat. Sic, illo consumto, alter

αὐτοῦ, νέος ἐκ τῆς τέφρας αὖθις ἕτερος γίνεται φοῖνιξ καὶ τοῖς πατρῴοις ἔθεσι χρῆται, ὥστε ὑπὸ τῆς ἡλιακῆς μόνον αὐγῆς, πατρός τε καὶ μητρὸς χωρὶς, τὸν ὄρνιν γίνεσθαι τοῦτον.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

I. Λεκτέον δὲ καὶ περὶ τῶν ἀμφιβίων ὀρνίθων, ὅσαι τῇ θαλάσσῃ χαίρουσι καὶ ταῖς ἀκταῖς ἐφιζάνουσι καὶ πρὸς τοῖς αἰγιαλοῖς ποιοῦνται τὰς καλιὰς, ὧν ἔστι γένη πλείω τε καὶ ποικίλα· οὐ γὰρ ἧττους τρέφει τῆς γῆς ὄρνεις ἡ θάλασσα. Οὐ μὴν μία φύσις τούτοις τε καὶ τοῖς χερσαίοις ἐστίν· ἀλλὰ τοῖς μὲν ἐπὶ ταῖς σαρξὶν ἀραιότερα κεῖται πτερὰ καὶ πρὸς τὴν ταχεῖαν χρήσιμα πτῆσιν· πυκνὰ δὲ καὶ οὐδαμῶς πεφυκότα βρέχεσθαι περισκέπει τοὺς ἀμφιβίους, ὥστε νήχεσθαι αὐτοῖς ἀδιαβρόχοις ἐξεῖναι. Καὶ πόρους ἔχουσιν ἐπὶ τῶν στομάτων πλατεῖς, δι' ὧν τὸν ληφθέντα ἰχθὺν παραπέμπουσιν εἰς τὴν γαστέρα εὐκόλως. Ἀλλὰ καὶ στεγανοὶ τοῖς πλείστοις πόδες εἰσὶν, οἷς ἐπὶ τῶν ὑδάτων οἷα κώπαις χρῶνται νηχόμενοι. Καὶ φύσις μὲν αὐτοῖς ἥδε κοινή· δυνάμει δ' ὑπερβάλλουσι τοὺς λοιποὺς πάντας οἱ ἁλιαίετοι, τὸ μὲν εἶδος τοῖς χερσαίοις ἀετοῖς ἐοικότες, βορᾷ δὲ χρώμενοι θαλαττίᾳ, καὶ τοὺς ἰχθῦς μάλιστα θηρῶντες ἐκείνους, οἳ πλεῖν δοκοῦσιν, ἐπὶ ἄκρων ὑδάτων νηχόμενοι, ὥστε καὶ μέρος αὐτοῖς ἐκφανὲς εἶναι τοῦ σώματος. Οὐ μὴν ἀεὶ χρηστὸν αὐτοῖς τὸ τῆς ἄγρας τέλος ἐστίν· τοῖς γὰρ μείζοσι πολλάκις ἰχθύσι τὰς καμπύλας τῶν ὀνύχων ἐπιβάλλοντες ἀκμὰς, πρὸς μὲν τὸν ἀέρα αὐτοὺς οὐκ ἰσχύουσιν ὡς βαρεῖς ἀνασπᾶσαι, καθελκόμενοι δ' αὐτοὶ διαφθείρονται θᾶττον ἢ διαφθείρουσι, πρὸς τὸν τῆς θαλάσσης πυθμένα τῆς ὀδύνης τοὺς ἰχθῦς ἐπειγούσης, τῶν δ' οὐκ ἰσχυόντων διαπαρέντας ἅπαξ ὑπεκλῦσαι τοὺς ὄνυχας. Τούτους φασὶ νόθους παῖδας ἀετῶν εἶναι χερσαίων, καὶ τῶν πατρῴων καλιῶν διὰ τοῦτο ἐξελαύνεσθαι, εἶτα ὑπό τισι τραφέντας ἄλλοις ὀρνέοις, τὰς ἐπὶ τῆς γῆς ἐκκλίνειν διατριβὰς καὶ τοῖς πελάγεσιν ὑπερχαίρειν. Οἱ ἁλιεῖς δ' αὐτοὺς ὡς εὐκτήν τινα καὶ αἴσιον ὄψιν ἀσπάζονται.

II. Ὄρνις δέ τις ἔστιν, ὡς οἱ τῶν λάρων ἐλάσσονες, ἰσχυρὸς δὲ καὶ τὴν χροιὰν λευκὸς καὶ τοῖς τὰς φάσσας ἀναιροῦσιν ἱέραξι προσόμοιος, ὃς ὀνομάζεται καταβράκτης· τῶν νηχομένων γάρ τινας τηρήσας ἰχθύων, ὁρᾷ δὲ καὶ μέχρι τοῦ τῆς θαλάττης βυθοῦ, πρὸς ὕψος ἑαυτὸν αἴρει, καὶ τὰ πτερὰ πάντα συστείλας εἰς τὸν πόντον, οἷα πίπτων, ἴεται, διατεμὼν τὸν ἀέρα, παντὸς ἂν εἴποι τις βέλους ὀξύτερον, καὶ καταδύεται μέχρις ὀργυιᾶς, ἢ καὶ πλέον· ἔσθ' ὅτε συλλαβών τε τὸν ἰχθὺν ἀνασπᾷ καὶ ἱπτάμενος ἔτι πάλλοντα κατεσθίει. Τοῖς σκοπέλοις δὲ καὶ τοῖς αἰγιαλοῖς ἐφιζάνει καὶ ταῖς χοιράσι πέτραις, αἳ μικρὸν ὑπερκύπτουσι τῆς θαλάσσης, καὶ πρὸς ποτὸν οὐ κατὰ τοὺς ἄλλους ὄρνεις χρῆται ποταμοῖς ἢ πηγαῖς, ἀλλ' ὕδατι θαλασσίῳ· καὶ βρύα

rursus novus phœnix e cinere surgit et iisdem quibus pater moribus utitur, ita ut sine genitore, sine genitrice, solo splendore Phœbeo avis hæc procreetur.

LIBER SECUNDUS.

I. Dicendum etiam de avibus, quas amphibias vocant, quæ mari gaudent littoribusque immorantur atque in oris maritimis nidos construunt. Plura earum sunt genera eaque varia; neque enim mare pauciores quam tellus aves alit; at natura non eadem aquaticis, quæ terrestribus est; his enim caro rarioribus tegitur pennis, quibus celerius volent; aquaticæ vero plumis spissioribus, quæ numquam madefieri possunt, defenduntur, adeo ut siccis eis natare liceat. Meatus rostri diductiores quoque habent, quo piscem captum nullo negotio in ventrem demittant. Palmipedes sunt pleræque adeoque pedibus remorum instar in aquis utuntur. Hæc quidem universis communia sunt; robore vero inter reliquas aquila marina præstantissima est; specie quidem terrestribus non dissimilis, sed e mari victitat, et piscium præda, illorum maxime, qui fluitare videntur, in superficie aquæ natantes, ita ut corporis ipsorum pars aliqua sub conspectum veniat. At non perpetuus ei successus est; interdum enim, cum in majores pisces aduncos unguium mucrones infixere, nec in altum levare possunt, pondere victi una cum piscibus pessum eunt et perduntur magis quam perdant, ad imum pelagi fundum tracti, quo pisces urgente dolore se recipiunt, ungues transfixos quoniam expedire non valent. Hos aiunt spurium esse fœtum terrestrium aquilarum, ideoque a paternis nidis repelli, deinde per alios quosdam alites educatos, neglecta terra, alto mari impense oblectari. Quamobrem conspectu ipsorum exoptatus bonique ominis apud piscatores habetur.

II. Avis quædam exstat ad instar lari minoris, sed robusta et colore candido, accipitri palumbario similis; vocatur autem catarrhactes; ubi enim pisces aliquot natantes viderit (perspicacissimus autem est vel ad fundum usque maris), altius volat, et, pennis omnibus contractis, in mare tanquam delapsus, per medium aeris intervallum quovis telo celerius fertur, et ad passus spatium vel etiam ultra immergitur; interdum comprehensum piscem extrahit, quem mox evolans palpitantem adhuc devorat. Scopulis ac littoribus et petris parum supra aquam eminentibus insidet; in potu marina aqua, non, ut ceteræ aves, fluviatili, aut fontana utitur. Fucum aut algam ovis super petram substernunt, neque fovent, sed ventis semper exposita relinquunt, etiamsi sic etiam tractent ova sua: mas ova,

ἐπὶ τῶν πετρῶν τοῖς ᾠοῖς ὑποστρώννυσιν, οὔτε θάλπων, καὶ τοῖς ἀνέμοις αὐτὰ διὰ παντὸς ἐπιτρέπων, καίτοι καὶ ἐπὶ τοῖς ᾠοῖς τοιόνδε τι δρῶσιν οἱ καταβράκται· οἱ μὲν ἄρσενες ἀναλαβόντες οἷς ἔνεστιν ἄρσενα, αἱ θήλειαι δ' ὁμοίως τὰ θήλεα, καὶ τοῖς ποσὶν ἐπισφίγξαντες, πρὸς τὸν ἀέρα ἀνίπτανται καὶ κατὰ τοῦ πελάγους φέρεσθαι ἀφιᾶσιν, εἶτα πρὸς τὸ ὕδωρ ἑπόμενοι θᾶττον ἐξαρπάζουσι τοῦ πελάγους αὐτὰ, συνεχῶς τοῦτο ἔν τισι ποιοῦντες ἡμέραις, οὕτω θ' ἡ φορὰ θερμήνασα τῶν ᾠῶν προφέρει τοὺς νεοττούς· οἱ δὲ τὸ φῶς ἰδόντες εὐθὺς ἐπὶ τῶν καλιῶν οὐκ ἀνέχονται διατρίβειν, ἀλλὰ τῇ τῶν τεκόντων ἕπεσθαι πτήσει φιλονεικοῦσιν· εἶτα οἱ γονεῖς ὑπολαβόντες αὐτοὺς πάλιν εἰς τὸν βυθὸν ἀφιᾶσι, καὶ πάλιν ἁρπάζουσιν ἠπειγμένως, ἐλαφρίζοντες τὸν πόνον αὐτοῖς· οὕτω γὰρ ἂν θᾶττον τῆς πατρῴας θήρας τὸν τρόπον ἐκδιδαχθεῖεν, καί τις ἂν αὐτοὺς εἰκάσειε παισὶν ἐπὶ γεωργίαν ἑπομένοις γεγηρακότι πατρὶ, ὧν ὁ μὲν ἐπιθεὶς βουσὶν ἄροτρον ἀνατέμνει τὴν γῆν, ὁ δ' ἡγεῖται, σῖτον ἐπὶ σπόρον ἐχέων· ἐργαζομένοις δ' ὁ πατὴρ ἐφέστηκε, διδάσκων ἅμα καὶ γεγηθώς. Οἱ καταβράκται δὲ νέοι μὲν ὄντες ἔτι τοὺς βραχεῖς ἁρπάζουσι τῶν ἰχθύων καὶ οὐδὲ τῶν ἀκτῶν ἅπτασθαι πόρρω θαρροῦσιν, αὐξηθέντες δὲ τοῖς μείζοσιν ἐφοπλίζονται. Καὶ τῶν ἀμφιβίων πάντων κάκιον τελευτῶσιν ὀρνέων· ὑπὸ γήρως γὰρ αὐτοῖς τῆς ὄψεως ἀμβλυνθείσης, ἡγοῦνται μὲν ἐπὶ τὸ πέλαγος φέρεσθαι, τῆς ἄγρας ἐφιέμενοι τῆς συνήθους, πέτραις δὲ καὶ κρημνοῖς περιῤῥηγνύμενοι διαφθείρονται.

III. Καὶ οἱ τροχίλοι δὲ τῶν ἀμφιβίων ὀρνέων εἰσὶ, καὶ πρὸς τοῖς αἰγιαλοῖς τρέχουσιν οὕτω πολλάκις, ὡς ὀξύτερον αὐτῶν τῆς πτήσεως εἶναι τὸν δρόμον· ἔχουσι γὰρ καὶ τὴν προσηγορίαν ἐντεῦθεν. Τοῖς μεγάλοις δ' οὐκ ἐπιχειροῦσιν ἰχθύσιν, ἀλλ' ἀπόχρη θήρα καρκινάδος αὐτοῖς, ἢ συλλαβεῖν ἄλλο τι τῶν ὁπόσα πρὸς τοὺς αἰγιαλοὺς ἐκφέρει τὰ κύματα. Νέμονται δ' οἱ ἄρσενες μετ' ἀλλήλων, καὶ χωρὶς πάλιν αἱ θήλειαι, καὶ τοῦ ἔαρος ἐπιστάντος, ἐπειγόμεναι πρὸς συνουσίαν αἱ θήλειαι πρότεραι τοῖς ἄῤῥεσιν ἐφορμῶσι, καὶ μικρόν τι παρ' αὐτοῖς οἷον ᾄδουσι τετριγυῖαι, οὕτω τε ἐκκαλοῦνται πρὸς μίξιν, καὶ τῇ προτροπῇ μόλις ἐνδόντες οἱ ἄῤῥενες μίγνυνται, μέχρις ἂν πέντε πεποιηκέναι ᾠὰ διὰ τῆς μίξεως οἰηθῶσι, καὶ πρὸς τὰς αὐτῶν πάλιν ἕκαστοι χωροῦσι νομὰς, τῶν ἀῤῥένων μὲν οὐδὲ μικρὸν ἔτι λόγον τῆς τῶν παίδων ἐκτροφῆς ποιουμένων, οὐδὲ τῆς μίξεως μνήμην, τῶν θηλειῶν δ' ἐπὶ τοῖς νεοττοῖς καμνουσῶν καὶ πρὸς ἀλλήλας τὴν σπουδὴν νεμομένων· αἱ μὲν γὰρ τὰ ᾠὰ θάλπουσαι μένουσιν ἐν ταῖς καλαῖς, αἱ δὲ τροφὴν συγκομίζουσι ταῖς θαλπούσαις, καὶ ὁρῶσι τοῦτο ἀμοιβαδὸν, τὰ ᾠὰ τῇ τῶν πτερῶν θερμαίνουσαι παραψαύσει· εἶτα ἐπὶ τὸν αἰγιαλὸν τοὺς νεοττοὺς ἄγουσιν αὐξηθέντας, ἐν ᾧ τοῖς ἄῤῥεσι νέμεσθαι φίλον, καὶ μερισθέντες οὕτως ἕπονται τοῖς τε ἄῤῥεσι καὶ ταῖς θηλείαις οἱ παῖδες, ὥστε ἐοικέναι προβάτοις ὑπὸ τῶν ποιμένων μετὰ τὰς ἐν ταῖς νομαῖς συμμίξεις χωριζομένοις.

unde marem procreandum conjicit, femina, unde feminam, in sublime ferunt pedibus comprehensa, inde dimittunt ut super pelago ferantur, dein ipsi versus maris superficiem insecuti, ocyus mari subripiunt, atque hoc subinde repetunt certis quibusdam diebus. Sic motu concalefactis ovis, pulli excluduntur. Pulli mox, ut lucem aspexerint, nulla in nidis mora parentes volatu sequi contendunt; a parentibus autem suscepti in mare demittuntur et rursus illico extrahuntur, ut sic facilius auxilio parentum hoc genus exercitii ipsis reddatur paternæque citius venationis rationem discant; comparaveris autem eos filiis agricolæ, gravem annis patrem sequentibus, quorum alter, imposito bubus aratro, terram proscindit, præit alter et sulcis semina committit; operantibus pater docens simul et gaudens assistit. Teneri adhuc pisciculos tantum captant, longius a littoribus volatu discedere non ausi; adultiores deinde majores invadunt. Mors illis gravior, quam ulli ambiguæ vitæ avium contingit; acies enim oculorum senio confectis obtusa in causa est, ut in mare se præcipites ferri arbitrantes, solitam prædam persecuturi, scopulis ac præcipitiis illidantur et pereant.

III. Sunt etiam ex amphibiis avibus trochili; hi per littora discurrunt tanta sæpius celeritate, ut cursus eorum volatu etiam pernicior sit, atque hinc nomen eis apud Græcos impositum. Pisces magnos non aggrediuntur, cancellis, et si quæ fluctibus ad littora propellantur, contenti. Mares seorsum a feminis, feminæ a maribus pascuntur. Ineunte vere priores feminæ coitum expetentes sollicitant mares ad venerem et prope eos levi quodam cantu veluti strident, quo ad coitum provocant mares, qui vix tandem huic invitationi cedentes veneri indulgent, donec coitum ad quinque ova procreanda sufficere arbitrantur. Mox iterum ad sua sexus uterque pascua seorsum revertitur; tunc mares omnem fœturæ et veneris curam relinquunt, feminis labor pullorum curandorum solis incumbit, eumque illæ inter se partiuntur; aliæ enim ova in nidis fovent, aliæ foventibus cibum congerunt, atque hoc alternis vicibus faciunt, ova sua plumarum contactu calefacientes. Pullos jam adultos ad littus producunt, ubi mares versari solent; ibi separatim sui sexus parentes quique pulli sequuntur, ita ut similes sint pecoribus quæ pastores, postquam in pascuis coiere, a se invicem secernunt.

IV. Οἱ λάροι τοῖς ἀνθρώποις εἰσὶ προσφιλέστατοι καὶ πλησίον αὐτῶν οἰκοῦσιν ὡς συνηθέστατοι· καὶ εἰ θεάσαιντο σαγήνην ἁλιέας ἐξέλκοντας, ὡς κοινωνοὶ τῆς ἄγρας πλησιάζουσιν ταῖς ἀκάτοις, καὶ περὶ τὰ δίκτυα κεκραγότες μοῖραν ἀπαιτοῦσι τῆς θήρας, καὶ παρέχουσιν οἱ γριπεῖς κατὰ τῆς θαλάττης ῥιπτοῦντες τῶν ἰχθύων τινὰς, οἱ δὲ τούς τε ῥιπτουμένους ἐπιδραμόντες ἐσθίουσι, καὶ εἴ τινες διεκφύγοιεν ἄλλοι τῶν λίνων, ἐκδέχονται μάλα ἑτοίμως αὐτοὺς, ὥστε εἶναι δόξαν, ὅτι ποτὲ γεγονότες ἄνδρες καὶ πρῶτοι θήραν τὴν θαλασσίαν εὑράμενοι καὶ θεῶν βουλήσει μεταμειφθέντες εἰς ὄρνεις, τῆς παλαιᾶς ἔτι μέμνηνται ἐπιστήμης, οὐ πόρρω τῶν πόλεων καὶ τῶν λιμένων ἱπτάμενοι. Πλείω δ' ἐστὶ γένη τῶν λάρων· καὶ οἱ μὲν αὐτῶν λευκοί τ' εἰσὶ καὶ ὡς αἱ περιστεραὶ βραχεῖς· οἱ δὲ τούτων μέν εἰσι μείζονες καὶ ἰσχυρότεροι, πυκνοτάτοις δὲ πτεροῖς περισκέπονται, καί τινες ἔτι καὶ τούτων εὐμεγεθέστεροι. Λευκὰ δ' ἐστὶ καὶ τούτοις πτερὰ, πλὴν ὅσον ἐπὶ ταῖς ἀκροτάταις πτέρυξι καὶ τοῖς τραχήλοις μελαίνονται. Καὶ τούτοις ἅπαντες οἱ λοιποὶ λάροι νομῆς τε καὶ ἕδρας παραχωροῦσι καὶ ὡς βασιλεῦσιν ὑπείκουσι, καὶ γηράσκουσι δ' αὐτοῖς κυάνεα γίνεται πτερὰ, καὶ κατὰ τῶν πετρῶν, ἐν αἷς μάλιστα ὕδωρ τῆς γῆς πότιμον ἀποῤῥεῖ, νεοττεύουσιν, ὥστε τοὺς παῖδας θαλασσίᾳ μὲν τροφῇ, γλυκεῖ δ' ὕδατι χρῆσθαι, μέχρις ἂν αὐξηθέντες ἰσχύσωσιν ἁφίπτασθαι τῶν καλιῶν, τότε δὲ καὶ τροφῇ καὶ ποτῷ χρήσονται θαλασσίῳ. Πρὸς δὲ νήξεως τάχος οὐκ ἂν ὄρνις ἕτερος ἐρίσειε λάρῳ.

V. Αἱ δ' αἴθυιαι τροφῆς μὲν ἀεὶ πλείστης ὀρέγονται καὶ οὐκ ἄν ποτε λιμώττουσαι κορεσθεῖεν, τοὺς δ' ἐσθιομένους ἰχθύας εὐθὺς διὰ τῆς ἕδρας ἐκκρίνουσιν, ὡς καὶ ζῶντας ἀποπέμπειν ἔσθ' ὅτε. Καὶ μόναι τῶν ἀμφιβίων ὀρνίθων κατὰ ταὐτὸν θηρῶσί τε καὶ ἵπτανται, καὶ ἐσθίουσι καὶ μάλιστα τοὺς γόγγρους καὶ τὰς ἐγχέλεις καὶ τοὺς ἄλλους δ' ἰχθύας, οἷς ὀλισθηρὸν σῶμα ἔστιν. Ἀλλὰ καὶ μένουσιν ἐπὶ πλεῖστον ὑποβρύχιοι καταδῦσαι, καὶ τοὺς ἰχθύας δώκουσιν, ὡς δελφῖνες ἢ κύνες. Ἀλλὰ καὶ οὐκ ἐν τοῖς πελάγεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς λίμναις εἰσὶ, μάλιστα ἐὰν ζάλη τις ὑπ' ἀνέμων ἔχῃ τὴν θάλασσαν· τότε γὰρ οὐκ ἐθέλουσιν ἐνδιατρίβειν αὐτῇ. Καὶ μόνας ταύτας ἐκ πάντων φασὶ τῶν πτηνῶν μήτε ἀφιέναι φωνὴν, μήτε ἀκούειν δύνασθαι.

VI. Καὶ τοὺς πελεκίνους, οἷς εἰσιν οἱ τράχηλοι μήκιστοι, τροφῆς ἔχει πόθος οὐ μείων, ἀλλ' οὐ παντὶ κατὰ τὰς αἰθυίας τῷ σώματι καταδύνουσιν, ὡς οἱ κυβιστῶντες δὲ τοὺς μὲν τραχήλους συνεχῶς καθιᾶσιν, οἷς ἐστι μῆκος ὀργυιᾶς, τὰ νῶτα δ' ὑπὲρ τῆς θαλάσσης δεικνύουσι καὶ τοὺς ἁπαντῶντας κατεσθίουσι πάντας ἰχθύας, μεγίστῳ χάσματι προσδεξάμενοι. Καί τις κόλπος αὐτοῖς ἐξήρτηται πρὸ τῶν στέρνων, εἰς ὃν ἅπασαν τὴν τροφὴν ἐπειγόμενοι τέως ἐμβάλλουσιν, οὔτε τῶν κτενῶν οὔτε τῶν σκληρῶν μυῶν ἀπεχόμενοι, σὺν δ' αὐταῖς ταῖς σκέπαις τέως τὸ προστυχὸν παραπέμ-

IV. Lari hominum amantissimi sunt et prope eos tanquam maxime familiares versantur, ac, ubi viderint piscatores extrahere sua retia, ceu prædæ participes, adjungunt se naviculis et clamore partem aliquam sibi postulant; illi pisces aliquot projiciunt super mare, quos lari statim vorant irruentes, et si qui alii forte sagenas subterfugerint, promte excipiunt. Itaque vulgo celebratur opinio, laros olim homines fuisse, qui primi venationem marinam invenerint, deinde, sic volentibus diis, in aves mutatos, juxta urbes et portus volitantes veteris etiamnum artis meminisse. Plura autem eorum sunt genera: albi sunt quidam et parvis columbis similes; his alii majores et robustiores sunt ac pennis densissimis vestiti; his rursus tertium genus majus est, albis itidem pennis, extremis tantum alis et collo nigricans, iisque ceteri omnes lari de pascuis et sede tanquam regibus subducunt sese atque cedunt. Senescentibus pennas cæruleus color inficit. Fœtificant in petris, præcipue a quibus potabilis aqua manat, ut fœtus eorum victu quidem marino, aqua vero dulci utantur, donec adulti nidos relinquere possint, quo tempore jam cibo simul ac potu ex mari utuntur. Quod ad natandi velocitatem, vix avis ulla laro contenderit.

V. Mergi semper maximam cibi copiam expetunt nec esurientes unquam satiari possunt. Pisces ingestos mox alvo reddunt, atque etiam vivos nonnumquam. Soli inter amphibias aves volitando piscantur ita, ut simul utrumque faciant. Congros inprimis, anguillas et reliquos lubricos pisces deglutiunt. Urinantur et sub aqua manent diutissime, atque pisces delphinorum et canicularum instar persequuntur. Non in pelago solum, sed paludibus etiam versantur, tum maxime, cum vis aliqua ventorum mare infestat; tunc enim immorari in eo nolunt. Has in avium genere solas vocem emittere aut percipere negant.

VI. Pelecini, qui longissimum habent collum, non minus quam mergi voraces, non toto tamen corpore merguntur, sed ut solent qui se in caput præcipites volvunt, colla, quibus ulnæ proceritas est, subinde demittunt, dorsis interim supra mare prominentibus. Piscem obvium quemque amplissimis faucibus exceptum devorant. Sinus quidam ante pectus dependet, in quem cibum omnem festinantes aliquantisper recondunt, neque pectinibus, nec durissimis mitulis abstinent, sed una cum testis primum quod se obtu-

ποντες, εἶτα ἀνεμούμενοι πάλιν ἅπαντα τεθνεῶτα, καὶ οὕτω τὰς μὲν σάρκας ἐσθίοντες, τὰ δ' ὄστρακα πόρρω ριπτοῦντες· μεμυκότα γὰρ ἐν τῷ ζῆν, μετὰ τὴν τελευτὴν ἀνοίγνυται καὶ διίσταται.

VII. Τῶν ἀλκυόνων δ' οὐκ ἂν εἴποι τις εἰς φωνὴν ὄρνεον ἡδιον, οὐδὲ τοῖς θεοῖς τοῖς θαλαττίοις προσφιλέστερον, οἳ καὶ γαλήνην αὐταῖς, τὰ κύματα παύοντες, καὶ ἄπνοιαν παντελῆ περὶ τὸν καιρὸν χαρίζονται τῶν ὠδίνων, ἐν ἡμέραις ἑφεξῆς ἑπτὰ τικτούσαις τε καὶ ἐκτρεφούσαις τοὺς νεοττούς. Νηρηίδων δ' εἶναι τοῦτο δῶρον ἐπὶ φιλανδρίᾳ πιστεύεται, ὅτι τὸν αὐτῆς ἄνδρα Κήϋκα ἐν τῷ πελάγει διαφθαρέντα θρηνοῦσά ποτε ἀσχέτως ἡ Ἀλκυὼν μετεβλήθη μὲν εἰς ὄρνεον, τοῦ δὲ πάθους οὐκ ἐπιλέλησται. Φιλοῦσι δ' οὕτω τὴν θάλασσαν, ὡς παρ' αὐτοῖς τοῖς κύμασι τιθέναι τὰς καλιὰς καὶ τὰ μὲν στέρνα βρέχειν, τὴν οὐρὰν δ' ἐπιτιθέναι τῇ χέρσῳ. Ἀλλ' οὐδὲ κάρφη τῆς γῆς κατὰ τοὺς λοιποὺς ὄρνεις, βρύα δὲ καὶ ἀμπελίδας καὶ βόστρυχας καὶ ὠτακίδας καὶ βοτάνας ἑτέρας ἐκ τοῦ πελάγους συλλέξασαι ποιοῦνται τὰς καλιάς. Καὶ εἰ τὸν ἄῤῥενα τελευτῆσαι συμβαίη, βορᾶς ἀπεχόμεναι καὶ ἡποτοῦ παντὸς ἐπὶ πολὺ θρηνοῦσι καὶ διαφθείρονται, καὶ τὰς ᾠδὰς δ' εἰ καταπαύειν μέλλοιεν, κήϋξ κήϋξ συνεχῶς ἐπιποῦσαι σιγῶσιν. Κήϋκος δὲ φωνῆς μήτ' ἐγὼ, μήτ' ἄλλος ἀκούσαι τις· φροντίδας γὰρ καὶ τελευτὰς σημαίνει καὶ δυστυχήματα· διόπερ αὐτοὺς ἐν νυκτὶ νέμεσθαι καὶ περὶ τὰ μέρη τῶν λιμνῶν καὶ τῶν ποταμῶν διάγειν τὰ ἐρημότατα πεποίηκεν ὁ Ζεὺς, ὡς ἂν μὴ τοῖς ἀνδράσι διενοχλοῖεν.

VIII. Φίλτατοι δ' εἰσὶν οἱ ἐρωδιοὶ τοῖς ἀνθρώποις καὶ προσημαίνουσι θήραν τε καὶ χειμῶνα, μάλιστα πρὸς ἐκεῖνο τὸ μέρος, ὅθεν ἂν μέλλῃ σφοδρότατος ἄνεμος πνεῖν, ἐπὶ τοῖς στήθεσι τὰς κεφαλὰς κατακλίνοντες. Ναύτης γοῦν οὐκ ἄν ποτε ἐρωδιὸν ἀποκτείνειεν, ἐπειδὴ πιστεύονται τοῖς ἁλιεῦσιν ἐν τῇ θαλάττῃ σημαίνειν, ὁπόσα τοῖς θηραταῖς ἐπὶ τῆς γῆς οἱ ἱέρακες. Φασὶ δ' αὐτοὺς, καὶ ἡνίκα μία τροφὴ πᾶσιν ἦν τοῖς ὀρνέοις, πρώτους βορὰν ἐκ τῶν ὑδάτων εὑρεῖν, καὶ παρ' αὐτῶν τοὺς λοιποὺς πάντας ἐκδιδαχθῆναι· ἐπὶ δὲ τῇ τέχνῃ μεγαλαυχήσαντας καὶ οὐδ' αὐτὸν εἰπόντας ὑπὲρ νήξεως ἐρίζειν δύνασθαί σφισι τὸν Ποσειδῶνα, τὴν ἐπιστήμην ἀποβαλεῖν, τοῦ θεοῦ μηνίσαντος· ὃ καὶ τῷ Θαμύριδί φασι μέγα ἐπὶ ταῖς ᾠδαῖς φρονοῦντι πεποιηκέναι τὰς Μούσας. Ἐντεῦθεν οὖν οἱ μὲν λοιποὶ πάντες ὄρνεις εἰς τὸ ὕδωρ δύναντες θηρεύουσι τοὺς ἰχθύας, οἱ δ' ἐρωδιοὶ τοῦ νήχεσθαι στερηθέντες, ἐπὶ τοῖς αἰγιαλοῖς ἑστῶτες ἀγρεύουσι, σοφόν τι μηχανώμενοι καὶ χαρίεν πρὸς τὴν τῶν ἰχθύων ἀπάτην· ἵστανται γὰρ τῶν ἡλιακῶν ἀκτίνων ἀπεναντίον, ὡς μὴ τὴν σκιὰν αὐτῶν τοὺς ἰχθύας ὁρῶντας ἐκκλίνειν. Καὶ ἔστιν αὐτῶν γένη μυρία· οἱ μὲν γὰρ βραχεῖς τ' εἰσὶ καὶ λευκοὶ, ἄλλοι δὲ ποικίλοι καὶ μείζονες, μέσοι δ' ἕτεροι, καὶ τοῖς μὲν οὐκ ἔστιν ἐπὶ τῆς κεφαλῆς πλόκαμος, ἄλλοις δ' ὥσπερ τις βόστρυχος ἀπηώρηται. Καὶ ζῶντες ἅπαντες ἐκ θαλάσσης, ἐπὶ τῆς γῆς ποιοῦνται τὰς καλιάς.

lerit deglutiunt, deinde mortuos in os revomunt et, rejectis testis, pulpam vorant, nam quæ, dum viverent, occlusæ erant conchæ, vita spoliatæ aperiuntur et dehiscunt.

VII. Aves, quæ suavius quam alcyones cantillent, nemo ullus dixerit; nulla quoque diis marinis dilectior, quippe qui tranquillitatem, maris fluctibus et ventis omnibus compositis, sub partus tempora eis concesserint; pariunt autem septem deinceps diebus et totidem educant fœtum. Fertur autem beneficium hoc Nereidas in eas contulisse propter insignem Alcyones in maritum Ceyca pietatem, quem fluctibus maris absumptum cum incontinenter lugeret, in avem mutata fuit, nec etiamnum calamitatis suæ obliviscitur. Mare adeo amant, ut prope fluctus nidificent, pectus aquis aspergant, caudam vero terræ imponant. Nidos ut sibi struant alcyones, non, ut ceteræ aves, festucas e terra colligunt, sed marinas aliquot herbas, quales algæ, ampelides (*uvæ marinæ*), bostryches (*capilli marini*), otacides et aliæ. A maritorum obitu multo tempore lugent et pereunt, ab omni cibo ac potu abstinentes; desituræ canere ceyx ceyx sæpius repetunt atque ita cessant. Porro ceycis vocem nunquam vel mihi, vel aliis, audiendam optarim; curas enim et mortes et infortunia significat; quamobrem Jupiter eas noctu pasci voluit et locis circa stagna fluviosque maxime desertis, ne quid hominibus molestæ forent.

VIII. Ardeæ hominibus carissimæ sunt quoniam prædam et tempestatem præsagiunt; capita nempe pectori imponunt, eoque maxime inclinant, unde concitatissimus ventus exspectari debet. Nauta numquam ultro occiderit ardeam, nam quod accipitres in terra venatoribus, hoc in mari piscatoribus ardeæ significare creduntur. Ab ardeis victum ex aquis primum inventum aiunt, reliquas ab eis didicisse, cum victus unus initio omnibus esset avibus; deinde cum gloriarentur hoc invento, et ne ipsum quidem Neptunum natando cum eis contendere posse jactarent, hanc artem, irato deo, amisisse; quod etiam Thamyridi cantu superbienti ex Musis contigisse aiunt. Hinc adeo reliquæ omnes aves captandis piscibus merguntur in aquam; ardeæ natandi facultatis expertes in littoribus stantes venantur, solertem quendam ac lepidum dolum ad pisces decipiendos commentæ; consistunt enim radiorum solis e regione, ne pisces, visa ipsarum umbra, refugiant. Genera ardearum infinita sunt: aliæ enim breves et albæ sunt, quædam majores eæque colore vario, aliæ mediocres. Sunt quibus a capite cincinnus quidam nutet, aliæ hoc cincinno carent. Licet omnes ex mari vivant, in terra tamen nidificant.

IX. Αἱ δ' ἱμαντόποδες λεπτοῖς μὲν σκέλεσι χρῶνται καὶ ἔχουσι τὴν προσηγορίαν ἐκ τούτου. Καινὸν δ' ἐπ' αὐτῶν ἐστιν, ὅτι τὴν κάτωθεν γένυν ἔχοντες πεπηγυῖαν, μόνην κινοῦσι τὴν ἄνωθεν.

X. Κέπφον δ' ἕτερον ὄρνεον ἐκ τῆς κουφότητος οἱ ἁλιεῖς ὀνομάζουσιν· τὸ γὰρ ὕδωρ ἄκρον τοῖς ποσὶν ἐπιτρέχει καὶ σημαίνει τοῖς ἁλιεῦσιν ἐπιτυχίαν. Διατρίβουσι δὲ, ἔνθα ἀμείνους τῶν ἰχθύων ὦσιν ἀγέλαι, καὶ μάλιστα τοῖς θύννοις ἕπονται, ὅτι τοὺς βραχυτέρους οὗτοι κατατέμνοντες τοῖς ὀδοῦσιν ἰχθύας, σάρκας τινὰς, οἷς οἱ κέπφοι τρέφονται, καταλιμπάνουσιν ἐν τοῖς ὕδασιν. Καὶ μὴν καὶ δελφῖσιν ἀκολουθοῦσι, τροφὴν τὸ αἷμα ποιούμενοι τῶν ἰχθύων, οὓς ἂν ἀποκτείνωσιν οἱ δελφῖνες. Καὶ αὐτὴν δὲ τὴν τῆς θαλάσσης ἀχνὴν ἐσθίουσι, καὶ οὐκ ἄν τις τοὺς κέπφους ἀργοῦντας ἢ καθεύδοντας, οὔτ' ἐπὶ τῆς γῆς ῥᾳδίως, οὔτ' ἐπὶ τῆς θαλάσσης θεάσαιτο, ἀλλ' ἢ θηρῶσιν ἢ πέτανται. Καὶ τὰς βροντὰς οὕτω δεδίασιν, ὥστε, εἰ βροντῆς ἀκούσαιεν, ἐκ τοῦ ἀέρος πίπτειν εἰς θάλασσαν, εἴτε παρ' αὐτῆς, εἴτε παρὰ τοῦ ἀέρος τίκτονται· καὶ γὰρ ἡ γῆ τινας καρποὺς ἐπὶ ταῖς βρονταῖς ἀνίησιν αὐτομάτους.

XI. Ἔλαφὶς δ' ὄρνεόν ἐστι τὰ πτερὰ πάντα ἐπὶ τοῖς νώτοις ἐλάφων ἔχον ἐοικότα θριξὶ, καὶ τρέφεται κατὰ τοὺς χερσαίους ἰυγγας, τὴν γλῶσσαν μηκίστην οὖσαν ὥσπερ ὁρμιὰν εἰς τὸ ὕδωρ ἐπὶ πολὺ καθιεῖσα, οὕτω τε κατὰ μικρὸν ἐπὶ τὸν λαιμὸν ἀνέλκουσα τὸν ἰχθὺν ἀπατηθέντα καὶ ἐπιψαύσαντα. Καὶ πρὸς ταύτην μοι δοκοῦσι ἰδόντες πρῶτον οἱ ἁλιεῖς τῶν μακρῶν καλάμων ἀπαρτῆσαι τρίχας ἱππείας.

XII. Τοῖς κολύμβοις ἐστὶν ἀεὶ τὸ νήχεσθαι φίλον, καὶ οὐδ' ἂν ὕπνου χάριν ἡ τροφῆς ἐπὶ τὴν γῆν ἔλθοιεν, οὐδὲ χειμὼν αὐτοὺς, ἢ νὺξ τοῦτο συναναγκάζει, ἀλλ' ἐπὶ τῶν κυμάτων εἰσὶ, τὸ κρύος μὴ δεδοικότες, καὶ νήχονται τῶν ἀνέμων ἀπεναντίον, ὡς ἂν μὴ τῇ σφοδρότητι βιασθέντες ἐπὶ τὴν γῆν ποτε καὶ παρὰ γνώμην ἐξενεχθεῖεν.

XIII. Ταὐτὸν δὲ καὶ οἱ θρᾷκες ὀνομαζόμενοι καὶ οἱ δυτῖνοι ποιοῦσιν ὄρνεις, ἐπὶ τὴν γῆν μόνον, ὡς πιστοτέραν, ἡνίκα ἂν τίκτωσιν, ἐξιόντες.

XIV. Ἡ δὲ κιρρὶς ἀξίαν τῶν ἀσεβημάτων δίδωσι δίκην, ὅτι τοῦ Μίνωος ἐρασθεῖσα καὶ τὸν πορφυροῦν τοῦ πατρὸς πλόκαμον ἐκτεμοῦσα τὴν πατρίδα εἵλετο προδοῦναι τῷ Μίνωϊ· ὁ δὲ τὴν προδοσίαν καὶ μετὰ τὴν νίκην μεμψάμενος, ἀπέδησέ τ' αὐτὴν νεὼς καὶ κατὰ τῆς θαλάττης εἴασε φέρεσθαι. Καὶ μεταβέβληται μὲν οὕτως εἰς ὄρνεον αὕτη, μισεῖται δὲ παρὰ πάντων ὀρνέων, κἂν ἁλιαίετος αὐτὴν θεάσηται πλανωμένην, εὐθὺς ἐπιθέμενος διαφθείρει.

XV. Εἷς τῶν ἀμφιβίων ὀρνίθων ἐστὶ καὶ ὁ θεόκρονος, ὃς ἐξ ἀετῶν εἶναι νόθος καὶ ἱεράκων πιστεύεται. Τὴν γονὴν δ' αὐτοῦ τοιάνδε παλαιός τις εἶναι βούλεται λόγος· ἔστι τι γένος οὕτω μάχλον ἱέρακος, ὡς ἐν ταῖς ἐαριναῖς ὥραις πᾶσαν ἀποτίθεσθαι τὴν ἰσχὺν καὶ παρὰ τῶν βραχυτάτων στρουθῶν καταδάκνεσθαι· τοῦ

IX. Himantopodes nomen a crurum tenuitate habent; hoc novum in eis, quod maxilla inferiore fixa, superior solum ipsis moveatur.

X. Ab his differt cephus avis qui a levitate nomen tulit apud piscatores; currit namque per summam aquam et prosperum piscatoribus successum promittit; versantur enim locis, in quibus meliores piscium greges fuerint, atque thunnos maxime comitantur, quod ab iis pisciculorum, quos dentibus suis discerpunt, carunculæ aliquot in aquis relinquuntur, quibus aluntur cephi. Sequuntur etiam delphinos et piscium ab illis occisorum sanguine pascuntur. Sed maris quoque spumam ingerunt. Nunquam sane otiosos aut dormientes cephos terra marive aliquis facile deprehenderit; semper enim venantur aut volitant. Ad tonitrua adeo timidi sunt, ut, eorum sonitu exaudito, ex aere in mare decidant, sive ex hoc procreantur, sive ex aere; nam terra etiam, quum tonuerit, fructus quosdam sua sponte emittit.

XI. Elaphis avis est quæ pennas in dorso omnes cervinis pilis similes habet. Pascitur autem hæc, sicut illecebræ in terra; linguam nempe longissimam lineæ instar in aquam procul extendit, atque ita sensim ad fauces deceptum piscem, qui linguam contigerit, attrahit. Ad hujus imitationem nimirum piscatores olim ad longam arundinem ex pilis equinis lineam suspendisse arbitror.

XII. Colymbi semper natare amant, et ne somni quidem aut cibi gratia in continentem exibunt, nec nox eos, neque tempestas hoc facere cogit, sed fluctibus portantur, frigus non veriti. Ventis adversi natant, ne illorum vi aliquando inviti in terram extrudantur.

XIII. Quod thraces etiam ac dytini dictæ aves faciunt, quippe in terram tamquam securiorem tunc solum exeuntes, quando pariunt.

XIV. Cirrhis dignam crimine pœnam luit, quod Minois amore adducta purpureum patris cincinnum abscindere patriamque Minoi prodere decreverit; ille vero, victoria potitus et proditionem detestatus, ad navigium ipsam religavit ac fluctibus permisit; atque ita in avem mutata ab omnibus avibus odio nunc habetur, et, si aquila marina ipsam oberrantem viderit, mox eam adoritur et perdit.

XV. Inter amphibias quoque aves theocronus est, spuria accipitris et aquilæ progenies, ut fertur. Generationem ejus vetus fabula ita tradit: genus quoddam accipitris adeo in libidinem profusum est, ut verno tempore, omni robore amisso, minorum etiam avicularum morsibus obno-

θέρους δ' ἐπελθόντος, καὶ τὸν ἀέρα τοῦ σειρίου φλέγοντος, ἀναλαμβάνει τὴν δύναμιν καὶ τοὺς μὲν στρουθοὺς κρίζων φοβεῖ καὶ συλλαμβάνων ἐσθίει καὶ δοκεῖ πως αὐτοῖς τὰς ὕβρεις ἐγκαλεῖν τὰς προτέρας. Εἰ δ' ἀετοῦ θηλείας ἀκούσειε, προσίπταται αὐτῇ καὶ μίγνυται πολλάκις ἐξαπατήσας· ἡ δ' ὑπὸ τοῦ χείρονος ὄρνιθος εἰς τὸ κύειν ἐλθοῦσα, οὔτε θάλπειν ἀξιοῖ τὰ τεχθέντα ᾠά, καὶ ὡς ἂν λάθῃ, πόρρω που τῶν ἀετῶν ἵπταται τῶν ἀῤῥένων· εἰ γὰρ αἴσθοιντο, διαφθείρουσιν ἐξελαύνοντες ἐπὶ τῇ μοιχείᾳ πάντως αὐτήν. Τῶν ἡλιακῶν δ' ἀκτίνων θερμαινουσῶν τὰ ᾠά, οἱ νεοττοὶ προκύψαντες τοῖς ἀμφιβίοις εἰσὶν ἰχθύσιν ὀλέθριοι.

XVI. Καὶ γύγης ὄρνις ἐστὶν, ἀναβοᾷν ἀεὶ καὶ ἄδειν τοῦτο δοκῶν καὶ τὴν προσηγορίαν ἔχειν ἐντεῦθεν, ὃς τοὺς ὄρνεις ἐν νυκτὶ κατεσθίει τοὺς ἀμφιβίους. Τὴν ἐκείνου γλῶσσαν εἴ τις ἀποτέμοι χαλκῷ καὶ φαγεῖν δοίη τῷ μήπω λαλοῦντι παιδίῳ, πάντως αὐτοῦ ταχέως λύσει τὴν σιωπήν.

XVII. Σοφὰ δὲ πλεῖστά ἐστι τῶν μέγιστα κλαγγανόντων γεράνων βουλεύματα, καὶ τοῦτο ἰστέον περὶ αὐτῶν· συλλεχθείσας ἁπάσας, ὅταν μέλλωσιν ἀπολιμπάνειν τὴν Θρᾴκην, ἀγνίζει μία καὶ ἀνακράζει, οὕτω τε ἀφίπτανται πᾶσαι, τῆς μιᾶς μενούσης, ἥ περ αὐτὰς ἤγνισεν ἀθροισθείσας· τὰς πρεσβυτέρας δ' ἐν τῇ πτήσει τάττουσι πρώτας, ὡς ἂν μὴ κάμνοιεν, ἀκολουθεῖν ταῖς νέαις ἀναγκαζόμεναι. Καὶ κραυγὴν ἀφιᾶσιν ὑπὲρ τοῦ μὴ ἀπ' ἀλλήλων χωρίζεσθαι, καὶ εἴ τινος καμνούσης αἴσθοιντο, δύο τὴν κεκμηκυῖαν ἑκατέρωθεν ταῖς πτέρυξι λαβοῦσαι ὑποκουφίζουσιν, ἢ καὶ ἐπὶ τῶν νώτων φέρουσι, τὸν τῆς ὁδοιπορίας παραμυθούμεναι πόνον· κατὰ τάξιν δ' ὡς ἀνδρῶν ἐπὶ πόλεμον ὡρμημένων ἵπτανται στῖφος, καὶ οὕτω ἀθροισθεῖσαι καὶ ἀποτείνασαι πάλιν εἰς μῆκος λίθους φέρουσιν, οὓς ἐξεώσασαι γινώσκουσιν, εἴτ' ἐπὶ τῆς γῆς, εἴτ' ἐπὶ τῆς θαλάσσης αὐταῖς ἡ πτῆσις ἀνύεται, καὶ χαίρουσι ταῖς εὐδίαις. Κἂν χειμῶνα αἴσθοιντο, τῇ γῇ προσορμίζονται μέχρι σταθερᾶς πάλιν εὐδίας, καὶ νυκτὸς ἐπιλαβούσης, ἐπὶ τοὺς ποταμοὺς σπεύδουσι καθέζονταί τ' ἐν μέσοις τοῖς ἐκείνων γηλόφοις, οὓς ὥσπερ τινὰς νήσους περιῤῥεῖ τὸ ὕδωρ περισχιζόμενον. Καὶ ποιοῦσι τοῦτο φόβῳ τῶν ἐπιβουλευόντων θηρίων, ὡς ἢ διελθεῖν τὸ ὕδωρ οὐκ ἰσχυόντων ἤ τινα ποιούντων ἦχον, ὃς ἐξαναστήσει καὶ εἰς φυγὴν τρέψει πάντως αὐτάς. Καθεύδουσί τ' ἐφ' ἑνὸς σκέλους ἑστῶσαι καὶ τὰς κεφαλὰς ταῖς πτέρυξι ἐπικαλύπτουσιν. Φύλακες δ' εἰσὶν αὐταῖς πάντως καὶ ἡγεμόνες οἱ περινοστοῦντες· καὶ εἴτ' ἀνδρὸς αἴσθοιντο προσιόντος, εἴτε θηρίου, βοῶσι μέγα καὶ τὴν ἔφοδον σημαίνουσιν, ὡς ἂν φθάσαιεν ἀποδρᾶσαι.

XVIII. Καὶ οἱ χῆνες δ' ὁμοίως ἔχουσι τῆς τε πτήσεως ἡγεμόνας καὶ τοῦ ὕπνου φρουροὺς ἀναβοῶντας ἀεί· καὶ γὰρ ἀτερπεστάτῃ φωνῇ χρώμενοι, σφόδρα ὀλιγάκις σιγῶσιν, ὡς καὶ λίθους ἐντιθέναι τοῖς στόμασιν, ὅταν δέῃ σιγῆς, ὡς οὐχ ἑτέρως χαρτεροῦντες αὐτήν· ποιοῦσι δὲ τοῦτο φοβῳ τῶν ἀετῶν, ἡνίκα ἂν

xium sit; deinde, adulta æstate et sub canicula, viribus recuperatis, aviculas stridens persequitur correptasque devorat, ac videtur quodammodo prægressas iis objicere injurias. Quodsi aquilæ feminæ vocem audiverit, advolans sæpe per fraudem cum ea miscetur; illa vero cum ex ignobiliori ave conceperit, ova edita ne incubare quidem dignatur, et ut aquilas mares lateat, procul ab eis avolat: nam illi, quam adulterio corruptam senserint, omnino perdunt et abigunt. Pulli tandem ovis solis radiis concalefactis exclusi amphibiorum piscium captura victitant.

XVI. Gyges avis est qui semper hoc ipsum vocabulum clamare et canere videtur, unde et nomen ei impositum. Hæc aves amphibias noctu devorat. Linguam ejus ære exsectam si quis infanti, qui nondum loquitur, edendam dederit, mox omnino silentium ejus solvetur.

XVII. Prudentia sunt permulta acutissime clamantium gruum consilia, atque hoc etiam de iis nosse prodest; quum Thraciam relicturæ sunt, una reliquas omnes collectas lustrat et crocitat; tum omnes avolant, ea, quæ congregatas aves lustraverat, sola remanente. Provectiores ætate in primum ordinem volando collocant, ne se fatigent nimium, sequi juniores coactæ. Clamorem etiam edunt, ne separentur nimium aliæ ab aliis. Si quam sensere defessam, duæ utrinque alis sublevant arreptam, aut etiam super dorsis portant, itineris laborem demulcentes; ordine autem volant, tamquam virorum in militiam profectorum agmen; sic autem congregatæ, acie rursus producta, lapides ferunt, quibus projectis agnoscunt, an super mari iis peragatur volatus, an super terra. Delectantur quoque cœlo sereno. Si vero tempestatem præsenserint, ad terram appellunt, donec iterum certa affulserit serenitas. Nocte superveniente ad fluvios festinant, et in mediis illorum collibus, quos amnis insularum instar circumfluit diductus, consident, atque hoc ad insidias cavendas faciunt, quod insidiosæ feræ aut trajicere flumen non possint, aut trajiciendo saltem strepitum cieant, quo ipsæ excitæ aufugiant prorsus. Uno crure innixæ dormiunt et caput alis obvelant. Custodes semper ac duces circumeunt, ac sive hominem sive feram accedentem animadvertant, exclamant altaque voce insidias indicant, ut reliquæ in tempore fuga sibi consulant.

XVIII. Anseres, similiter ut grues, tum volandi duces, tum somni custodes habent, nunquam sine clamore; vox enim eis odiosissima, silentium perquam rarum, quod ubi necessarium videtur, lapide ori immisso, vocem continent, tamquam non aliter sibi temperaturi; hoc autem faciunt

τὸ ὄρος δέῃ διαπτῆναι τὸν Ταῦρον. Καὶ ταῦτα μέν εἰσι συνετώτατοι, πρὸς δὲ τὰς νομὰς ἄφρονες· τῶν τόπων γὰρ, εἰ καὶ καλλίστης ἐν αὐτοῖς νομῆς τύχοιεν, ῥᾷστα ἐπιλανθάνονται καὶ διὰ τοῦτό εἰσιν ἐν πλάναις ἀεὶ, καίτοι κέρδος αὐτοῖς ἐκ τῆς τοιαύτης πλάνης ἐστίν· οὐ γὰρ ἁλίσκονται ῥᾳδίως παρὰ τῶν τηρεῖν τὰς τῶν ὀρνέων διατριβὰς καὶ ῥίπτειν ἐπὶ τούτῳ σπέρματα εἰωθότων, ὡς διὰ τὴν λήθην ἐπὶ τοὺς αὐτοὺς τόπους οὐκ ἀφικνούμενοι.

XIX. Οἱ κύκνοι δ' ἐπὶ τοῖς λειμῶσι καὶ ταῖς ἀκταῖς τρέφονται καὶ ταῖς λίμναις, καὶ ἀντηχοῦσιν αὐτοῖς ᾄδουσιν οἵ τε σκόπελοι καὶ αἱ φάραγγες, καὶ μουσικωτάτους πάντων τούτους ἴσμεν ὀρνίθων, καὶ ἱεροὺς καλοῦμεν Ἀπόλλωνος. Ἄδουσι δ' οὐχὶ θρηνῶδες, ὥσπερ αἱ ἁλκυόνες, ἀλλ' ἡδύ τι καὶ μελιχρὸν, καὶ οἷον αὐλοῖς ἢ κιθάραις χρώμενοι. Καὶ εὐσθενεῖς δ' εἰσὶ καὶ πρὸς τὰ ὕψη πολλάκις ἱπτάμενοι πρὸς τοὺς ἀετοὺς μάχονται, εἴτ' αὐτοῖς ἐπιχειροῖεν, εἴτε τοῖς νεοσσοῖς· οὐ μὴν ἄρχονται μάχης, ἀλλὰ τὴν εἰρήνην στέργουσι, μέχρις ἂν ᾄδειν ἐξῇ· τοῦτο γὰρ καὶ τροφῆς ἡγοῦνται γλυκύτερον. Ἄδουσι δὲ πρὶν ἀνίσχειν ἥλιον, ὡς ἐν ἐρημίᾳ τότε μᾶλλον ἐξάκουστα βοησάμενοι, καὶ ἐπὶ ταῖς τοῦ πελάγους ἀκταῖς, εἰ μὴ χειμὼν εἴη καὶ ὁ τῶν κυμάτων κτύπος ᾄδειν αὐτοὺς ἀποτρέποι, ὡς τῶν ᾀσμάτων τῶν ἰδίων οὐκ ἐπαΐσοντας. Καὶ τῆς ᾠδῆς, κἂν ἐπὶ τελευτὴν αὐτοὺς τὸ γῆρας ἄγῃ, μεμνήσονται· ἡ δ' ἥττων μέν ἐστιν, ἢπερ νεάζουσιν, ὡς οὔτε ἀνατείνειν τὸν τράχηλον, οὔτε πλατύνειν τὰ πτερὰ δυναμένων αὐτῶν, τῷ ζεφύρῳ δὲ πρὸς τὸ εὐμελὲς χρῶνται, νωθρῶν μὲν ἤδη τῶν σκελῶν, τῶν μελῶν δ' αὐτοῖς ὄντων ἀσθενεστέρων. Καὶ πρός τινα ὁ μέλλων τελευτᾷν τόπον ἀποχωρεῖ, ἔνθα αὐτοῦ μηδεὶς ἕτερος ὄρνις ᾄδοντος ἀκούσεται, κύκνος δ' ἄλλος οὐκ ἐνοχλεῖ τῷ ᾄδοντι, καὶ, εἰ πλησίον ὢν τύχοι, τὴν αὐτὴν εἰδὼς καὶ αὐτῷ συμβήσεσθαι τελευτήν.

ob metum aquilarum, Taurum montem superaturi. Hac igitur in re prudentissimi sunt; quod vero ad pascua attinet, stolidi; locorum enim, etiamsi lætissima in iis pascua nacti fuerint, facillime obliviscuntur, ideoque semper vagantur, quamquam lucri nonnihil ex his erroribus eis accidit, quod non facile capiuntur ab aucupibus, qui familiares avibus locos observare eosque hunc in finem seminibus conspergere solent; anseres enim propter oblivionis vitium locos eosdem non repetunt.

XIX. Cygni in pratis, littoribus et stagnis aluntur. Canentibus scopuli et valles respondent; omnium sane avium inprimis musicos esse novimus, quo nomine Apollini consecrantur. Canunt autem non lugubri, ut alcedines, sed suavi et mellito cantu, veluti tibiis aut citharis adhibitis. Robustæ sunt aves, adeo ut etiam sæpe altius volando evecti aquilas impugnent, si quid in ipsos, aut pullos eorum mali moliantur; non tamen incipiunt pugnam, sed pacem, quoad canere licet, diligunt et placidam vitam alimentis etiam dulciorem esse ducunt. Diluculo canunt ante solis ortum, tamquam in aere vacuo per id tempus audiendi clarius. Canunt etiam in maris littoribus, nisi tempestas et procellarum sonus cantum dissuadeant; hoc enim vigente, ne suis quidem ipsi cantilenis satis perfrui possent. Sed ne in senecta quidem morti vicini cantus obliviscuntur, qui tamen eis in illa ætate remissior est quam in juventa, quum neque cervicem amplius erigere, neque pennas extendere queant; Favonium tunc ad exornandum cantum adsciscunt, ignavi jam cruribus et membrorum viribus defecti. Moriturus secedit aliquo, ubi nulla alia avis canentem audiat; nullus autem olor alius canentem interpellat, sciens sibi eandem imminere mortem, si forte prope adesset.

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

I. Τῶν δ' ἐξῆς ἀκούσας γνώσῃ, κράτιστε βασιλεῦ, ὡς οὐ μόνης τῆς γῆς καὶ τῆς θαλάσσης κατατολμῶσιν οἱ ἄνθρωποι, ἀλλὰ καὶ πρὸς αὐτὸν ἤδη τείνονται τὸν ἀέρα, τοῖς πολυπλανέσιν ἐπιχειροῦντες ὀρνέοις. Θηραταῖς μὲν δὴ καὶ ἁλιεῦσι πλείων ἁπανταχῇ πολλάκις φόβος, ἢ τέρψις, εἴτε τοὺς ἀνέμους σκοποίη τις ἐν τῷ πελάγει, [ἀφ' ὧν] διαῤῥήγνυνται τὰ σκάφη, εἴτε τῶν κητῶν τὴν ἰσχὺν, ἀφ' ἧς τάχιστα διαφθείρονται, εἴτε τοὺς ἐν τοῖς ὄρεσι φωλεοὺς τῶν θηρίων, ἀφ' ὧν τοῖς κυνηγέταις ἐπιτίθενται πολλάκις οὐ προοφθέντες, ὡς μήτ' ἀντίσχειν δύνασθαι, μήτ' ἐκκλῖναι, καὶ πολεμοῦντες τοῖς θηρίοις καταβάλλονται πολλάκις καὶ διαφθείρονται καὶ ἀπὸ τῶν χρημνῶν ἐν ταῖς δυσχωρίαις ἄσωστα ἀποπίπτουσιν· τοῖς ἰξευταῖς δ' οὐδεὶς ἀπὸ τῶν ὀρνίθων ἢ τῆς τοιαύτης κίνδυνος θήρης, ὡς οὔτε πρὸς τοὺς τῶν ὀρῶν λόφους ἀναγ-

LIBER TERTIUS.

I. Jam vero ex iis, quæ dicemus, intelliges, potentissime imperator, mortales non terræ solum marisque pericula contemnere, sed ipsum etiam aerem audacia sua petere et multivagis avibus insidias struere. Venatorum quidem et piscatorum major sæpe metus est, quam delectatio, sive ventos spectaveris, cujus sæpe impetu cymbæ in mari confringuntur, seu robur cetorum, cui facillime succumbunt, sive consideres ferarum lustra montana, unde sæpe venatores imprudentes adoriuntur, ut resistere nequeant, neque impetum ipsarum evitare, sed sæpius prosternantur pugnantes et pereant, et a summis præcipitiis per angustias locorum sine salutis spe deturbentur; aucupibus vero nihil vel ab avibus ipsis, vel ab hujusmodi venatione periculi

καίως ἰοῦσιν, οὔτε πρὸς τὰς χαράδρας· ἐπὶ γὰρ τῶν πεδίων καὶ τῶν ἀλσῶν καὶ τῶν λειμώνων αὐτοῖς ἀπόχρη πλανᾶσθαι τερπομένοις, καὶ φωνῆς ἀκούειν τῶν ᾀδόντων ἡδείας, οὐ ξίφεσι χρωμένοις, οὐ ῥοπάλοις ἢ ὀράσιν, ἢ δίκτυα καὶ κύνας ἐπαγομένοις, ἀλλ' ἰξὸν καὶ καλάμους, δι' ὧν αὐτοῖς ἡ πρὸς τὸν ἀέρα τῆς θήρας ἐστὶν ὁδός, καὶ λεπτὰ λίνα καὶ κύρτους φέρειν ὑπὸ μάλης ἐλαφροτάτους. Ἔστι δ' ὅτε καὶ φυτὸν, ἀλλοτρίους αὐτῷ περιθέντες κλάδους, ἐπικομίζονται καὶ χειροήθεις ὄρνιθας ἐπὶ τῇ κοινωνίᾳ τῆς ἄγρας. Εἶναι δ' αὐτοὺς ταχεῖς προσήκει καὶ εὐχειρας, καὶ ὁρᾶν ὀξὺ καὶ πρὸς τὰς ἐπινοίας πεφυκέναι τε, ὡς καὶ ὀρνίθων εἰδέναι μιμεῖσθαι φθογγὴν, ἵνα καὶ μεθαλλομένους ἐν τοῖς πρέμνοις ὁρῶντες ἕπωνται. Δεῖ γοῦν πρὸς τὴν χρείαν τὰ ἔργα διαιρεῖσθαι τῆς ἄγρας, ἰξῷ χρωμένοις, ἢ θριξὶν ἱππείαις, ἢ λίνοις, ἢ καὶ πάγαις, ἢ καὶ πηκτίσιν, ἢ τροφῇ δελεάζουσιν, ἢ τὸν σύμφυλον ὄρνιν ἐπιδεικνύουσιν.

II. Καὶ ἰξῷ μὲν αἱροῦνται κορυδαλὸς καὶ οἱ ταχεῖς ἀστραγαλῖνοι οἵ τε ἀμπελίωνες οἱ κουφότατοι καὶ οἱ ἀσθενεῖς βουδῦται οἵ τε βαρῖται καὶ αἱ σῶδες καὶ σπῖνοι καὶ τρυγόνες καὶ ἀστέρες, οἷς ἐρυθρός τε κύκλος ἐστὶν, ὥσπερ ἀστὴρ, ἐπὶ ταῖς κεφαλαῖς. Καὶ οὗτοι μὲν ἅμα τοῖς ἄλλοις στρουθίοις τοῖς κατὰ τὸν βορρᾶν ἐπιδημοῦσι τοῦ ἔαρος ἰξῷ θηρῶνται, τοῖς καλάμοις ἐπικαθίσαντες.

III. Ἄλλοι δέ τινες στρουθοὶ καὶ ἐν τῇ θαλάμῃ δι' ἐπινοίας τοιαύτης ἀγρεύονται· μυρρίνης συνδήσαντες δύο κλάδους ἀλλήλοις εἰς τὸ κάτω συγκάμπτουσιν, ἐκ δὲ τοῦ ἑτέρου λεπτῆς μηρίνθου βρόχον ἐξάψαντες, ἄγουσι διὰ τοῦ ἑτέρου κλάδου τὴν μήρινθον μικρῷ τε ἐπισφίγγουσι πασσάλῳ στερρῷ· ἕδρας δ' οὗτος τοῖς στρουθίοις παρέχεται χρείαν· καὶ εἰ χρῄζοντες ὕπνου καθίσαιεν, ὀλισθαίνει μὲν ἐκ τῆς ὀπῆς τοῦ κλάδου ῥᾳδίως ὁ πάσσαλος, περιστραφεὶς δ' ὁ βρόχος τοῖς ποσὶ τοῦ στρουθίου συμπλέκεται.

IV. Οἱ δὲ σπῖνοι καὶ αἱ τρυγόνες ὑπὸ δένδρῳ θηρῶνται, εἰ σύμφυλον ὄρνιν ἐπὶ τοῖς τοῦ δένδρου στελέχεσιν ἴδοιεν καθεζόμενον. Οὐκ ἀεὶ δὲ χρηστέον ταύτῃ τῇ ἄγρᾳ, ἀλλ' ἐν νιφετοῖς καὶ χειμῶνι, γυμνῶν ἤδη τῶν φυτῶν ὄντων καὶ ἐκβαλόντων τὰ φύλλα· τότε γὰρ ἕδρας τε καὶ σκέπης χρῄζοντες οἱ στρουθοὶ τοῖς νόθοις τε καὶ σεσοφισμένοις τούτοις κλάδοις ὡς ἀληθέσι προσίπτανται. Θεαμάτων δ' ἥδιστον στρουθοὺς ὁρᾶν ἰξῷ πεπεδημένους καὶ καταπίπτοντας.

V. Ναὶ μὴν κἀκεῖνό ἐστι χαριέστατον, ἐὰν ἐπάγηταί τις ἱέρακα, περὶ πρέμνον φυτοῦ κατατιθῇ τε, καὶ οἱ στρουθοὶ δείσαντες πειρώμενοί τε λαθεῖν, ὑπὸ τοῖς φύλλοις κρύπτωνται, λοξὰ πρὸς τὸν ἱέρακα βλέποντες καὶ ὑπὸ τοῦ φόβου πεπεδημένοι, ὡς οἱ λῃστήν τινα ἐξαπίνης ὀφθέντα ἀγωνιῶντες ὁδῖται, καὶ μετὰ τὴν φρικτὴν θέαν οὔτε ἀναδραμεῖν, οὔτε προδῆναι θαῤῥοῦντες· τοσοῦτος ἔχει φόβος καὶ τοὺς στρουθοὺς εἰς τὸν ἱέρακα βλέποντας. Ὁ δ' ἀγρευτὴς πρὸς τὸν ἐπιδειχθέντα φόβον

imminet, quippe qui non opus habeant montium vertices conscendere, vel in voragines se demittere; satis enim iis est per campos, lucos et prata non sine voluptate quadam vagari suavesque avium concentus audire. Non gladiis, clavis hastisve utuntur, non canes secum ducunt, nec retia ferunt; verum viscum et arundines, quarum ope ad aerem venando via patet, linaque tenuia et levissimas nassas, quas sub ala gestent. Interdum etiam stirpem, alienis ramis circumpositis, secum ferunt et cicures aves, quæ in venandi societatem veniant. Oportet autem celeres et manibus expeditos esse, visu perspicaces, ingenio versutos, ut avium imitari voces possint et ipsas per ramos saltantes insequi. Opera igitur venandi ad singulos usus distribuenda est, sive visco, seu setis equinis, vel filis, vel transennis, compage etiam, aut escæ vel avis congeneris illicio res agenda sit.

II. Visco igitur capiuntur alaudæ, celeres astragalini (*cardueles*,) leves ampeliones, debiles budytæ, baritæ, sodes, fringillæ, turtures, asteres (i. e. stellæ), quibus rubicundus circulus stellæ instar in capite fulget. Atque hæ quidem omnes cum reliquis aviculis, quæ verno tempore cum Borea vento adveniunt, visco capiuntur, dum arundinibus insident.

III. Aliæ quædam aviculæ etiam in cubilibus suis hoc artificio capiuntur; connectuntur duo myrti ramusculi, quos deorsum incurvant, atque ex alterutro laqueum funis tenuissimi suspendunt, fune per alterum ramusculum transmisso, quem robusto parvoque paxillo arctius insuper astringunt; huic paxillo aviculæ insident, dumque ad dormiendum se componunt, excidit facile ex ramusculi foramine paxillus, laqueus vero circumversus pedibus aviculæ circumfunditur.

IV. Fringillæ et turtures sub arboribus capiuntur, si congenerem avem arboris ramis insidentem conspexerint. Neque tamen hac captura semper, sed hiberno et nivoso tempore uti satius fuerit; tum enim, foliis arborum decussis, aviculæ, statione et latibulo indigentes, ad fictos subornatosque ramusculos tamquam veros advolant. Visu admodum jucundum est, cum aviculæ visco irretitæ decidunt.

V. At non minus jucundum spectaculum est, cum auceps accipitrem secum allatum circa aliquem arboris truncum deponit, atque hujus conspecti metu aviculæ sub frondibus latere conantur, et quo modo homines in itinere anxii, cum subito apparuit latro, post adspectum formidabilem nec regredi nec progredi audent, oblique usque accipitrem intuentur; tantus aviculas terror pervadit accipitrem con-

συντεταραγμένους αὐτοὺς ἀπὸ τοῦ δένδρου κατὰ σχολὴν καθελκύσει.

VI. Ἀλλὰ καὶ τοῖς πλεκτοῖς τινες ἐπὶ τῶν δασειῶν ἀρουρῶν, ὕπνου χρῄζοντες, περιπίπτουσι λίνοις, ὅταν, ἡλίου δύοντος, ὁ νυκτερινὸς ἐπίῃ καιρός.

VII. Οἱ πέρδικες θηρῶνται λίνοις τε καὶ πηκτίσιν, ἢ φωνῇ πέρδικος, ἢ παροξυνθέντες εἰς μάχην, ἢ ἐλάφου δορᾷ· τὸ γὰρ ζῷον τοῦτο φιλοῦντες ὑπερφυῶς ἐξαπατῶνται, εἴ τις ἀνὴρ δέρμα περιθέμενος ἐλάφου καὶ ἐπιθεὶς τῷ μετώπῳ κέρατα προσίοι λανθάνων αὐτοῖς, καὶ ἀληθῶς εἶναι ἔλαφον οἰηθέντες περιέπουσί τ' αὐτὸν καὶ πλησιάζοντι χαίρουσι. καὶ οὐδ' ἀφίστασθαι βούλονται, ὥς τινα συνήθη καὶ ὁμήλικα νέον μετὰ μακρὰν ἀποδημίαν θεώμενοι. Τοῦ δ' ἔρωτος αὐτοῖς ὁ καρπὸς βρόχοις τε περιπεσεῖν, ἢ τοῖς τὰς πυκνὰς μολυβδαίνας ἔχουσι λίνοις, καὶ τότε ἀντ' ἐλάφου τόν τ' ἀγρευτὴν καὶ τὴν ἀπάτην ἰδεῖν.

VIII. Ὃν δ' ἐπὶ τοῖς ἐλάφοις ἔχουσιν οἱ πέρδικες ἔρωτα, τοῦτον ἐπὶ τοῖς ἵπποις αἱ ὠτίδες, καί τις ἐκ τούτου κατ' αὐτοὺς ἐπινενόηται τρόπος· λίνα τις ποταμοῦ πλησίον ἢ λίμνης ἐπιτηδείῳ στήσας χωρίῳ καὶ μικράν τινα ἐν μέσοις αὐτοῖς καταλιπὼν δίοδον, ὥσθ' ἕνα δύνασθαι ἱππέα διεξελθεῖν, ταῖς ὠτίσιν ἐπιδεικνύει τὸν ἵππον· αἱ δ' ἕπονται προθύμως αὐτῷ, τὰ πτερὰ πάντα ἁπλώσασαι, μέχρις ἂν ὁ μὲν δι' ἐκείνου τοῦ στενοῦ διεκδράμῃ χωρίου, αἱ δ' ὠτίδες πᾶσαι περιπλακῶσι τοῖς λίνοις.

IX. Οἱ δ' ὄρτυγες ἐν νυκτὶ νεφέλαις θηρῶνται, παλαιοτέρων ἄλλων ἀνακραζόντων ὀρτύγων· τῇ φωνῇ γὰρ ἐπιδραμόντες περιπίπτουσι ταῖς σαγήναις. Ἔστι δέ τις αὐτῶν ἄγρα τοιήδε καὶ μεθ' ἡμέραν· ἐπὶ τῆς γῆς λίνον τις ἁπλώσας τό θ' ἱμάτιον ὑπὲρ τὴν κεφαλὴν ἀνατείνας τὸ ἑαυτοῦ καὶ καλάμοις ἑκατέρωθεν ἀνέχων, κινεῖ αὐτό, κατὰ μικρὸν προβαίνων· αὐτοῖς δ' ἕπεισι δέος πρὸς σκιὰν τῆς ἐνταῦθεν κἀκεῖθεν ἐπινευούσης ἐσθῆτος, μέχρις ἂν ἐκείνην φεύγοντες περιπέσωσι ταῖς τῶν λίνων ἄψῖσιν.

X. Καὶ τοὺς ἀτταγῆνας κατὰ τοῦτόν τις αἱρήσει τὸν τρόπον· τῷ τάχει γὰρ τῶν ποδῶν πλέον ἢ τῇ πτήσει θαῤῥοῦντας αὐτοὺς, ὡς λαγωοὺς, θηρατὴς ἐπαγόμενος κύνας θηρεύσει.

XI. Αἱ δὲ γέρανοι καθ' ἑτέρους ἁλίσκονται τρόπους, καὶ εἴ κολοκύνθης ξηρᾶς τὸν τράχηλον ἐκτεμών τις καὶ κοίλην ποιήσας αὐτὴν ἰξῷ τε ἔνδοθεν καταχρίσας ἐμβάλλοι κάνθαρον· ὁ μὲν ἔνδοθεν διεξελθεῖν ἐθέλων ἠχήσει, τῷ κτύπῳ δ' ἡ γέρανος προσδραμοῦσα τήν τε κεφαλὴν καθεῖσα καὶ ἑλοῦσα τὸν κάνθαρον, καὶ αὐτὸ τὸ κύτος τῆς κολοκύνθης συναρπάσει περὶ τῷ μετώπῳ καὶ τοῖς ὀφθαλμοῖς κείμενον καὶ ἐπὶ τοῖς πτεροῖς κολληθὲν, ὡς μήθ' ὁρᾶν, μήτε προβαίνειν δύνασθαι, ἀτρεμεῖν δὲ καὶ ἑστάναι, μέχρις ἂν αὐτὴν ταῖς χερσὶ συλλάβηται πλησιάσας. Καὶ κρομμύου δὲ φύλλον, εἰ μὴ παρείη κάνθαρος, ἐμβαλεῖν ἀπόχρη τῷ τῆς κολοκύνθης κοιλώματι. Καὶ παγίσι δ' αἱρεῖται ῥᾳδίως, εἰ ταμών τις

spicatas Tum auceps sic perturbatas et attonitas facili negotio ab arbore detrahit.

VI. Quædam etiam, dum, nocte ingruente, in arvis densioribus ad somnum se componunt, linis impliciti capiuntur.

VII. Perdices capiuntur retibus, aut compage, aut voce perdicis, aut provocatæ ad pugnam, aut cervina pelle; vehementer enim cervos amant, et pelle decipiuntur hoc modo: si quis pelle cervi indutus cornua capiti imponat et furtim accedat, illæ verum cervum esse ratæ suspiciunt coluntque eum, et accedente gaudent adeo, ut discedere ab eo nolint, ac si familiarem aliquem et cœtaneum adolescentem a longa peregrinatione viderent. Hac benevolentia et amore nihil quam laqueos aut plumbata retia lucrantur, ac ut tunc demum pro cervo venatorem, detecta fraude, aspiciant.

VIII. Qui perdicum in cervos, idem in equos otidum amor est; quamobrem hujusmodi industria falluntur; retia aliquis prope fluvium aut stagnum idoneo loco erigit, angustoque per medium transitu relicto, quo eques unus transire possit, equum avibus ostendit; sequuntur illæ statim, pennis omnibus expansis, donec eques ex loco illo angusto recedat, ipsæ vero inclusæ omnes irretiantur.

IX. Coturnices noctu retibus, quæ nebulas vocant, capiuntur, clamitantibus aliis natu majoribus (illicibus,) ad quarum vocem dum accurrunt, in sagenas incidunt. Interdiu etiam in terra hoc modo capiuntur: reti extenso super terra, aliquis tunicam supra caput erectam utrinque calamis sustinens movet, paulatim progrediens; metuunt illæ sibi, et dum vestis huc illuc nutantis umbram fugiunt, retium vinculis involvuntur.

X. Attagenes hoc modo capere licet; pedum enim celeritate magis quam volatu fretos venator, canibus immissis, tamquam lepores, eos venabitur.

XI. Grues cum aliis modis, tum ita capiuntur: cucurbita sicca et decollata excavatur, visco intus illinitur, injicitur scarabeus, qui exitum quærens immurmurabit; eo sonitu excitata grus accurret, et capite inserto captoque scarabeo, ipsum etiam cucurbitæ vas attrahet atque oculis capitique ac pennis agglutinabit, ut jam neque visu, neque progressu uti valeat, sed uno in loco consistat, donec ab aucupe manibus capiatur. Si desit scarabeus, cepæ folium injecisse in alvum

καλαμον καὶ ἐπὶ ταῖς δυσὶ τρήσας ἀρχαῖς, ἐνθείη κάρφη λεπτὰ, διπλᾶς αὐτοῖς ποιήσας γλωχῖνας, δι' ὧν κυκλώσει τὸν βρόχον, λίθον κάτωθεν τρητὸν ἀπαρτήσας καὶ κατὰ μέσον τοῦ καλάμου λεπτήνατινα περόνην σιδηρᾶν ἐμβαλὼν κύαμόν τε ἐπιπήξας αὐτῇ, πρὸς ὃν ἡ γέρανος βλέπουσα τῷ βρόχῳ τὴν κεφαλὴν ἐμβάλλει, καὶ τοῦ μὲν κυάμου δράξεται, ἀνανεῦσαι δὲ βουληθεῖσα, περὶ τῷ τραχήλῳ ταθέντα ἀνασπάσει τὸν βρόχον, εἶτα αἰσθομένη τοῦ δόλου, ἀναπτῆναι μὲν πειράσεται πολλάκις, πρὸς δὲ τὸ ἄχθος τοῦ λίθου καθελκυσθήσεται, μέχρις ἂν αὐτῆς ὁ θηρατὴς ἐπιλάβηται.

XII. Φάσσας δ' ἑλεῖν ἐστι δυσμηχανώτατον· τῶν θηρατῶν γὰρ αἰσθόμεναι τάχιστα ἀποφεύγουσιν, ἀλλὰ καὶ αὐταὶ νικῶνται δόλῳ· θεασάμενος γὰρ ὁ θηρατὴς ἐπὶ δένδρου καθημένας αὐτὰς, ἁπλοῖ κατὰ τοῦ ἐδάφους τὸ δίκτυον, λεπτὸν ἐπιβάλλων ἄχυρον, ὥστε κρύπτειν αὐτὸ, φάσσας θ' ἑτέρας ἐφίστησι τῶν πάλαι ἠρημένων, τυφλώσας καὶ τοὺς πόδας αὐτῶν λεπταῖς ἀποδήσας σπάρτοις, δι' ὧν αὐτὰς κινῶν συναναγκάσει τινάσσεσθαι. Τοῦ κτύπου δ' ἀκούσασαι προστρέχουσιν αἱ λοιπαὶ, τήν τε νομὴν καὶ τὰ δένδρα ἀπολιποῦσαι· εἶτα ἐκεῖνος ὑπό τινι καλύβῃ κρυπτόμενος πολλῇ ἰσχύϊ τὴν τῶν λίνων μήρινθον ἐπιτείνει, καὶ πάντας ὁμοῦ τοὺς στάλικας ἀναστήσας αἱρεῖται τὰς φάσσας τοῖς τοῦ λίνου κόλποις ἐμπεπτωκυίας. Τοιούτοις δὲ καὶ τὰς περιστερὰς ἐπισπάστροις αἱροῦσιν, ἀλλὰ καὶ εὐκολώτερον αὐτὰς θηρεύσει τις βρόχῳ.

XIII. Τοὺς κοσσύφους δὲ καὶ τὰς εὐφώνους ἀηδόνας ἔστιν ἑλεῖν ἐν τοῖς συνεχέσι θάμνοις στήσαντα πάγην, ἧς δύο μὲν κυκλοτερεῖς εἰσιν ἄντυγες, ὑπὸ τοῖς στρεπτοῖς τοῦ λίνου κόλποις κρυπτόμεναι καὶ ταῖς ὑποχαῖς ἐοικυῖαι ταῖς θαλασσίαις· νεῦρα δὲ βοὸς ἐπιτείνονται, μηκίστης ἐν τῷ μέσῳ ῥάβδου κειμένης· ἀπαρτῶσι δ' αὐτῶν μήρινθόν τε καὶ ὕσπληγγα, καὶ ἔτι δέλεαρ ἐντιθέασιν, οἷον μύρμηκα ἢ γῆς ἔντερον, ᾧ δελεασθὲν τὸ ὄρνεον ἐπιψαύει τῆς πάγης καὶ ἐνσχεθήσεται, περιστραφέντων ἐκείνων, ὁπόσα τ' ὦσιν ἐπὶ τῇ θήρᾳ συντεταγμένα. Κατὰ τοῦ κοσσύφου δὲ καὶ τοιοῦτόν τι τοῖς μειρακίοις ἐπινενόηται· περὶ τὸν τοῦ χειμῶνος καιρὸν, ὅτε τροφῆς μάλιστα τὸ ὄρνεον ἀπορεῖ, βόθρον ὀρύξαντες ἐλαίας, ἐμβάλλουσι κόκκον, ἢ δάφνης, καὶ παριστῶσί τι κεράμου κλάσμα μικρόν· εἶτ' ἐπ' ἐκείνῳ πάσσαλον ἐντιθέασι καὶ τῷ πασσάλῳ κεράμους τείνουσι δύο, οἷς καὶ ὕσπληγξι ἄλλο ὄρνεον ἐπίκειται. Πλησιάζων δὲ πάντως ὁ κόσσυφος ὁ τροφῆς δεόμενος ἐν τῷ βόθρῳ, καὶ πεσόντος ἐξαπίνης τοῦ ὀστράκου ἐγλεισθήσεται. Κατὰ τοῦτον αἱροῦνται τὸν τρόπον καὶ αἱ κίχλαι καὶ αἱ πύρραι.

XIV. Ὁ δ' αἴγινθος θηρᾶται κλωβῷ, ἐν ᾧ πάλαι θηραθεὶς ἕτερος ἐπὶ τὸ βοᾷν κατακλείεται, θυρῶν οὐσῶν ἑκατέρωθεν δύο· καὶ δέλεάρ ἐστι κάρυον, ἢ σκώληξ, ἤ τι τοιοῦτον, ᾧ τὸ ὄρνεον ὑπὸ τῆς φωνῆς προστραπὲν ἐφορμήσει. Ἀλλ' ὕσπληγξ καὶ ταύτας περιστρέφει τὰς θύρας, ὥστ' εἰσελθόντα τὸν αἴγινθον οὐκ ἔχειν ἐκπτῆναι.

cucurbitæ sat fuerit. Transennis etiam facile capitur, si quis arundinem sectam utrinque perforet et exiles festucas imponat, ejusque per duos mucrones laqueum tendat, perforatum lapidem ab arundine suspendens, in media autem arundine ferream aciculam figens et fabam ei inserens, quam grus respiciens laqueo caput insinuet; hac arrepta, jam retractura caput collum illaqueatum sentiet, perceptoque dolo sursum evolare nitetur, sed lapidis pondus obsistet, donec ab aucupe comprehendatur.

XII. Palumbi difficillime capiuntur; statim enim, visis aucupibus, procul avolant, vincuntur tamen et ipsæ dolo; nam auceps arbori insidentes conspicatus rete in solo extendit ac tenues paleas inspergit, ut lateat, et palumbos alios olim captos excœcatosque imponit et pedibus tenues illigat funiculos, quibus commotis sese concutere et strepitum edere palumbos cogit. Eo percepto, ceteri, pascuis et arbustis relictis, advolant; dein auceps in attegia conditus, quantum potest, retium funem adtrahit, et amitibus simul omnibus erectis, palumbos retium sinibus intricatos capit. Ejusmodi retibus columbæ etiam capiuntur, sed facilius laqueis.

XIII. Merulas et canoras luscinias capere licebit, transenna inter densa fruteta collocata, quam bini orbes constituant, sibi intortis sinibus retis latentes et marinis retibus, quæ hypochas vocant, similes. Intenduntur etiam nervi bubuli, longissima posita in medio virga; a nervis funiculus et repagulum suspenduntur. Adhæc esca imponitur formica aliquis aut lumbricus, qua inescata avis transennam perstringat, et omnibus illis, quæ ad capturam destinata erant, circumactis detineatur. Ceterum in merulas alium etiam captionis modum adolescentes excogitarunt: scrobem hyeme fodiunt, cum avis maxime cibi inops est, et olivæ aut lauri baccam injiciunt, ac prope testæ fragmentum ponunt minutum; dein scrobi paxillum inserunt, quo testas binas intendunt, quibus rapaguli ope alia avis imponitur. Sic omnino merula famelica advolabit et scrobem subibit, ubi, subito incidentibus tegulis, includetur. Sic etiam turdi et pyrrhæ capiuntur.

XIV. Æginthus (*ægithus*) capitur cavea, cui alius pridem captus ad alliciendum voce includitur. Fores utrinque binæ, esca nux ponitur, aut vermiculus, aut aliquid ejusmodi, cui voce illecta avis advolet. Has quidem fores repagulum circumagit, ne ingressus æginthus iterum evolet.

XV. Κάλανδρον δ' οὐκ ἄν τις ἕλοι ῥᾳδίως, εἰ μὴ πλησίον ὕδατος θείη τὸ λίνον· ὁ μὲν γὰρ τοῦ ποτοῦ χρῄζων προσίπταται, ὁ δ' ἀγρευτὴς τέως ἐν καλύβῃ λανθάνων καὶ ἐπιτείνων νεύρῳ τὸ δίκτυον, πίνοντα καλύψει τὸν κάλανδρον.

XVI. Θηρῶνται δ' καὶ τρυγόνες, δίψης αὐτὰς ἀγούσης ἐπὶ πηγὴν, ἧς χαὶ πλησίον ὁ θηρατὴς κάλαμον ἵστησι, πτερὰ ἀπ' ἄκρου προσδήσας, ὧν ἡ κίνησις διώκει τε καὶ φοβεῖ πλεῖστον αὐτάς· ἀλλ' ἑτέραν τινὰ πρότερον εἰλημμένην κατατίθεται πλησίον τρυγόνα, ἣν θεασάμεναι καὶ προσπτᾶσαι καθέζονται, οὕτω τ' ἐφελκυσθέντος αἱροῦνται τοῦ λίνου.

XVII. Γλαυκὶ δὲ αἱ κορυδαλίδες ἀγρεύονται, ἣν ὁ θηρατὴς ἐπί τινος χαλκῆς στήσας ἀψῖδος τινάσσει, σπάρτα συνεχῶς ἐπιτείνων καὶ περιθεὶς κύκλῳ ῥαβδία προχρισθέντα ἰξῷ. Τὴν γλαῦκα τὸ νυκτερινὸν ὄρνεον σπεύδουσιν αἱ κορυδαλίδες ἑλεῖν, τῷ τ' ἰξῷ καὶ ταῖς ῥάβδοις ἁλίσκονται.

XVIII. Ἐπὶ δὲ τοὺς ὀξυβόας κολοιοὺς τοιαύτη τις ἄγρα παρασκευάζεται· ῥάβδον ἐπὶ τῇ γῇ δεῖ πῆξαι μακρὰν, ἐκ μηρίνθου δ' αὐτῇ προσάψαι βρόχον, μέσῳ θ' ὑσπληγγα, τοὺς ἑκατέρωθεν λύγους τῇ περιστροφῇ καλύπτοντα· ἐπ' ἄκρου δ' αὐτῆς κείσεται καρπὸς ἐλαίας, κατευθὺ τεταγμένου τοῦ βρόχου, οὗ εἰ ἐπιψαύσουσιν οἱ κολοιοὶ, ἡ μὲν ὑσπληγξ κατολισθαίνει, ἐνειλιχθεῖσα δ' ἡ ῥάβδος ὀρθοῦται καὶ τὸν βρόχον οὕτως ἐφέλκεται, ὥστε τῶν κολοιῶν τοὺς τραχήλους ληφθῆναι. Καὶ τὰς κίσσας δὲ κατὰ τὸν αὐτὸν τρόπον αἱροῦσιν οἱ ἰξευταί.

XIX. Καὶ ἄλλος κολοιῶν [ἄγρας] τρόπος ἐστίν· ἐλαίου τις ἄγγος ἐμπλήσας τίθησιν, ὥστε τοὺς κολοιοὺς ὁρᾶν εἰς αὐτό· οἱ δ' ὁρῶντες ἐν τῷ ἄγγει τὰς ἑαυτῶν [εἰκόνας], κολοιοὺς ἑτέρους νομίζουσι, καὶ εἰς τὸ ἔλαιον καταπτάντες ἐμπηδῶσιν εὐθὺς, εἶθ' οὕτω καὶ τὰ πτερὰ καὶ τὰ μέλη βαρύνονται τῷ ἐλαίῳ βραχέντες, ὡς μὴ δύνασθαι ἀποπτῆναι, καὶ κατὰ τοῦτον εὐθὺς αἱροῦνται τὸν τρόπον.

XX. Αἰγίθαλον δ' εἴ τις ἀγρεῦσαι βούλοιτο, θηλὴν αἰγὸς πάντοθεν ἰξῷ καταχρίει· ὁ δὲ γάλα τῆς αἰγὸς πιεῖν ἐπειγόμενος, ὑπερίπταται μὲν τὰ θριγκία, πρὸς δὲ τὴν μάνδραν ἐλθὼν τὸ ῥάμφος ἐπὶ τὸν τῆς αἰγὸς ἐρείδει μαζὸν, καὶ τοῦ ἰξοῦ μέχρι ταρσῶν αὐτοῦ διαχυθέντος, ἁλίσκεται.

XXI. Πρὸς δὲ τὴν τοῦ πορφυρίωνος ἄγραν οὔτε ἰξοῦ τις, οὔτε λίνων δεήσεται, ἀλλ' εἰ μόνον που καθήμενον ἐπιτηρήσας αὐτὸν, ὀρχούμενος κατὰ μικρὸν πλησιάζοι· τῷ δ' οὕτως ἐστὶν ἡ τῆς ὀρχήσεως ὄψις ἡδεῖα, ὥστ' οὐκ ἀποπτήσεται, καίπερ ὁρῶν προσιόντα τὸν ἄνδρα, κινήσει δὲ καὶ αὐτὸς ὀρχούμενος τὰ μέλη τὰ ἑαυτοῦ, τὴν ἄγραν ἑλόμενος διὰ τὴν ὄρχησιν.

XXII. Σανίσιν εἰκόνας ἐπιγράψαντες ἰχθύων θηρῶσι τοὺς καταῤῥάκτας· σὺν ὁρμῇ γὰρ ὡς ἐπί τινα καταπτάντες ἰχθὺν περιῤῥήγνυνται ταῖς σανίσι καὶ διαφθείρονται. Καὶ ὄρνεις δ' ἄλλοις καὶ οὐκ ὀλίγους λίνοις τε καὶ πάγαις αἱροῦσι νηχομένους, ἢ καὶ πρός τινας διεξ-

XV. Calandrum nemo facile ceperit, nisi reti juxta aquam extenso ab aucupe juxta in tugurio latitante, qui avem ad potum hauriendum accedentem funiculo retis attracto involvat.

XVI. Turtures quoque capiuntur, cum siticulosi ad fontem accesserint, prope quem venator arundinem erigit, pennis ad summam alligatis, quarum motus turtures admodum terret fugatque. Sed alius turtur jam pridem captus in propinquo ponitur, quo conspecto ceteri advolitantes considunt et retis tractu obtecti capiuntur.

XVII. Alaudæ capiuntur ope noctuæ, quam auceps expositam in apside aliqua ærea adsidue concutit, funiculum attrahens, circumpositis antea undique virgulis visco illitis. Tum alaudæ ad noctuam capiendam properantes inviscantur.

XVIII. Adversus clamosos graculos venatio talis instituitur : virga oblonga terræ infigitur, cui laqueus funiculi ope adnectitur et in medio repagulum, quod circumactu suo vimina utrinque sita contegat. In summum repagulum oleæ bacca imponitur, cui e regione laqueus pendet, quem ubi contigere graculi, repagulum delabitur, et virga antea involuta nunc erigitur atque laqueum attrahit, ita ut avium cervices inhæreant. Simliter etiam picis insidiantur aucupes.

XIX. Est et alius dolus graculis capiendis accommodatus : vas oleo plenum eo in loco exponitur, ubi conspiciatur a graculis; illi suas in vase imagines intuiti aliosque graculos esse rati in oleum devolant confestim; dein oleo madidi ita pennis et membris gravantur, ut avolare nequeant eoque statim modo capiuntur.

XX. Caprimulgum capturus capræ papillam visco circumlinat; avis autem caprinum lac haustura, cum sepes transgressa in stabulum pervolaverit et sugere capram inceperit, effuso ei ad pedes usque visco, capitur.

XXI. Porphyrioni capiendo neque viscum, neque retia adhiberi opus est, sed tantummodo, ubinam consideat, observare et saltando paulatim accedere; saltationis enim spectaculo tantopere delectatur, ut licet accedentem hominem viderit, non tamen avolet, sed ipse etiam se moveat et ad saltandum membra componat, propter saltationem aucupi ultro sese offerens.

XXII. Catarrhactas imaginibus piscium super tabulas pictis capiunt, nam dum impetu in illas ceu vivos pisces feruntur, illisi pereunt. Multas etiam alias aves retibus et decipulis capiunt vel inter natandum, vel cum ad littora progrediuntur

ιόντας ἀκτὰς, ἐν αἷς τὰ πτερὰ ψύχειν, ἢ καθεύδειν, ἢ μετὰ κόρον εἰώθασιν οἱ ὄρνεις διαναπαύεσθαι.

XXIII. Καὶ παγίσι μὲν καὶ βρόχοις αἱ νῆσσαι θηρῶνται καὶ οἱ λινουργοὶ καὶ οἱ κεγχρῖται καὶ ἄλλα γένη χηνῶν καὶ οἱ ταχεῖς φελλῖναι καὶ αἱ φαλαρίδες καὶ πλεῖστα ἕτερα τῶν ἀμφιβίων ὀρνίθων, ἀπατηθέντα τροφῇ· πρὸς γὰρ τοῖς τῶν λιμνῶν ἢ τῶν ποταμῶν χείλεσι κριθὰς κατασπείρουσιν, ἢ ὄλύρας, ἢ κέγχρον. Κατὰ δὲ τῶν χηνῶν καὶ ἄλλο τι μεμηχάνεται· ξύλινόν τις χῆνα ποιήσας σχοίνῳ τ' ἐπιδήσας αὐτὸν, κατάμονον τῆς λίμνης ἀφίησι, καὶ περὶ τοῦτον συνίασιν οἱ χῆνες τύπτουσί τ' αὐτὸν, ὡς ἀλλότριον τῆς αὐτῶν ἀγέλης διώκοντες· ὁ θηρατὴς δ' ἐν καλύβῃ κρυπτόμενος καὶ λεπτήν τινα κατέχων μήρινθον, ἐπὶ τὴν γῆν ἕλκει τὸν ξύλινον χῆνα· οἱ δὲ φεύγειν αὐτὸν οἰηθέντες, ἀκολουθοῦσι, κἂν εἴσω γένωνται τῶν λίνων διώκοντες· τότε τοὺς κάμακας ἐπισπασάμενος ὁ θηρευτὴς καὶ τὸ δίκτυον ἀναστήσας, κοινῇ πάντας περικαλύπτει τοὺς χῆνας περὶ τὸν ξύλινον νηχομένους.

XXIV. Ἀλλ' οὐδ' οἱ καλούμενοι θρᾷκες ὄρνεις, οὐδ' οἱ δυτῖνοι καὶ οἱ κόλυμβοι τοὺς θηρατὰς διαφεύγουσι, κἂν πανημέριον νήχωνται, δόλῳ δὲ κἀκείνους ἀγρεύουσιν. Ὅταν ἀκίνητον ᾖ διὰ γαλήνην τὸ πέλαγος, εἰς ἄκωπον σκάφος ἐμβάντες πρὸς μικρὸν πλέουσιν, ὡς ἂν μὴ τῆς εἰρεσίας τοὺς ὄρνεις ὁ κτύπος ἀποδιώξειεν, εἶθ' εἷς μὲν ἐπὶ τῆς πρύμνης ἕστηκε λίνον ἐπιφερόμενος, ἕτερος δ' ἐπὶ τῆς πρώρας τῷ πηδαλίῳ κατὰ μικρὸν προάγων τὸ σκάφος καὶ λύχνον ἐν κεράμῳ φέρων, οἷον ἐπιδείκνυσιν, ὅταν πλησιάζῃ τοῖς ὄρνισιν· οἱ δ' οὐ λύχνον, ἀλλ' ἀστέρα δοκοῦντες ὁρᾶν, προσιοῦσαν δέχονται τὴν πορθμίδα, γενομένης δ' ἐγγὺς, κρύπτει μὲν ἐν τῷ κοίλῳ τῆς νεὼς τὴν λαμπάδα ὁ θηρευτὴς, ἵνα μὴ γνωσθῇ τοῖς ὄρνισιν ὁ δόλος· ὁ δὲ μακρὸν αὐτοῖς ἐπιῤῥίπτει λίνον ἁπλώσας, καὶ πολλοὺς καλύψας ἐξέλκει.

Τοσαῦτά μοι, κράτιστε βασιλεῦ, περὶ τοῦ βίου καὶ τῆς ἄγρας τῶν ὀρνίθων ἐστὶν εἰπεῖν, Διονύσιος δ' αὐτὰ παρὰ τοῦ τῆς Λητοῦς Ἀπόλλωνος διδαχθῆναί φησιν.

ubi vel pennas exsiccare, vel dormire, vel post pastum quiescere consueverunt.

XXIII. Decipulis et retibus anates capiuntur et linurgi et cenchritæ et alia genera anserum et celeres phellinæ et phalarides et plurimæ aliæ aves amphibiæ, cibo deceptæ; nam ad ripas lacuum aut fluvjorum hordeum, far, aut milium spargunt. Anseribus capiendis etiam alius dolus excogitatus est : ligno anserem fabricatur auceps, quem fune alligatum in palude immotum continet; hunc circa congregantur anseres impugnantesque rostro veluti alienum a grege abigunt. Auceps in attegia conditus tenui funiculo ad terram ligneum anserem trahit; illi vero fugientem quasi insequuntur, et ubi intra retia persequendo devenerint, perticas auceps attrahit, erectumque rete omnes simul anseres circum ligneum natantes obvolvit.

XXIV. Quamvis thraces dictæ aves, dytini et colymbi per totum diem natare soleant, non tamen effugiunt venatores, sed dolo etiam capiuntur; ubi enim tranquillum immotumque est mare, naviculam ingressi remis carentem, ne aves remigii strepitu terreantur, aliquo usque navigant; tum alius rete ferens puppi insistit, alius vero proræ, paulatim naviculam gubernaculo promovens, qui et lucernam in testa gerit, quam avibus ostendit, cum jam prope fuerit; aves stellam, non vero lucernam, se videre putantes, naviculam propius accedere patiuntur; tum auceps, lucerna intra navis cavum occultata, ne aves dolum intelligant, rete extensum eis injicit multosque ita obvolutos e mari protrahit.

Atque hæc, potentissime Cæsar, de victu et captura avium dicenda habui; hæc vero Dionysius ab Apolline Latonæ filio se edoctum profitetur.

ΝΙΚΑΝΔΡΟΥ

ΘΗΡΙΑΚΑ.

Ῥεῖα κέ τοι μορφάς τε σίνη τ' ὀλοφώϊα θηρῶν
ἀπροϊδῆ τύψαντα λύσιν θ' ἑτεραχλέα κήδευς,
φίλ' Ἑρμησιάναξ, πολέων κυδίστατε παῶν,
ἔμπεδα φωνήσαιμι· σὲ δ' ἂν πολυεργὸς ἀροτρεὺς
βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος, εὖτε καθ' ὕλην
ἢ καὶ ἀροτρεύοντι βάλῃ ἐπὶ λοιγὸν ὀδόντα,
τοῖα περιφρασθέντος ἀλεξητήρια νούσων.

Ἀλλ' ἤτοι κακοεργὰ φαλάγγια, σὺν καὶ ἀνίγρους
ἑρπηστὰς ἔχιάς τε καὶ ἄχθεα μυρία γαίης
Τιτήνων ἐνέπουσιν ἀφ' αἵματος, εἰ ἐτεόν περ
Ἀσκραῖος μυχάτοιο μελισσήεντος ἐν ὄχθαις
Ἡσίοδος κατέλεξε παρ' ὕδασι Περμησσοῖο.
Τὸν δὲ χαλαζήεντα κόρη Τιτηνὶς ἀνῆκε
σκορπίον, ἐκ κέντροιο τεθηγμένον, ἧμος ἐπέχρα
Βοιωτῷ τεύχουσα κακὸν μόρον Ὠαρίωνι,
ἀχράντων ὅτε χερσὶ θεῆς ἐδράξατο πέπλων.
Αὐτὰρ ὅγε στιβαροῖο κατὰ σφυρὸν ἤλασεν ἴχνευς
σκορπίος ἀπροϊδὴς, ὀλίγῳ ὑπὸ λᾶϊ λοχήσας.
Τοῦ δὲ τέρας περίσημον ἐν ἄστρασιν ἁπλανὲς αὖτως
οἷα κυνηλατέοντος ἀείδελον ἐστήρικται. [δην

Ἀλλὰ σύ γε σταθμοῦ τε καὶ αὐλίου ἑρπετὰ φύγ-
ῥηϊδίως ἐκ πάντα διώξεαι, ἢ ἀπ' ἐρίπνης,
ἠὲ καὶ αὐτοπόνοιο χαμευνάδος, ἧμος ἀν' ἀγροὺς
φεύγων αὐαλέου θέρεος πυρόεσσαν ἀϋτμὴν,
αἴθριος ἐν καλάμῃ στορέσας ἀκρέσπερος εὕδῃς,
ἢ καὶ ἀν' ὑλήεντα παρὲκ λόφον, ἢ ἀνὰ βήσσης
ἐσχατιὴν, ὅθι πλεῖστα κινώπετα βόσκεται ὕλην,
δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας·
καί τε παρὲκ λιστρωτὸν ἅλω δρόμον, ἠδ' ἵνα ποίη
πρῶτα κυϊσκομένη σκιάει χλοάοντας ἰάμνους,
τῆμος ὅτ' αὐαλέον φολίδων ἀπεδύσατο γῆρας
μῶλυς ἐπιστείχων, ὅτε φωλεὸν εἴαρι φεύγων
ὄμμασιν ἀμβλώσσει· μαράθου δέ ἑ νήχυτος ὄρπηξ
βοσκηθεὶς ὠκύν τε καὶ αὐγήεντα τίθησι.

Θιμβρὴν δ' ἐξελάσεις ὀφίων ἐπιλωβέα κῆρα,
καπνείων ἑλάφοιο πολυγλώχινα κεραίην,
ἄλλοτε δ' ἀζαλέην δαίων Γαγγίτιδα πέτρην,
ἣν οὐδὲ κρατεροῖο πυρὸς περικαίνυται ὁρμή·
ἐν δὲ πολυσχιδέος βλήτρου πυρὶ βάλλεο χαίτην·
ἢ σύ γε καχρυόεσσαν ἑλὼν περιθαλπέα ῥίζαν,
καρδάμῳ ἀμμίξας ἰσοελκεῖ· μίσγε δ' ἔνοδμον
ζορκὸς ἐνὶ πλάστιγγι νέον κέρας ἀσκελὲς ἱστὰς,
καί τε μελανθίου βαρυαέος, ἄλλοτε θείου,
ἄλλοτε δ' ἀσφάλτοιο φέρων ἰσοελκέα μοῖραν·
ἠὲ σύ γε Θρῃΐσσαν ἐνιφλέξας πυρὶ λᾶαν,
ἥ θ' ὕδατι βρεχθεῖσα σελάσσεται· ἔσβεσε δ' αὐτὴν,
τυτθὸν ὅτ' ὀδμήσηται ἐπιῤῥανθέντος, ἔλαιον.

NICANDRI

THERIACA.

Et varias formas et diro dente ferarum
incautos morsus, tum quo medicamine noxam
depellas, reliquis major mihi sanguine junctis
care Hermesianax, facili tibi carmine dicam.
Te modo, sive metunt, aut terram vomere versant
seu ligna exscindunt, percussi dente maligno
agricolæ observent hæc amuleta docentem.

Serpentes sævos tætroque phalangia morsu
vipereumque genus terræque incommoda mille
Titanum fama est fuso exsiliisse cruore,
vera Melissæo si quondam Ascræus in antro
Hesiodus cecinit Permessi ad fluminis undas.
At vero algificum Titania virgo creavit
scorpion, armatum stimulo caudaque tremendum,
Bœoto pœnas ex Oarione reposcens,
sacram auso manibus vestem temerare Dianæ.
Qui latitans parvi cæco sub fornice saxi,
duram improviso violavit vulnere calcem.
Cujus ob id tamquam venantis in astra relatum
sidus, et immotum magno fulgore coruscat.

Sed cuncta e stabulo longe septisque fugabis,
si libet aut ima lectum consternere terra,
sive alto pendere loco, quum Sirius agros
urit, et ardorem, stipula projectus inani,
declinans dormis, dum temperet aera vesper,
seu prope frondosum tumulum, seu valle sub ima,
multus ubi silvas atque horrida pascitur anguis
arbusta et dumos et fossas luce carentes:
seu te ampla æquato spatio tenet area, molli
sive jaces, campos ubi primum contegit, herba,
quando senectutem et squalentia tergora serpens
exuit egressus latebris, et corpore tardus
luminibusque gravis conquirit vere marathrum,
quo vigor atque acies redeant in lumina pasto.

Nam potes ardentes pestes depellere, cervi
ramoso si vis suffire cubilia cornu,
aut flammis etiam petram mandare gagatis
arentem, rapido quæ non consumitur igne,
multifidæve comas filicis accendere flamma.
Acrem quin etiam radicem canchry ferentem
delige, et æquali nasturcia lance remiscens
urito, vel juvenis simul arida cornua damæ
in trutina statues, paribusque melanthion addes
ponderibus vel sulphur olens atrumve bitumen.
Threicium pariter Vulcano trade lapillum,
qui lymphis madidus flamma collucet, at idem
protinus affuso flammam restinguit olivo.

Τὴν ἀπὸ Θρηϊκίου νομέες ποταμοῖο φέρονται,
ὃν πόντον καλέουσι· τόθι Θρήϊκες ἀμορβοὶ
κρειοφάγοι μήλοισιν ἀεργηλοῖσιν ἔπονται.
Ναὶ μὴν καὶ βαρύοδμος ἐπὶ φλογὶ μοιρηθεῖσα
χαλβάνη ἄκνηστίς τε καὶ ἡ πριόνεσσι τομαίη
κέδρος, πουλυόδουσι καταψηχθεῖσα γενείοις,
ἐν φλογιῇ καπνηλὸν ἄγει καὶ φύξιμον ὀδμήν.
Τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑλῃώρεας εὐνὰς
κεινώσεις, δαπέδῳ δὲ πεσὼν ὕπνοιο κορέσσῃ.
Εἰ δὲ τὰ μὲν καμάτου ἐπιδεύεται, ἄγχι δέ τοι νὺξ
αὖλιν ἄγει, κοίτου δὲ λιλαίεαι ἔργον ἀνύσσας,
τῆμος δὴ ποταμοῖο πολυῤῥαγέος κατὰ δίνας
ὑδρηλὴν καλάμινθον ὀπάζεο χαιτήεσσαν·
πολλὴ γὰρ λιβάσιν παραέξεται, ἀμφί τε χεῖλη
ἕρσεται, ἀγραύλοισιν ἀγαλλομένη ποταμοῖσιν.
Ἦ σύ γ' ὑποστορέσαιο λύγον πολυανθέα κόψας
ἢ πολιὸν βαρύοδμον, ὃ δὴ ῥίγιστον ὄδωδεν·
ὣς δ' αὕτως ἐχίειον, ὀριγανόεσσά τε χαίτη,
ναὶ μὴν ἀβροτόνοιο, τό τ' ἄγριον οὔρεσι θάλλει
ἀργεννὴν ὑπὸ βῆσσαν, ἢ ἑρπύλλοιο νομαίου,
ὅς τε φιλόζωος νοτερὴν ἐπιβόσκεται αἶαν
ῥιζοβόλος λασίοισιν ἀεὶ φύλλοισι κατήρης.
Φράζεσθαι δ' ἐπέοικε χαμαιζήλοιο κονύζης
ἄγνου τε βρύα λευκὰ καὶ ἐμπρίοντ' ὀνόγυρον·
αὖτως τε τρήχοντα ταμὼν ἀπὸ κλήματα σίδης,
ἠὲ καὶ ἀσφοδέλοιο νέον πολυαυξέα μόσχον [την,
στρύχνον τε σκύρα τ' ἐχθρὰ, τά τ' εἴαρι σίνατο βού-
ἦμος ὅταν σκιρόωσι βόες καυλεῖα φαγοῦσαι.
Ναὶ μὴν πευκεδάνοιο βαρυπνόου, οὗ τε καὶ ὀδμὴ
θηρί' ἀποσσεύει τε καὶ ἀντιόωντα διώκει.
Καὶ τὰ μὲν εἰκαίῃ παράθου καὶ ἀγραυλέϊ κοίτῃ,
ἄλλα δὲ φωλειοῖσι, τὰ δ' ἐμφράξαιο χεείαις.
Εἰ γε μὲν ἐς τεῦχος κεραμήϊον ἠὲ καὶ ὅλπην
κεδρίδας ἐνθρύπτων λιπόοις εὐήρεα γυῖα,
ἢ καὶ πευκεδάνοιο βαρυπνόου, ἄλλοτ' ὀρείου
αὖα καταψήχοιο λίπει ἐνὶ φύλλα κονύζης·
αὖτως δ' ἀλθήεντ' ἐλελίσφακον, ἐν δέ τε ῥίζαν
σιλφίου, ἣν κνηστῆρι κατατρίψειαν ὀδόντες.
Πολλάκι καὶ βροτέων σιαλῶν ὑποέτρεσαν ὀδμήν.
Εἰ δὲ σύ γε τρίψας ὀλίγῳ ἐνὶ βάμματι κάμπην
κηπείην δροσόεσσαν, ἐπὶ χλωρηΐδα νώτῳ,
ἠὲ καὶ ἀγριάδος μαλάχης ἐγκύμονα καρπὸν
γυῖα πέριξ λιπάσειας, ἀναίμακτός κεν ἰαύοις.
Ψήχεο δ' ἐν στέρνῳ προβαλὼν μυλόεντι θυείης
ἐσθλοῦ ἀβροτόνοιο δύω κομόωντας ὀράμνους
καρδάμῳ ἀμμίγδην· ὀδελοῦ δέ οἱ αἴσιος ὁλκή·
ἐν δὲ χεροπληθῆ καρπὸν νεοθηλέα δαύκου
λειαίνειν τριπτῆρι· τὰ δὲ τροχοειδέα πλάσσων,
τέρσαι ὑπὸ σκιόεντι βαλὼν ἀνεμώδεϊ χώρῳ·
αὖα δ' ἐν ὅλπῃ θρύπτε, καὶ αὐτίκα γυῖα λιπαίνοις.
Εἰ γε μὲν ἐκ τριόδοιο μεμιγμένα κνώδαλα χύτρῳ
ζωὰ νέον θορνύντα, καὶ ἕν θρονα τοιάδε βάλλοις,
δῆεις οὐλομένῃσιν ἀλεξητήριον ἄταις·
ἐν μὲν γὰρ μυελοῖο νεοσφαγέος ἐλάφοις

Illum carnivori, pecudes dum rure sequuntur,
pastores ad nos primum vexere repertum
flumine Threicio, quem Pontum nomine dicunt.
Quin et galbaneos ferulæ succendere odores,
et juvat urticam, tum serræ pectine aheno
derasam cedrum : late hæc suffimina fundit,
et procul exagitat tætro nidore chelydros.
Sic spelæa illi fugient latebrisque recedent,
tuque solo recubans placido satiabere somno.
Si gravis hic labor est, et nox jam proxima suadet
fessa opere exacto gratæ dare membra quieti,
insignem foliis calaminthem ad fluminis oras
vestiga rapidi : liquidis uberrima crescit
illa locis, et aquæ magna dulcedine capta
luxuriat ramis, fluviosque et littora cingit.
Viticis aut longæ sectis molire cubile
caudicibus, poliive olidis insternere ramis.
Carpe echium pariter vel origanon abrotonique
agrestem sobolem, quæ montis valle sub ima
candicat, et ramos serpylli inquire per arva
serpentis, quod humo natum uda repit agensque
radices foliis multa propagine vivit.
Candentes agni flores humilisque conyzæ
lustra oculis fruticem spinisque onogyron acutis.
Aspera puniceæ pariter lege germina mali,
asphodelique novos florentis collige ramos
strychnumque et duris scyra detestanda bubulcis,
in venerem pastu rapientia vere juvencas.
Necnon peucedanum, cujus gravis aera complens
pellit odor colubros hominumque occursibus arcet.
Hæc strato raptim per agros compone cubili,
sed partem curvis etiam superinjice lustris.
Sin cedri baccas figlino vase vel olla
triveris, atque agiles humore perunxeris artus,
peucedanive comas gravis, aut silvestris olivo
cæsariem arentem libet intrivisse conyzæ,
aut quas pestiferi morsus fert salvia vindex,
detritam aut lima radicem laseris addas.
Sæpe etiam humanæ terrentur odore salivæ.
Sive oleo intusam, quæ roscida degit in hortis,
erucam viridi maculatam terga colore,
aut malvæ agrestis cymam caulesque tenellos
artubus obducas, duces sine vulnere noctem.
Et pilæ in gremio factæ de marmore binos
nobilis abrotoni frondentes intere ramos;
queis admisce obolum pendentia cardama, et una
quantum dextra capit, pertunde recentia dauci
semina pistillo, et formati rite per orbes
pastilli vento exposita siccentur in umbra :
hos in vase teras, mox obline membra liquatis.
E triviis captos, dum commiscentur amore,
si concluseris his olla angues cum speciebus,
disces, quo valeas medicamine tollere pestes :
his vero cervi, quam cingunt ossa, medullæ

δραχμέων τρίφατον δεκάδος καταβάλλεο βρῖθος,
ἐν δὲ τρίτην μοῖραν ῥοδέου χοὸς, ἦν γε θυωροὶ
πρώτην μεσσατίην τε πολύτριπτον καλέουσιν·
ἰσόμορον δ' ὠμοῖο χέειν ἀργῆτος ἐλαίου,
τετράμορον κηροῖο· τὰ δ' ἐν περιηγέϊ γάστρῃ
θάλπε κατασπέρχων, ἔστ' ἂν περὶ σάρκες ἀκάνθης
μελδόμεναι θρύπτωνται· ἔπειτα δὲ λάζεο τυκτὴν
εὐεργῆ λάκτιν, τὰ δὲ μυρία πάντα ταράσσειν
συμφύρδην ὀφίεσσιν· ἑκὰς δ' ἀπόερσον ἀκάνθας·
καὶ γὰρ ταῖς κακοεργὸς ὁμῶς ἐνιτέτροφεν ἰός·
γυῖα δὲ πάντα λίπαζε καὶ εἰς ὁδὸν, ἢ ἐπὶ κοῖτον,
ἢ ὅταν αὐαλέου θέρεος μεθ' ἁλώϊα ἔργα
ζωσάμενος θρίναξι βαθὺν διακρίνεαι ἄντλον.
Εἰ δέ που ἐν δακέεσσιν ἀφαρμάκτῳ χροὶ κύρσῃς
ἄκμηνος σίτων, ὅτε δὴ κακὸν ἄνδρας ἰάπτει,
αἶψά κεν ἡμετέρῃσιν ἐρωήσειας ἐφετμαῖς.
Τῶν ἤτοι θήλεια παλίγκοτος ἀντομένοισι,
δάγματι πλειοτέρη καὶ ὀλκαίην ἐπὶ σειρὴν·
τοὔνεκα καὶ θανάτοιο θοώτερος ἵξεται αἶσα.
Ἀλλ' ἤτοι θέρεος βλαβερὸν δάκος ἐξαλέασθαι,
Πληϊάδων φάσιας δεδοκημένος, αἵ θ' ὑπὸ ταύρου
ὀλκαίην ψαίρουσαι ὀλιζότεραι φορέονται·
ἢ ὅτε σὺν τέκνοισι θερειομένοισιν ἀβοσκὴς
φωλειοῦ λοχάδην ὑπὸ γωλεὰ δίψας ἰαύει·
ἢ ὅτε λίπτῃσι μεθ' ἑὸν νομὸν, ἢ ἐπὶ κοῖτον
ἐκ νομοῦ ὑπνώσουσα κίῃ κεκορημένη ὕλης,
μὴ σύ γ' ἐνὶ τριόδοισι τύχῃς, ὅτε δάγμα πεφυζὼς
περκνὸς ἔχις θύῃσι τυπὴν ψολόεντος ἐχίδνης·
ἡνίκα, θορνυμένου ἔχιος, θολερῷ κυνόδοντι
θουρὰς ὀδὰξ ἐμφῦσα κάρην ἀπέκοψεν ὀμεύνου·
οἱ δὲ πατρὸς λώβην μετεκίαθον αὐτίκα τυτθοὶ
γεινόμενοι ἐχιῆες, ἐπεὶ διὰ μητρὸς ἀραιὴν
γαστέρ' ἀναῤῥώσαντες ἀμήτορες ἐξεγένοντο·
οἵη γὰρ βαρύθει ὑπὸ κύματι· τοὶ δὲ καθ' ὕλην
ὠοτόκοι ὄφιες λεπυρὴν θάλπουσι γενέθλην.
Μηδ' ὅτε ῥικνῆεν φολίδων ἀπὸ γῆρας ἀμέρσας
ἀψ ἀναφοιτήσῃ νεαρῇ κεχαρημένος ἥβῃ·
ἢ ὁπότε σκαρθμοὺς ἑλάφων ὀχεῆσιν ἀλύξας·
ἀνδράσ' ἐνισκήψῃ χολόων θυμοφθόρον ἰόν·
ἔξοχα γὰρ δολιχοῖσι κινωπισταῖς κοτέουσι
νεβροτόκοι καὶ ζόρκες· ἀνιχνεύουσι δὲ πάντα
τρόχμαλά θ' αἱμασιάς τε καὶ εἰλυοὺς ἐρέοντες,
σμερδαλέῃ μυκτῆρος ἐπισπέρχοντες ἀϋτμῇ.
Ναὶ μὴν καὶ νιφόεσσα φέρει δυσπαίπαλος Ὄθρυς
φοινὰ δάκη, κοίλη τε φάραγξ καὶ τρηχέες ἀγμοὶ
καὶ λέπας ὑλῆεν, τόθι δίψιος ἐμβατέει σήψ.
Χροιὴν δ' ἀλλόφατόν τε καὶ οὐ μίαν οἰαδὸν ἴσχει,
αἰὲν ἐειδόμενος χώρῳ, ἵνα χηραμὰ τεύχει.
Τῶν οἱ μὲν λίθακάς τε καὶ ἔρμακας ἐνναίοντες
παυρότεροι, τρηχεῖς δὲ καὶ ἔμπυροι· οὐ μὲν ἐκείνων
ἀνδράσι δάγμα πέλοι μεταμώνιον, ἀλλὰ κακηθές.
Ἄλλος δ' αὖ κόχλοισι δομὴν ἐνδάλλεται αἴης·
ἄλλῳ δ' ἐγχλοάουσα λεπὶς περιμήκεα κύκλον
ποικίλον αἰόλλει· πολέες δ' ἀμάθοισι μιγέντες

haud veteris junges terdenas pondere drachmas,
congii et addatur rhodini pars tertia, primum
quem vocat et medium unguentarius et polytripton;
par pondus crudi purique accedat olivi,
et ceræ quadrans : hæc amplo vase coquantur
confusa, e spinis donec caro tabida circum
concussu exciderit facili : mox accipe factum
affabre cochlear, cumque ipsis anguibus una
cuncta teras, sed enim spinas auferre memento,
ingenitum his quoniam sidit crudele venenum.
Hoc, seu dormis iterve facis, circumline corpus,
seu post demessas fruges æstate calenti
succinctus furca segetum purgabis acervos.
Sin nullo occurras serpentibus unguine tutus
atque cibi vacuus, gravis est quum noxa ferarum,
vitabis morsus, animo hæc præcepta recondens.
Femina præcipiti ante omnes agitata furore
occurrit rictu patulo caudaque tumente :
inde ferit fati multo graviore periclo.
Et vitare feras debes æstate nocentes,
Pleiadum observans ortus, quæ corpore Tauri
extremo adfixæ non omnes æthera tranant;
aut ubi cum pullis per aprica jacentibus antra
dormit in insidiis sitiens impastaque serpens;
aut avida ad pastum properat, vel lumina somno
condens, a pastu petit exsaturata cubile.
Heu triviis absiste, metu dum vipera livens
effugit atroces furibundæ conjugis iras,
turgida dum secum coeunti mordicus hæret,
et dente impuro rescindit colla mariti.
At pœnas repetunt natæ pro cæde paterna
viperulæ ultrices, perque intestina parentis
rosa alvo emergunt in lucem matre carentes.
Sola etenim fetu gravida est, quum cetera in altis
ovipara excludant testacea pignora silvis.
Nec quum deposita squamis horrente senecta
progreditur lætus juvenili tergore serpens,
aut ubi cervorum vitans spiramina lustris
exsilit inque hominem vibrat letale venenum.
Nam valde longis labentes orbibus angues
oderunt capreæ et cervi; perque aspera saxa
vestigant, sepesque hirtas rimantur et antra,
et flatu exagitant naris, mirabile dictu.
Quin et serpentes atros nimbosus et asper
Othrys habet, vallesque cavæ abruptæque salebræ
et silvis juga densa, ubi seps sitibundus oberrat.
Qui cute diversa, nunquam unicolore, videtur
assimilis semper sedi, quam legit in arvis.
Rupibus et lapidum parvi stabulantur acervis,
asperi et ardentes, quorum haud impune viator
inmiti tulerit crudelia vulnera morsu.
Ille refert cochleas terrestres, ille virentes
indutus squamas immensa volumina torquet
atque sinus ducit varios, multorum ab arenis,

σπείρῃ λεπρύνονται ἐειδόμενοι ψαμάθοισι.
Φράζεο δ' αὐαλέῃσιν ἐπιφρικτὴν φολίδεσσιν
ἀσπίδα φοινήεσσαν, ἀμυδρότατον δάκος ἄλλων.
[Τῇ μὲν γάρ τε κέλευθος ὁμῶς κατ' ἐναντίον ἕρπει
ἀτραπὸν ὀλκαίην δολιχῷ μηρύγματι γαστρός.]
Ἦ καὶ σμερδαλέον μὲν ἔχει δέμας· ἐν δὲ κελεύθῳ
νωχελὲς ἐξ ὀλκοῖο φέρει βάρος· ὑπναλέοις δὲ
αἰὲν ἐπιλλίζουσα φαείνεται ἐνδυκὲς ὄσσοις.
Ἀλλ' ὅταν ἢ δοῦπον νέον οὔασιν ἠέ τιν' αὐγὴν
ἀθρήσῃ, νωθρὸν μὲν ἀπὸ ῥέθεος βάλεν ὕπνον,
ὀλκῷ δὲ τροχόεσσαν ἕλων εἱλίξατο γαίῃ,
σμερδαλέον δ' ἀνὰ μέσσα κάρη πεφρικὸς ἀείρει.
Τῆς ἤτοι μῆκος μὲν, ὃ κύντατον ἔτρεφεν αἶα,
ὀργυιῇ μετρητόν· ἀτὰρ περιβάλλεται εὖρος,
ὅσσον τ' αἰγανέης δορατοξόος ἥνυσε τέκτων
εἰς ἐνοπὴν ταύρων τε βαρυφθόγγων τε λεόντων.
Χροιὴ δ' ἄλλοτε μὲν ψαφαρὴ ἐπιδέδρομε νώτοις,
ἄλλοτε μηλινόεσσα καὶ αἰόλος, ἄλλοτε τεφρὴ,
πολλάκι δ' αἰθαλόεσσα μελαινομένῃ ὑπὸ βώλῳ
Αἰθιόπων, οἵην τε πολύστομος εἰς ἅλα Νεῖλος
πλησάμενος κατέχευεν ἄσιν, προὔτυψε δὲ πόντῳ.
Δοιοὶ δ' ἐν σκυνίοισιν ὑπερφαίνουσι μετώπου
οἷα τύλοι· τὸ δ' ἔνερθεν ὑπαιφοινίσσεται ὄθμα [χὴν
πολλὸν ὑπὸ σπείρης· ψαφαρὸς δ' ἀναπίμπραται αὐ-
ἄκριτα ποιφύσσοντος, ὅτ' ἀντομένοισιν ὀδίταις
ἴδα προσμάξηται, ἐπὶ ξαμενὲς κοτέουσα.
Τῆς ἤτοι πίσυρες κοῖλοι ὑπένερθεν ὀδόντες
ἀγκύλοι ἐν γναθμοῖς δολιχήρεες ἐρρίζωνται
ἰοδόκοι· μύχατος δὲ χιτὼν ὑμένεσσι καλύπτει·
ἔνθεν ἀμείλιχτον γυίοις ἐνερεύγεται ἰόν.
Ἐχθρῶν που τέρα κεῖνα καρήασιν ἐμπελάσειε·
σαρκὶ γὰρ οὔτε τι δάγμα φαείνεται, οὔτε δυσαλγὲς
οἶδος ἐπιφλέγεται· καμάτου δ' ἄτερ ὄλλυται ἀνήρ·
ὑπνηλὸν δ' ἐπὶ νῶκαρ ἄγει βιότοιο τελευτήν.
Ἰχνεύμων δ' ἅρα μοῦνος ἀκήριος ἀσπίδος ὁρμὴν,
ἠμὲν ὅτ' ἐς μόθον εἶσιν, ἀλεύεται, ἠδ' ὅτε λυγρὰ
θαλπούσης ὄφιος κηροτρόφου ὠεὰ γαίῃ
πάντα διεσκήνιψε, καὶ ἐξ ὁμένων ἐτίναξε
δαρδάπτων, ὁλοοῖς δὲ συνερβαθάγησεν ὀδοῦσι.
Μορφὴ δ' ἰχνεύταο κινωπέτου οἷον ἀμυδρῆς
ἴκτιδος, ἥ τ' ὄρνισι κατοικιδίῃσιν ὄλεθρον
μαίεται, ἐξ ὕπνοιο καθαρπάζουσα πετεύρων·
ἔνθα λέχος τεύχονται ἐπ' ἴκριον, ἢ καὶ ἀφαυρὰ
τέκνα τιθαιβώσσουσιν ὑπὸ πλευρῇσι θέρουσαι.
Ἀλλ' ὅταν Αἰγύπτοιο παρὰ θρυόεντας ἰάμνους
ἀσπίσι μῶλον ἄγῃσιν ἀθέσφατον εἰλικοέσσαις,
αὐτίχ' ὁ μὲν ποταμόνδε καθῆλατο, τύψε δὲ κώλοις
τάρταρον ἱλυόεσσαν, ἄφαρ δ' ἐφορύξατο γυῖα
πηλῷ, ἀλινδηθεὶς ὀλίγον δέμας, εἰσόκε λάχνην
Σείριος ἀζήνῃ, τεύξῃ δ' ἄγναμπτον ὀδόντι.
Τῆμος δ' ἠὲ κάρη λιχμήρεος ἐρπηστῆο
σμερδαλέης ἔβρυξεν ἐπάλμενος, ἠὲ καὶ οὐρῆς
ἁρπάξας βρυόεντος ἔσω ποταμοῖο κύλισσεν.
Εὖ δ' ἂν ἐχιδνήεσσαν ἴδοις πολυδερκέα μορφὴν,

queis permiscentur, squamæ traxere colorem.
Funestam et squamis arentibus aspida diram
observa, qua non monstrum est ignavius ullum.
[Illa viam recta repens insistit et alvum
longam adversa trahens directo tramite fertur.]
Terrificum visu corpus, quod tarda per ipsum
volvit iter tractu pigro, semperque putatur
nictans clausa gravi concedere lumina somno.
At simulac vocem vigilantibus auribus hausit,
aut lucem vidit, torpenti excussa veterno
contortum corpus sinuosum versat in orbem,
horridaque in medio dirum caput exerit alte.
Longa quidem est ulnæ spatio, quo pejus in ullis
haud videas natum terris, sed lata tumescit
quantum fabrili tornatum hastile dolabra
taurorum ad pugnam truculentorumque leonum.
Illa cute interdum obscura, cinerisve colore
fraxineove nitet, maculis quandoque notatur,
aut fuliginea est persæpe, simillima nigro
Æthiopum limo, vasto quem murmure Nilus
volvit et in pelagus septena per ostia fundit.
Huic summa veluti tubercula fronte gemella
a ciliis exstant, sinibusque rubentia subter
lumina conduntur; quum vero incanduit ira
et letum minitans venientibus obvia sævit,
squalida colla tument, et lato sibilat ore.
Quattuor illi intus dentes curvique cavique
et longi maxillæ altis radicibus hærent;
hi virus capiunt, tunica super undique tecti,
indomitum, quod et inde virûm jaculatur in artus.
Hostibus occurrant tam sæva pericula nostris.
Nulla cute inflicti vestigia vulneris, ardor
atque tumor nullus, sensusve in morte doloris,
membra gravi tantum pereunt torpentia somno.
Solus at Ichneumon innoxius aspidis ictus
declinat tantos, seu quum movet aspera bella,
seu quum, fatiferis dum partubus incubat anguis,
omnia dispergit per humum tunicisque soluta
devorat atque oris magno terit ova fragore.
Mustelæ hic parvæ, vero quam nomine dicunt
ictida, persimilis, quæ villæ in corte volucres
somno irretitas tabulata per ardua rimans,
dum recubant tepidoque fovent sub pectore pullos,
e nidis raptas scelerata fraude trucidat.
Ast ubi in Ægypti juncetis cum aspide pugnam
instaurat magnoque parat decernere bello,
se subito in fluvium saltu dedit et quatit artus
gurgite cænoso corpusque per atra volutum
conspurcat fœdatque luto, dum Sirius ardens
loricam faciat, quæ dentes perferat uncos.
Inde feræ caput erodit lambentis in imas
insiliens fauces, aut in muscosa fluenta
præcipitat cauda raptam mergitque sub undis
Tu modo vipeream speciem variasque figuras

ἄλλοτε μὲν δολιχὴν, ὅτε παυράδα· τοῖον ἀέξει
Εὐρώπη τ' Ἀσίη τε· τὰ δ' οὐκ ἐπιείκελα δήεις.
Ἤτοι ἀν' Εὐρώπην μὲν ὀλίζονα, καί θ' ὑπὲρ ἄκρους
ῥώθωνας κεραοί τε καὶ ἀργλιπες τελέθουσιν,
οἱ μὲν ὑπὸ Σκείρωνος ὄρη Παμμώνιά τ' αἶπη,
Ῥυπαῖον, Κόρακός τε πάγον, πολιόν τ' Ἀσέληνον.
Ἀσὶς δ' ὀργυιόεντα καὶ ἐς πλέον ἑρπετὰ βόσκει,
οἷά περ ἡ τρηχὺς Βουκάρτερος, ἠ καὶ ἐρυμνὸς
Αἰσαγέης πρηὼν, καὶ Κέρκαφος ἐντὸς ἐέργει.
Τῶν ἤτοι βρεχμοὶ μὲν ἐπὶ πλάτος, ἡ δ' ὑπὲρ ἄκρον
ὀλκαῖον σπείρη κολοβὴν ἐπελίσσεται οὐρὴν,
ἀργαλέαις φρίσσουσαν ἐπηετανὸν φολίδεσσι.
Νωθεῖ δ' ἔνθα καὶ ἔνθα διὰ δρυμὰ νίσσεται ὀλκῷ.
Πᾶς δέ τοι ὀξυκάρηνος ἰδεῖν ἔχις, ἄλλοτε μῆκος
μάσσων, ἄλλοτε παῦρος· ἀκιδνότερος δὲ κατ' εὖρος
νηδύος· ἡ δὲ μύουρος ὑφ' ὀλκαίη τετάνυσται,
ἴσως μὲν πεδανὴ δολιχοῦ ὑπὸ πείρασιν ὀλκοῦ,
ἴσως δ' ἐκ φολίδων τετριμμένη· αὐτὰρ ἐνωπῆς
γλήνεα φοινίσσει τεθοωμένος· ὀξὺ δὲ δικρῆ
γλώσσῃ λιχμάζων νεάτην σκωλύπτεται οὐρήν.
[Κωκυτὸν δ' ἐχιναῖον ἐπικλείουσιν ὀδῖται.]
Τοῦ μὲν ὑπὲρ κυνόδοντε δύω χροΐ τεκμαίρονται
ἰὸν ἐρευγόμενοι· πλέονες δέ τοι αἰὲν ἐχίδνης.
Οὐλῳ γὰρ στομίῳ ἐμφύεται· ἀμφὶ δὲ σαρκὶ
ῥεῖά κεν εὐρυνθέντας ἐπιφράσσαιο χαλινούς.
Τῆς καὶ ἀπὸ πληγῆς φέρεται λίπει ἴκελος ἰχὼρ,
ἄλλοτε δ' αἱματόεις, ποτὲ δ' ἄχροος· ἡ δ' ἐπί οἱ σὰρξ
πολλάκι μὲν χλοάουσα βαρεῖ ἀναδέδρομεν οἴδει,
ἄλλοτε φοινίσσουσα, τότ' εἴδεται ἄντα πελιδνή·
ἄλλοτε δ' ὑδατόεν κυέει βάρος· αἱ δὲ θαμειαὶ,
πομφόλυγες τὼς, ἔν γε πυρὶ φλύκταιναι ἀραιαὶ
οἷα πυρικμήτοιο χροὸς πλαδόωσιν ὕπερθεν.
Σηπεδόνες δέ οἱ ἀμφὶς ἐπίδρομοι, αἱ μὲν ἔνερθεν,
Αἱ δὲ κατὰ πληγὴν ἰωδέα λοιγὸν ἰεῖσαι.
Πᾶν δ' ἐπί οἱ δριμεῖα δέμας καταδόσκεται ἄτη
ὀξέα πυρπολέουσα· κατ' ἀσφάραγον δέ τε λυγμοὶ
κίονά τε ξυνιόντες ἐπασσύτεροι κλονέουσιν.
Ἀμφὶ καὶ ἰλίγγοις δέμας ἄχθεται· αἶψα δὲ γυίοις
ἀδρανίη βαρύθουσα καὶ ἰξύϊ μέρμερος ἵζει·
ἐν δὲ κάρῃ σκοτόεν βάρος ἵσταται· αὐτὰρ ὁ κάμνων
ἄλλοτε μὲν δίψῃ φάρυγα ξηραίνεται αὖον·
πολλάκι δ' ἐξ ὀνύχων ἴσχει κρύος· ἀμφὶ δὲ γυίοις
χειμερίη ζαλόωσα πέριξ βέβριθε χάλαζα.
Πολλάκι δ' αὖ χαλόεντας ἀπήρυγε νηδύος ὄγκους
ὠχραίνων δέμας ἀμφίς· ὁ δ' αὖ νοτέων περὶ γυίοις
ψυχρότερος νιφετοῖο βολῆς περιχεύεται ἰδρώς.
Χροιὴν δ' ἄλλοτε μὲν μολίβου ζοφοειδέος ἴσχει,
ἄλλοτε δ' ἠερόεντα, τότ' ἄνθεσιν εἴσατο χαλκοῦ.
Εὖ δ' ἂν καὶ δολόεντα μάθοις ἐπιόντα κεράστην,
ἠΰτ' ἔχιν· τῷ γάρ τε δομὴν ἐνδάλλεται ἴσην·
ἤτοι ὁ μὲν κόλος ἐστίν· ὁ δ' αὖ κεράεσσι πεποιθὼς,
ἄλλοτε μὲν πισύρεσσι, τότ' ἐν δοιοῖσι κεράστης.
Χροιῇ δ' ἐν ψαφαρῇ λεπρύνεται· ἐν δ' ἀμάθοισιν
ἢ καὶ ἁματροχιῇσι παρὰ στίβον ἐνδυκὲς αὔει.

adspice, longa illa est, brevis hæc, discrimine tanto
fert Asia atque Europa, paresque haud videris usquam.
Namque per Europam curtæ, queis tubera summis
naribus exsistunt, albæque et cornua gestant:
hæc Scironia saxa colunt Pammoniaque alta,
Rhypæum, Coracisque pagum canumque Aselenum.
Ast Asia unam aut plus surgentes pascit in ulnam,
quales saxosum Bucarteron Æsageesque
culmina celsa tenent, et Cercaphus educat ingens
Latior est harum vertex, tractuque supremo
corporis exiguæ non longa volumina caudæ,
squamarum serie assidua nexuque rigentis,
et piger incessus dumeta per hirta vagantum.
At mas hic longus, brevis ille, sed omnis acuto
vertice conspicuus, gracilique adstrictior alvo;
cauda quoque in nodos sensim tenuata minores
porrigitur, longo pendens de corpore parva
squamisque attritis; quod si furor aggerat iras,
lumina rubra micant, et linguis ora bisulcis
lambens extremum caudæ finem asperat imæ.
Vipereum proprio Cocytum nomine dicunt.
Huic gemini apparent dentes in carne venenum
fundentes; verubus sed femina pluribus atrox.
Ore etenim toto mordens illa hæret, et icta
in cute gingivæ lato signantur hiatu.
Pingui inde haud dispar sanies emanat olivo,
sanguinea interdum vel pallida, tum caro sese
attollens viridi rubrove infecta colore,
aut livente, gravem dat magna mole tumorem;
hic modo turget aqua plenus, bullæque frequentes,
quales ignis edax ambusto in corpore tollit,
erumpunt sparsim fœdoque humore redundant.
Putria mox plagam circumstant ulcera et ipsam
depascunt, sanie tetroque fluentia tabo.
Flagrat et ardenti corpus consumitur igni,
et denso crebri singultus agmine guttur
concutiunt sonitusque cient per colla ruentes.
Membra rotant cæca vertigine, robore nullo
stant lumbi, magnoque artus languore fatiscunt,
caligat premiturque caput gravitate, sitisque
interdum fauces arentes aspera torret,
sæpe rigent ungues, atque æger corpore toto
horrescit, gelido ceu grandinis obrutus imbre.
Sæpe etiam in stomacho collectos bilis acervos
pallidus ore vomit, sudor fluit undique vivis
frigidior nivibus, quas cœli nubila fundunt.
Nigricat ipsa cutis, plumbi modo fusca colore,
cærulea interdum est, æriſve simillima flori.
Nunc facile agnoscas instructum fraude cerastem:
viperea hic forma est et imagine cretus eadem;
sed tamen hæc mutila est, is fretus sæpe quaternis
cornibus, aut binis, atque hoc discrimine notus.
Albescit squalore color, sulcisque rotarum
conditus ipse viæ medias jacet inter arenas.

Τῶν ἤτοι σπείρῃσιν ὁ μὲν θοὸς ἀντία θύνει
ἀτραπὸν ἰθεῖαν δολιχῷ μηρύγματι γαστρός·
αὐτὰρ ὅγε σκαιὸς μεσάτῳ ἐπαλίνδεται ὀλκῷ,
οἷμον ὁδοιπλανέων σκολιὴν τετρηχότι νώτῳ,
τράμπιος ὁλκαίης καμάτῳ ἴσος, ἥ τε δι' ἅλμης
πλευρὸν ὅλον βάπτουσα, κακοσταθέοντος ἀήτεω,
εἰς ἄνεμον βεβίηται ἀπόκρουστος λιβὸς οὔρῳ.
Τοῦ μὲν, ὅταν βρύξῃσιν, ἀειρέλιον περὶ νύγμα,
ἥλῳ ἐειδόμενον, τυλόεν πέλει· αἱ δὲ πελιδναὶ
φλύκταιναι, πέμφιξιν ἐειδόμεναι ὑετοῖο,
δάγμα πέρι πλάζονται, ἀμυδρήεσσαι ἐσωπήν.
Ἧτοι ἀφαυρότερον τελέει πόνον· ἐννέα δ' αὐγὰς
ἠελίου μογέων ἐπιόσσεται, ᾧ γε κεράστης
οὐλόμενος, κακοεργὸν ἐνιχραύσῃ κυνόδοντα.
Διπλοῖς δ' ἐν βουβῶσι καὶ ἰγνύσιν ἀσκελὲς αὖτως
μόχθος ἐνιστρέφεται· πελιὸς δέ οἱ ἐμφέρεται χρώς·
τῶν δέ τε καμνόντων ὀλίγος περὶ ἄψεα θυμὸς
λείπεται ἐκ καμάτοιο· μόγις γε μὲν ἔκφυγον αἶσαν.
Σῆμα δέ τοι δάκεος αἱμορρόου αὐτίχ' ἑνίσπω,
ὅς τε κατ' εἰλυθμοὺς πετρώδεας ἐνδυκὲς αὔει,
τρηχὺν ὑπ' ἄρπεζαν θαλάμην ὀλιγήρεα τεύχων·
ἔνθ' εἰλυθμὸν ἔχεσκεν, ἐπεί τ' ἐκορέσσατο φορβῆς.
Μήκει μὲν ποδὸς ἶχνος ἰσάζεται, αὐτὰρ ἐπ' εὖρος
τέτριπται μείουρος ἀπὸ φλογέοιο καρήνου·
ἄλλοτε μὲν χροιῇ ψολόεις, ὁτὲ δ' ἔμπαλιν αἰθός.
Δειρὴν δ' ἐσφήκωται ἅλις· πεδανὴ δέ οἱ οὐρὴ
ζαχρειὲς θλιφθεῖσα κατομφάλιος τετάνυσται.
Τοῦ μὲν ὑπὲρ νιφόεντα κεράατα δοιὰ μετώπῳ
ἔγκειται, πάρνοψι φάη λογάδας τε προσεικής·
σμερδαλέον δ' ἐπί οἱ λαμυρὸν πέφρικε κάρηνον.
Δοχμὰ δ' ἐπισκάζων ὀλίγον δέμας οἷα κεράστης
μέσσου ὄγ' ἐκ νώτου βαιὸν πλόον αἰὲν ὀκέλλει,
γαίῃ ὑποθλίβων νηδύν· φολίσιν δὲ καὶ οἴμῳ
παῦρον ὑποψοφέων καλάμης χύσιν οἷα διέρπει.
Νύγματι δ' ἀρχομένῳ μὲν ἐπιτρέχει ἄχροον οἶδος
κυάνεον· κραδίην δὲ κακὸν περιτέτροφεν ἄλγος·
γαστὴρ δ' ὑδατόεσσα διέσσυτο· νυκτὶ δὲ πρώτῃ
αἷμα διὲκ ῥινῶν τε καὶ αὐχένος ἠδὲ καὶ ὤτων
πιδύεται, χολόεντι νέον πεφορυγμένον ἰῷ·
οὖρα δὲ φοινίσσοντα κατέδραμεν· αἱ δ' ὑπὸ γυίοις
ὠτειλαὶ ῥήγνυνται, ἐπειγόμεναι χροὸς ἄζῃ.
Μή ποτέ τοι θήλει' αἱμορρόϊς ἰὸν ἐνείῃ·
τῆς γὰρ ὀδαξαμένης, τὰ μὲν ἀθρόα πίμπραται οὖλα,
ῥιζόθεν ἐξ ὀνύχων δὲ κατείβεται ἀσταγὲς αἷμα·
οἱ δὲ φόνῳ μυδόωντες ἀναπλείουσιν ὀδόντες.
Εἴ γ' ἔτυμον, Τροίηθεν ἰοῦσ' ἐχαλέψατο φύλοις
αἶν' Ἑλένη, ὅτε νῆα πολύστροιδον περὶ Νεῖλον
ἔστησαν, βορέαο κακὴν προφυγόντες ὁμοκλήν·
ἦμος ἀναψύχοντα κυβερνητῆρα Κάνωβον
Θώνιος ἐν ψαμάθοις ἀθρήσατο· τύψε γὰρ αὐτὸν
αὐχέν' ἀποθλιφθεῖσα, καὶ ἐν βαρὺν ἤρυγεν ἰὸν
αἱμοροΐς θήλεια, κακὸν δέ οἱ ἔχραε κοῖτον. [κάνθης
Τῶν δ' Ἑλένη μέσον ὀλκὸν ἐνέκλασε, θραῦσε δ' ἀ-

Quumque adversa trahens ingentes vipera gyros
et recta, pariter librato corpore, serpat,
ille viam, dorso et squamis crepitantibus, asper
oblique ingreditur, recto de tramite cedens:
haud secus ac navis, rapido quæ flamine venti
in latus inclinans demersaque pæne sub undis,
in ventos agitur flatuque repellitur Euri.
Si dentem impressit, mox vulnere durus in ipso
clavi instar callus, tum plurima pustula circum
livescit, fugiens obscuro lumina visu,
par levibus bullis pluvio nascentibus imbre.
Nec tamen excruciat magni vis ulla doloris,
sed superat, nono dum sol radiaverit ortu,
impegit diro cui vulnera dente cerastes.
Insidet inguinibus geminis et vexat acerbus
genua labor, propriumque cutis livente colorem
mutat, et ærumnis tandem compage soluta
deficiens animo vix se miser eripit Orco.
Jam quibus agnoscas hæmorrhoon accipe signa:
ille sibi sedem saxosis semper in antris
figit et exiguo stratus duroque cubili,
e pastu campis rediens satur, otia ducit.
Æqualis mensura pedi est, et in arcta reductum
sensim a flammato tenuatur vertice corpus;
splendidus interdum color est, contrave perustus.
stringitur angusto collo, compressaque cauda
sparsa solo media multum gracilescit ab alvo.
Cornua bina gerit sublini candida fronte,
lucentes similis orbes oculosque locustæ;
terrificum squamisque rigens caput horret, et ipse
exiguum corpus curvi de more cerastæ
obliquans, medio dorso breve promovet agmen,
ventre solum radens, squamisque sonorus in ipso
dat strepitum exilem gressu, ceu stramina calcans.
Protinus incusso caro vulnere fœda colorem
cæruleum ducit, dolor est in corde, citatur
præliquidus venter, primaque in nocte per aures,
per colla et nares virosa bile remistus
sanguineus scaturit rivisque effunditur humor.
Inde urina rubet, per corpus denique totum
ulcera rupta patent, et agit cutis arida rimas.
Sed cave ne membris hæmorrhois aspera virus
affundat morsu: totis furit ignea labes
gingivis, ungues summa ab radice cruorem
stillant, labuntur rorantes sanguine dentes.
Huic Helene, Troja, si vera est fama, revertens,
quum pelago classem rapidis Aquilonibus actam
vix tandem undosi Nili statuisset in oris,
nauarchi interitu graviter succensa Canobi,
quem mox ut fessas revocantem in littore vires
Thonius adspexit, pressus cervice, venenum
artubus adspersit, duro stravitque cubili,
abrupit medium corpus, connexaque dorsi

δεσμὰ πέριξ νωταῖα, ῥάχις δ' ἐξέδραμε γυίων.
Ἐξ ὅθεν αἱμορόοι σκολιοπλανέες τε κεράσται
οἷοι χωλεύουσι κακηπελίῃ βαρύθοντες.
Εὖ δ' ἂν σηπεδόνος γνοίης δέμας· ἀλλ' ὁ μὲν εἶδει
αἱμορόῳ σύμμορφος, ἀτὰρ στίβον ἀντί' ὀκέλλει,
καὶ κεράων ἔμπλην δέμας ἄμμορον· ἡ δέ νυ χροιὴ
οἵηπερ δάπιδος λασίῳ ἐπιδέδρομε τέρφει·
κράατι δ' ἐμβαρύθει· ἑλάχεια δὲ φαίνεται οὐρὴ
ἐσσυμένης· σκολιὴν γὰρ ὁμῶς ἐπιτείνεται ἄκρην.
Τῆς δ' ἤτοι ὁλοὸν καὶ ἐπώδυνον ἕπλετο ἕλκος
σηπεδόνος· νέμεται δὲ μέλας ὁλοφώϊος ἰὸς
πᾶν δέμας· αὐαλέῃ δὲ περὶ χροΐ καρφομένη θρὶξ
σκίδναται, ὡς γήρεια καταψηχθέντος ἀκάνθης·
ἐκ μὲν γὰρ κεφαλῆς τε καὶ ὀφρύος ἀνδρὶ τυπέντι
ῥαίονται, βλεφάρων δὲ μέλαιν' ἐξέφθιτο λάχνη·
ἄψεα δὲ τροχόεντες ἐπιστίζουσι μὲν ἀλφοί,
λεῦκαι δ' ἀργινόεσσαν ἐπισσεύονται ἔφηλιν.
Ναὶ μὴν δυψάδος εἶδος ὁμώσεται αἰὲν ἐχίδνῃ
παυροτέρης, θανάτου δὲ θοώτερος ἕξεται αἶσα,
οἷσιν ἐνιχρίμψῃ βλοσυρὸν δάκος· ἤτοι ἀραιὴ
αἰὲν ὑποζοφόωσα μελαίνεται ἄκροθεν οὐρή· [καύσῳ
δάγματι δ' ἐμφλέγεται κραδίη πρόπαν· ἀμφὶ δὲ
χεῖλη ὑπ' ἀζαλέης αὐαίνεται ἄῤῥοχα δίψης·
αὐτὰρ ὅγ' ἠΰτε ταῦρος ὑπὲρ ποταμοῖο νενευκὼς,
χανδὸν ἀμέτρητον δέχεται ποτὸν, εἰσόκε νηδὺς
ὀμφαλὸν ἐκρήξειε, χέοι δ' ὑπεραχθέα φόρτον.
Ὠγύγιος δ' ἄρα μῦθος ἐν αἰζηοῖσι φορεῖται,
ὡς ὁπότ' οὐρανὸν ἔσχε Κρόνου πρεσβίστατον αἶμα
νειμάμενος κασίεσσιν ἑκὰς περικυδέας ἀρχὰς
ἰδμοσύνῃ, νεότητα γέρας πόρεν ἡμερίοισι
κυδαίνων· δὴ γάρ ῥα πυρὸς λῃΐστορ' ἔνιπτον
ἄφρονες· οὐ μὲν τῆς γε κακοφραδίης ἀπόναντο.
Νωθεῖ γὰρ κάμνοντες ἀμορβεύοντο λεπάργῳ
δῶρα· πολύσκαρθμος δὲ κεκαυμένος αὐχένα δίψῃ
ῥώετο· φωλειοῖσι δ' ἰδὼν ὁλκήρεα θῆρα
οὐλοὸν, ἑλλιτάνευε κακῇ ἐπαλαλκέμεν ἄτῃ
σαίνων· αὐτὰρ ὁ βρῖθος, ᾧ δή ῥ' ἀνεδέξατο νώτοις,
ἧτεεν ἄφρονα δῶρον· ὁ δ' οὐκ ἀπανήνατο χρειοῖ.
Ἐξότε γηραλέον μὲν ἀπὸ φλόον ἕρπετὰ βάλλει
ὁλκήρη, θνητοὺς δὲ κακὸν περὶ γῆρας ὀπάζει·
νοῦσον δ' ἀργαλέην βρωμήτορος οὐλομένη θλῆρ
δέξατο καί τε τυπῇσιν ἀμυδροτέρῃσιν ἰάπτει.
Νῦν δ' ἄγε χερσύδροιο καὶ ἀσπίδος εἶρεο μορφὰς
ἰσαίας· πληγῇ δὲ κακήθεα σήματ' ὁμαρτεῖ·
πᾶσα γὰρ αὐαλέη ῥινὸς περὶ σάρκα μυσαχθῇ
νειόθι πιτναμένη μυδέον τεκμήρατο νύγμα,
σηπεδόσι φλιδόωσα· τὰ δ' ἄλγεα φῶτα δαμάζει·
μυρία πυρπολέοντα· θοῶς δ' ἐπὶ γυῖα χέονται
πρηδόνες, ἄλλοθεν ἄλλαι ἐπημοιβοὶ κλονέουσαι.
Ὅς δ' ἤτοι τὸ πρὶν μὲν ἐπὶ βροχθώδεῖ λίμνῃ
ἄσπειστον βατράχοισι φέρει κότον· ἀλλ' ὅταν ὕδωρ
Σείριος ἀζήνῃσι, τρύγῃ δ' ἐνὶ πυθμένι λίμνης,
καὶ τόθ' ὅγ' ἐν χέρσῳ τελέθει ψαφαρός τε καὶ ἄχρους,
θέλπων ἠελίῳ βλοσυρὸν δέμας· ἐν δὲ κελεύθοις

vertibula et spinæ nodos et vincla resolvit.
Ex illo hæmorrhi elumbes tortique cerastæ
ceu claudi incedunt, pœnas pro fraude luentes.
Nunc tibi sepedonos clare notescet imago:
hic forma hæmorrho similis, sed corpore gressum
dirigit adverso, frons nullo turgida cornu,
et cutis in morem villosi picta tapetis;
mole caput magnum, sed cauda apparet euntis
exigua, in multos quod flexam torqueat orbes.
Letifer huic morsus plenusque doloris acerbi,
et corpus totum labes inimica veneni
pascitur, et sicca pilus e cute decidit omnis,
(ita leves trito pappi labuntur acantho,)
namque superciliis et glabro vertice crines,
palpebrisque fluunt accepto vulnere villi;
articulos teretes vitiligo signat, et albam
artubus inducit leuce deformis ephelin.
At vero dipsas sub viperæ imagine nota
parva quidem, sed quem rabido violaverit ore,
fata cito eripiunt, et cauda adstrictior atrum
induit extremis nodis obscura colorem.
Cor totum a morsu flamma æstuat, arida causo
uruntur nulloque madent humore labella;
ipse autem e fluvio magno ceu taurus hiatu
pronus aquas potat, dum rupto abdomine venter
dissiliat, pondusque solo profundat iniquum.
Prisca inter juvenes narratur fabula, cœlum
quum major natu pulso genitore teneret
Juppiter et fratres regnorum in parte locasset,
munere magnifico viridis donasse juventæ
mortales, jam tum damnantes furta Promethei,
nec tamen hoc umquam stolidos potuisse potiri.
Imposuere gravi tam præstans munus asello
defessi, ille sitim sicco, dum vadit onustus,
gutture collegit, stantemque ad lustra ferocem
anguem oravit, opem quo rebus ferret egenis,
quumque hic mercedem pandi gestamina dorsi
posceret, oppressus casu non abnuit amens.
Inde feri senium serpentes pubere tergo
commutant, hominesque premit grandæva senectus,
et tristem ex illo morbum rabiemque rudentis
traxerunt diroque truces dant vulnera dente.
Nunc age chersydrum discas, cui forma tremendæ
aspidis et morsus atrocia signa maligni:
sicca cutis tætrum redolens distentaque ab imo
et rimis, putri concepto humore, dehiscens
virosos prodit morsus, miserumque dolores
igniti absumunt hominem, subitæque vagantur
et toto alternis discurrunt corpore flammæ.
Ille colens primum liquentia stagna, perenni
exercet ranas odio, sed Sirius omnem
ut bibit humorem, superestque in gurgite limus,
exsilit in siccum squalensque et decolor artus
sole fovet tætros, et linguis sibila vibrat

γλώσσῃ ποιφύγδην νέμεται διψήρεας ὄγμους.
Τὸν δὲ μέτ' ἀμφίσβαιναν ὀλίζονα καὶ μινύθουσαν
δήεις ἀμφικάρηνον, ἀεὶ γλήναισιν ἀμυδρήν·
ἀμβλὺ γὰρ ἀμφοτέρωθεν ἐπιπρονένευκε γένειον
νόσφιν ἀπ' ἀλλήλων· χροιή γε μὲν ἠΰτε γαίης,
ῥωμαλέον φορέουσα περιστιγὲς αἰόλον ἔρφος.
Τὴν μέν, ὅθ' ἁδρύνηται, ὀροιτύποι, οἷα βατῆρα
κόψαντες ῥάδικα πολυστεφέος κοτίνοιο,
δέρματος ἐσκύλευσαν, ὅτε πρώτιστα πέφανται,
πρόσθε βοῆς κόκκυγος ἑαρτέρου· ἡ δ' ὀνίνησι
ῥινῷ δυσπαθέοντας, ὅτ' ἐν παλάμῃσιν ἀεργοῖς
μάλκαι ἐπιπροθέωσιν ὑπὸ κρυμοῖο δαμέντων,
ἠδ' ὁπόταν νεύρων ξανάᾳ κεχαλασμένα δεσμά.
Δήεις καὶ σκυτάλην ἐναλίγκιον ἀμφισβαίνῃ
εἶδος, ἀτὰρ πάχετόν τε καὶ οὐτιδανὴν ἐπὶ σειρὴν
πάσσον'. ἐπεὶ σκυτάλης μὲν ὅσον σμινύοιο τέτυκται
στειλειῆς πάχετος, τῆς δ' ἕλμινθος πέλει ὄγκος,
ἠὲ καὶ ἔντερα γῆς οἷα τρέφει ὄμβριμος αἶα.
Οὐ γὰρ, ὅταν χαράδρεια λίπῃ καὶ ῥωγάδα πέτρην
ἦρος ἀεξομένου, ὁπόθ' ἕρπετὰ γαῖα φαείνει,
ἀκρέμονος μαράθοιο χυτὸν περιβόσκεται ἔρνος,
εὖτ' ἂν ὑπ' ἠελίοιο περὶ φλόον ἅψεα βάλλῃ,
ἀλλ' ἥγ' ἁρπέζαις τε καὶ ἐν νεμέεσσι πεσοῦσα
φωλείει βαθύϋπνος, ἀπ' εἰκαίης δὲ βοτεῖται
γαίης, οὐδ' ἀπὸ δίψος ἀλέξεται ἱεμένη περ. [ἄλλων
Τεκμαίρου δ' ὀλίγον μέν, ἀτὰρ προφερέστατον
ἑρπηστῶν βασιλῆα· τὸ μὲν δέμας ὀξυκάρηνος,
ξανθὸς, ἐπὶ τρία δῶρα φέρων μῆκός τε καὶ ἰθύν.
Οὐκ ἄρα δὴ κείνου σπειραχθέα κνώδαλα γαίης
ἴϋγλην μίμνουσιν, ὅτ' ἐς νομὸν ἠὲ καὶ ὕλην,
ἠὲ καὶ ἀρδηθμοῖο μεσημβρινὸν ἀΐξαντες
μείρονται· φύζῃ δὲ παλιντροπέες φορέονται.
Τύμματι δ' ἐπρήσθη φωτὸς δέμας· αἱ δ' ἀπὸ γυίων
σάρκες ἀποῤῥεῖουσι πελιδναί τε ζοφεραί τε·
οὐδέ τις οὐδ' οἰωνὸς ὑπὲρ νέκυν ἴχνια τείνας,
αἰγυπιοὶ γῦπές τε κόραξ τ' ὀμβρήρεα κρώζων,
οὐδὲ μὲν ὅσσα τε φῦλ' ὀνομάζεται οὔρεσι θηρῶν
δαίνυνται· τοῖόν περ ἀϋτμένα δεινὸν ἐφείη.
Εἰ δ' ὁλοὴ βούβρωστις ἀϊδρείῃφι πελάσσῃ,
αὐτοῦ οἱ θάνατός τε καὶ ὠκέα μοῖρα τέτυκται.
Κῆρα δέ τοι δρυίναο πιφαύσκεο, τόν τε χέλυδρον
ἑξέτεροι καλέουσιν· ὁ δ' ἐν δρυσὶν οἰκία τεύξας
ἢ ὅγε που φηγοῖσιν, ὀρεσκεύει περὶ βήσσας.
Ὕδρον μιν καλέουσι, μετεξέτεροι δὲ χέλυδρον·
ὅστε βρύα προλιπὼν καὶ ἕλος καὶ δμήθεα λίμνην,
ἀγρώσσων λειμῶσι μολουρίδας ἢ βατραχῖδας,
σπέρχεται ἐκ μύωπος ἀήθεα δέγμενος ὁρμήν.
Ἔνθα κατὰ πρέμνον κοίλης ὑπεδύσατο φηγοῦ
ὀξὺς ἁλεὶς, κοῖτον δὲ βαθεῖ ἐνεδείματο θάμνῳ·
αἰθαλόεις μὲν νῶτα, κάρη γε μὲν ἁρπεδὲς αὖτως
ὕδρῳ ἐϊσκόμενος· τὸ δ' ἀπὸ χροὸς ἐχθρὸν ἄηται,
οἷον ὅτε πλαδόωντα περὶ σκύλα καὶ δέρη ἵππων
γναμπτόμενοι μυδόωσιν ὑπ' ἀρβήλοισι λάθαργοι.
Ἦτοι ὅτ' ἐν κώληπος ἢ ἐν ποδὸς ἴχνεϊ τύψῃ,

perque vias sulcos depascitur ille rotarum.
Hunc caput in geminum vergentem corpore parvo
nosce amphisbænam, cui languent luminis orbes,
protensis utrinque genis spatioque relicto
disjunctis, hebetes; illam cutis æmula terræ
et robusta tegit variisque interlita guttis.
Hanc, ubi speluncis primum processit, adultam
lignator rapiens, ramo silvestris olivæ
exciso, nondum verno clamante cuculo,
tergore direpto spoliat; sic pluribus illa
pelle sua prodest, Boreæ quum flamine segnes
obriguere manus et victæ frigore torpent,
aut laxa molles nervi compage laborant.
Forma amphisbænæ scytalen spectabis eandem,
ongior est tamen et tumet illa crassior ante
exilem caudam; capulis par namque ligonum
est scytale, illa autem lumbrici mole rotundi,
atque intestini, quod terra erumpit ab alma.
Vere novo campis quum serpens exit apertis
et rupes linquens caveasque per arva vagatur,
non hæc florentis carpit virgulta marathri
exuviis puber positis, renitensque juventa,
sed per convalles densisque in saltibus alto
vincta latet somno, tellus ibi pabula large
sufficit, unda siti non quæritur ulla levandæ.
Contemplator item exiguum, sed robore cunctis
præstantem regem, cui vertice corpus acuto
atque color rutilus, mensura modusque tripalmis.
Non quisquam illius terrentia sibila serpens
pertulerit, cunctos late seu prata capessunt,
sive sitim medio properant compescere sole,
summovet atque fugæ cogit dare terga timentes.
In membra a morsu flammæ grassantur, et atræ
liventesque fluunt putri de corpore carnes;
non aquila aut vultur, non quæ nigra crocitat ales
nuncia venturæ pluviæ, non turba ferarum
cetera per silvas, ausit gustare cadaver,
quod semel insultans impuro adflaverit ore.
Sin vesana fames ignaram huc vertere morsus
compulerit, subita certaque in morte tenetur.
Iam dryinæ ausculta pestes, qui sæpe cavatis
roboris in truncis rimosa cubilia ponit
aut latitat veteris suffosso cortice fagi.
Hydrum alii hunc vocitant, alii dixere chelydrum.
Ipse lacus postquam solitos algasque palustres
liquit, et in pratis ranas volucresque locustas
venatur, rapidi mucrone petitus asili
effugit, et præceps veloci fagina saltu
antra subit truncique cava se condit in alvo.
Illi nigra cutis vertexque simillimus hydro,
et pariter latus; tætrum sed corpus odorem
non aliter spirat, quam qui nascuntur equorum
tergore de putri vermes, scalproque secantur.
Si talum aut summæ pressit vestigia calcis,

χρωτὸς ἀπὸ πνιγόεσσα κεδαιομένη φέρετ' ὀδμή·
Τοῦ δή τοι περὶ τύμμα μέλαν κορθύεται οἶδος·
ἐν δὲ νόον πεδόωσιν ἀλυσθαίνοντος ἀνίαι
ἐχθόμεναι· χροιὴ δὲ μόγῳ αὐαίνεται ἀνδρός
ῥινοὶ δὲ πλαδόωσιν ἐπὶ χροΐ· τοῖά μιν ἰὸς
ὀξὺς ἀεὶ νεμέθων ἐπιβόσκεται· ἀμφὶ καὶ ἀχλὺς
ὄσσε καταχρύπτουσα κακοσταθέοντα δαμάζει·
οἵ δέ τε μυκάουσι περιπνιγέες τε πέλονται·
οὖρα δ' ἀπέστυπται· τοτὲ δ' ἔμπαλιν ὑπνώοντες
ῥέγκουσιν, λυγμοῖσι βαρυνόμενοι θαμέεσσιν,
ἢ ἀπερευγόμενοι ἔμετον χολοειδέα δειρῆς,
ἄλλοτε δ' αἱματόεντα· κακὴ δ' ἐπιδίψιος ἄτη
ἐσχατιῇ μογέουσι τρόμον κατεχεύατο γυίοις.
Φράζεο δὲ χλοάοντα δαεὶς κύανόν τε δράκοντα,
ὅν ποτε Παιήων λασίῃ ἐνέθρεψατο φηγῷ
Πηλίῳ ἐν νιφόεντι Πελεθρόνιον κατὰ βῆσσαν.
Ἤτοι ὅγ' ἄγλαυλος μὲν ἐείδεται, ἐν δὲ γενείῳ
τρίστοιχοι ἑκάτερθε περιστιχόωσιν ὀδόντες·
πίονα δ' ἐν σκυνίοισιν ὑπ' ὀθματα· νέρθε δὲ πώγων
αἰὲν ὑπ' ἀνθερεῶνι χολοίβαφος· οὐ μὲν ὅγ' αὖτως
ἐγχρίμψας ἤλγυνε, καὶ ἢν ἔκπαγλα χαλεφθῇ·
βληχρὸν γὰρ μυὸς οἷα μυχηθόρου ἐν χροΐ νύγμα
εἴδεται αἱμαχθέντος ὑπὸ κραντῆρος ἀραιοῦ.
Τῷ μέν τ' ἔκπαγλον κοτέων βασιλήϊος ὄρνις
αἰετὸς ἐκ παλαχῆς ἐπαέξεται, ἀντία δ' ἐχθρὴν
δῆριν ἄγει γενύεσσιν, ὅταν βλώσκοντα καθ' ὕλην
δέρκηται· πάσας γὰρ ὅγ' ἠρήμωσε καλιάς,
αὖτως ὀρνίθων τε τόκον κτίλα τ' ὠεὰ βρύκων.
Αὐτὰρ ὁ τοῦ καὶ ῥῆνα καὶ ἠνεμόεντα λαγωὸν
ῥεῖα δράκων ἥμερσε νέον μάρψαντος ὄνυξι
θάμνου ὑπαΐξας· ὁ δ' ἀλεύεται· ἀμφὶ δὲ δαιτὸς
μάρναθ'· ἱπτάμενον δὲ πέριξ ἀτέλεστα διώκει
σπειρηθεὶς καὶ λοξὸν ὑποδρὰξ ὄμμασι λεύσσων.
Εἴ γε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου
βήσεαι ἠὲ Σάμου δυσχειμέρου, αἵ τ' ἐνὶ κόλπῳ
Θρηϊκίῳ βέβληνται, ἑκὰς Ῥησκυνθίδος Ἥρης,
Ἔβρος ἵνα Ζωναΐά τ' ὄρη χιόνεσσι φάληρα,
καὶ δρύες Οἰαγρίδαο, τό τε Ζηρύνθιον ἄντρον,
δήεις κεγχρίνεω δολιχὸν τέρας, ὅν τε λέοντα
αἰόλον αὐδάξαντο, περίστικτον φολίδεσσι·
τοῦ πάχετος μῆκός τε πολύτροπον· αἶψα δὲ σαρκὶ
πυθεδόνας κατέχευε δυσαλθέας· αἱ δ' ἐπὶ γυίοις
ἰοβόροι βόσκονται· ἀεὶ δ' ὑπὸ νηδύσιν ὕδρωψ
ἕλγεσιν ἐμβαρύθουσα κατ' ὀμφάλιον μέσον ἴζει.
Ἤτοι ὅτ' ἠελίοιο θερειτάτη ἵσταται ἀκτὶς,
οὔρεα μαιμώσσων ἐπινίσσεται ἀκριόεντα,
αἵματος ἰσχανόων, καὶ ἐπὶ κτίλα μῆλα δοκεύων,
ἢ Σάου ἠὲ Μοσύχλου ὅτ' ἀμφ' ἐλάτῃσι μακεδναῖς
ἄγραυλοι ψύχωσι, λελοιπότες ἔργα νομάων,
μὴ σύ γε θαρσαλέος περ ἐὼν θέλε βήμεναι ἄντην
μαινομένου· μὴ δή σε καταπλήξῃ καὶ ἀνάγχῃ
πάντοθε μαστίζων οὐρῇ δέμας, ἐν δὲ καὶ αἷμα
λαιφάζῃ, κληῖδας ἀναῤῥήξας ἑκάτερθεν.
Φεῦγε δ' ἀεὶ σκολιήν τε καὶ οὐ μίαν ἁτραπὸν ἶλλων,

halitus inde gravis circum vitalia fusus
angit, et in nigros assurgit plaga tuinores;
infesti languentem animum mœstumque dolores
exagitant, aret crudeli vulnere corpus
fœtentem vibrans animam; depascitur artus
virus edax, lateque simul contagia serpunt,
et densa instabiles caligo involvit ocellos;
balatus edunt alii strictisque premuntur
faucibus, uriæ restant, hos stertere contra
perfusos somno videas, concussaque crebro
ilia singultu, vomitusque per ora citatos
sanguinis aut bilis; tandem sitiente veneno
diffusus per membra tremor languentia currit.
Nec vero auratum cœlique nitore draconem
transierim, quem fago aluit Phœbeia proles
valle Pelethronia gelidumque ad Pelion, anguem
præstanti forma, cui dentes agmine juncti
tergemino, malis utraque ex parte cohærent;
magna superciliis conduntur lumina crassis,
barbaque rugoso promittitur aurea mento;
ille vel attollens iras frendensque dolorem
non dederit tantum; spectatur dente pusillo
vulnus hebes murisque patet non amplius ictu.
Armiger hunc contra primo Jovis ales ab ortu
aspera bella movet rostroque infensa recurvo
instat, ubi mediis gradientem adspexerit agris;
ille domos siquidem nidosque propagine dulci
vastat, et ova vorans, orbata cubilia linquit.
Quin et ovem leporemque citum per inania raptum
e dumo insiliens; aquilæ mox eripit ungue
illa fugit, certant de præda; hinc inde volantem
insequitur frustra sinuosa volumina ducens
suspiciensque oculis abeuntem in sidera torvis.
Hibernam si quando Samum, claramque ruina
Mulciberi si Lemnon adis, quæ proxima Thracum
littoribus Junone procul Rhescynthide distant,
Hebrus ubi et niveo Zonæi vertice montes,
atque altæ Œagridæ quercus Zerynthiaque antra,
horrenda invenies cenchrenem mole, coloni
quem vocitant varium squamis punctisque leonem.
Corporis haud unus monstro modus: omnia late
occupat et nulla medicabilis arte putredo
membra cito peredit, gravidoque in ventre dolorem
semper agens alvi nodum premit improbus hydrops.
Ille ubi sol radiis terras ferventibus urit,
ecce subit clivos nemorosique aspera montis,
sanguinis impense sitiens, pecudesque Mosychli
atque Sai petit insidiis, dum frigora pastor
abiete sub patula securus et otia captat;
te nulla irato coram fiducia sistat
tollentique minas, ne flammas corpore toto
spargat et implexum connexis undique nodis
verberet ac rupto sugat thorace cruorem.
At fuge, non recta, sed obliquo tramite curres.

δοχμὸς ἀναχρούων θηρὸς πάτον· ἦ γὰρ ὁ δεσμοὺς
βλάπτεται ἐν καμπῇσι πολυστρέπτοισιν ἀκάνθης,
ἰθεῖαν δ' ὤκιστος ἐπιδρομάδην στίβον ἕρπει.
Τοῖος Θρηϊκίῃσιν ὄφις νήσοισι πελάζει.
Ἔνθα καὶ οὐτιδανοῦ περ ἀπεχθέα βρύγματ' ἔασιν
ἀσκαλάβου· τὸν μέν τ' ἐρέει φάτις οὔνεκ' Ἀχαιὴ
Δημήτηρ ἔβλαψεν, ὅθ' ἅψεα σίνατο παιδὸς
Καλλίχορον περὶ φρεῖαρ, ὅτ' ἐν Κελεοῖο θεράπναις
ἀρχαίῃ Μετάνειρα θεὴν δείδεκτο περίφρων.
Ἀλλά γε μὴν ἄβλαπτα κινώπετα βόσκεται ὕλην,
δρυμοὺς καὶ λασιῶνας ἀμορβαίους τε χαράδρας,
οὓς ἔλοπας λίβυάς τε πολυστεφέας τε μυαγροὺς
φράζονται, σύν τ' ὅσσοι ἀκοντίαι ἠδὲ μόλουροι,
ἠδ' ἔτι που τυφλῶπες ἀπήμαντοι φορέονται. [σων,
Τῶν μὲν ἐγὼ θρόνα πάντα καὶ ἀλθεστήρια νούφύλλα τε ῥιζοτόμον τε διείσομαι ἀνδράσιν ὥρην,
πάντα διαμπερέως καὶ ἀπηλεγὲς, οἷσιν ἀρήγων
ἀλθήσῃ νούσοιο κατασπέρχουσαν ἀνίην.
Τὰς μέν ἔτι βλύζοντι φόνῳ περιαλγεῖ ποίας
δρέψασθαι νεόκμητα, (τὸ γὰρ προφερέστατον ἄλλων,)
χώρῳ ἵνα κνῶπες θαλερὴν βόσκονται ἀν' ὕλην.
Πρώτην μὲν Χείρωνος ἐπαλθέα ῥίζαν ἑλέσθαι,
Κενταύρου Κρονίδαο φερώνυμον, ἣν ποτε Χείρων
Πηλίου ἐν νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ·
τῆς μὲν ἀμαρακόεσσα χυτὴ περιδέδρομε χαίτη,
ἄνθεα δὲ χρύσεια φαείνεται· ἡ δ' ὑπὲρ αἴης
ῥίζα καὶ οὐ βυθόωσα Πελεθρόνιον νάπος ἴσχει.
Ἥν σὺ καὶ αὐαλέην, ὁτὲ δ' ἔγχλοον ὅλμῳ ἀράξας,
φυρσάμενος κοτύλῃ πιέειν μενοεικέος οἴνης·
παντὶ γὰρ ἄρκιός ἐστι· τό μιν πανάκειον ἔπουσιν.
Ἤτοι ἀριστολόχεια παλίσκιος ἐνδατέοιτο,
φύλλα τε κισσήεντα περικλυμένοιο φέρουσα·
ἄνθεα δ' ὑσγίνῳ ἐνερεύθεται· ἡ δέ οἱ ὁδμὴ
σκίδναται ἐμβαρύθουσα· μέσον δ' ὡς ἀχράδα καρπὸν
μυρτάδος ἐξ ὄχνης ἐπιόψεαι ἢ σύ γε βάκχης·
ῥίζα δὲ θηλυτέρης μὲν ἐπιστρογγύλλεται ὄγκῳ,
ἄρσενι δ' αὖ δολιχή τε καὶ ἂμ πυγόνος βάθος ἴσχει,
πύξου δὲ χροιῇ προσαλίγκιος Ὠρικίοιο.
Τὴν ἤτοι ἔχιός τε καὶ αἰνοπλῆγος ἐχίδνης
ἀγρήσεις ὄφελος περιώσιον· ἔνθεν ἀποῤῥὼξ
δραχμαίῃ μίσγοιτο ποτῷ ἐνὶ κιῤῥάδος οἴνης.
Ναὶ μὴν καὶ τρίσφυλλον ὀπάζεο κνωψὶν ἀρωγὴν,
ἠέ που ἐν τρήχοντι πάγῳ ἢ ἀποσφάγι βήσσῃ,
τὴν ἤτοι μινυανθὲς, ὁ δὲ τριπέτηλον ἐνίσπει,
χαίτην μὲν λωτῷ, ῥυτῇ γε μὲν εἴκελον ὀδμήν.
Ἤτοι ὅτ' ἄνθεα πάντα καὶ ἐκ πτίλα ποικίλα χεύῃ,
οἷόν τ' ἀσφάλτου ἀπερεύγεται· ἔνθα κολούσας
σπέρμαθ' ὅσον κύμβοιο τραπεζήεντος ἑλέσθαι
καρδόπῳ ἐντρίψας πιέειν ὀφίεσσιν ἀρωγήν.
Νῦν δ' ἄγε τοι ἐπίμικτα νόσων ἀλκτήρια λέξω.
Θρινακίην μὲν ῥίζαν ἕλευ γυιαλθέα θάψου
σμώξας, ἐν δὲ σπέρμα χυτὸν λευκανθέος ἄγνου,
νῆρίν, πηγάνιόν τε περίβρυες, ἐν δέ τε θύμβρης
ἀρεψάμενος βλαστὸν χαμαιευνάδος, ἥτε καθ' ὕλην

scinde viam et frustrare feræ compendia; nectunt
spinea vincla moras, hæretque offensa salebris,
quum recto planoque ruat rapidissima campo.
Talis Threiciis effert se tractibus anguis.
Hic et vilis agit crudeles stellio morsus.
Illum quare Ceres quondam violarit Achæa
fama refert, quando puerilia membra resolvit
Callichorum ad puteum, pia quum Metanira senexque
hospitio Celei divam excepisset amici.
Præterea et silvas haud noxia turba ferarum
pascitur et dumos atque obsita lustra tenebris;
has elopes libyasque coronatosque myagros
appellant, jaculos etiam mitesque moluros,
quique errant nulla typhlopes peste nocentes.
Ast ego jam flores pictos horumque medelas
morborum et folia et radicibus apta legendis
tempora, quo possis grassanti occurrere pesti,
expediam, facili complectens omnia versu.
Principio in silvis, ubi sævæ pascua carpunt
læta feræ, stillat dum plaga cruore, recentes
herbas carpe, solent tales præstare vetustis.
Radicem ante omnes Chironis nomine claram
Centauri legito, quam primum Pelio in alto
Phyllirides Chiron reperit lustrans juga montis.
Ambit amaracino folio coma pendula caulem,
auratique micant flores, radixque superne
sparsa Pelethronio saltu, per summa vagatur.
Hanc tu vel siccam, vel pila tunde virentem,
et vini cotyla mistam largire meraci;
subvenit hæc cunctis, et ob id panacea vocatur.
Aut umbrosa colens et aristolochia terenda,
illa periclymeni foliis hederæque propinquis,
floribus hysgino rubris et odore molesto,
in medio cujus fructum pendere pyrastri,
myrtea qualem fert ochne vel baccha, videbis;
femina tuberibus radicum nixa rotundis
germinat, at maribus longæ cubitoque sub alma
defossæ terra; buxi color intus utrique.
Haud temere invenias medicamen morsibus ullum
vipereis prodesse magis, si frustula drachmæ
pondere flaventi libeat miscere falerno.
Nec minus has contra pestes decerpe triphyllon,
seu juga celsa tenet seu per declivia surgit;
hic minyanthes, at ille vocat tripetelon; agresti
crine refert lotum rutæque offundit odorem;
quum vero totos floresque comasque decoras
extulit, asphalto fragrat gravis: inde revellens
semina quanta capit vinaria cymba, terensque
omnia pistillo, potu medicabere virus.
Nunc age mista canam tantas pellentia pestes.
Radicem imprimis thapsi compone salubrem
trinacrii atque alba lectum de vitice semen,
nerinque et late ducentem germina rutam;
surculus addatur thymbræ, quæ gaudet in agris

οἷας θ' ἑρπύλλοιο περὶ ῥαδῖκας ἀέξει.
Ἄγρει δ' ἀσφοδέλοιο διανθέος ἄλλοτε ῥίζαν,
ἄλλοτε καὶ καυλεῖον ὑπέρτερον ἀνθερίκοιο·
πολλάκι δ' ἐν καὶ σπέρμα, τό τε λοβὸς ἀμφὶς ἀέξει·
ἠὲ καὶ ἕλξίνην, τήν τε κλύβατιν καλέουσιν,
ὕδασι τερπομένην καὶ ἀεὶ θάλλουσαν ἰάμνοις·
πῖνε δ' ἐνιτρίψας κοτυλήρυτον ὄξος ἀφύσσων
ἢ οἴνης· ῥέα δ' αὖτε καὶ ὕδατι κῆρας ἀλύξαις.
Ἐσθλὴν δ' Ἀλκιβίου ἔχιος περιφράζεο ῥίζαν,
τῆς καὶ ἀκανθοδόλος μὲν ἀεὶ περιτέτροφε χαίτη,
λείρια δ' ὡς ἅ τοῖα περιστέφει· ἡ δὲ βαθεῖα
καὶ ῥαδινὴ ὑπένερθεν ἀέξεται οὐδὲ ῥίζα.
Τὸν μὲν ἔχις βουβῶνος ὑπὲρ νεάτοιο χαράξας
ἄντλῳ ἐνυπνώοντα χυτῆς παρὰ τέλσον ἀλωῆς
εἶθαρ ἀφύπνισσεν καμάτου βίῃ· αὐτὰρ ὁ γαίης
ῥίζαν ἀρυσσάμενος τὸ μὲν ἕρκεϊ θρύψεν ὀδόντων
θηλάζων, τὸ δὲ πέσκος ἑῷ ἐνὶ κάββαλεν ἕλκει.
Ἦ μὴν καὶ πρασίοιο χλοανθέος ἕρνος ὀλόφας
χραισμήσαις ὀφίεσσι, πιὼν ἀργῆτι σὺν οἴνῳ·
ἥ τε καὶ ἀστόργοιο κατείρυσεν οὔθατα μόσχου
πρωτογόνου, στέργει δὲ περισφαραγεῦσα γάλακτι·
τὴν ἤτοι μελίφυλλον ἐπικλείουσι βοτῆρες,
οἱ δὲ μελίκταιναν· τῆς γὰρ περὶ φύλλα μέλισσαι
ὀδμῇ θελγόμεναι μέλιτος βοιζηδὸν ἕνται.
Ἠὲ σύ γ' ἐγκεφάλοιο πέριξ μήνιγγας ἀραιὰς
ὄρνιθος λάζοιο καθοικίδος· ἄλλοτ' ὀμόρξεις
ψῆγμα πολυκνήμου, καὶ ὀρείγανον, ἢ ἀπὸ κάπρου
ἧπατος ἀκρότατον κέρσας λοβόν, ὅς τε τραπέζης
ἐκφύεται, νεύει δὲ χολῆς σχεδὸν ἠδὲ πυλάων·
καὶ τὰ μὲν ἂρ σύμμικτα πιεῖν ἢ ἄνδιχα κόψας
ὄξεος ἢ οἴνης· πλεῖον δ' ἄκος ἕψεται οἴνης.
Ἔν δὲ φόβην ἐρύσασθαι ἀειθαλέος κυπαρίσσου
ἐς ποτὸν ἢ πάνακες ἢ κάστορος οὐλοὸν ὄρχιν
ἢ ἵππου, τὸν Νεῖλος ὑπὲρ Σαΐν αἰθαλόεσσαν
βόσκει, ἀρούρῃσιν δὲ κακὴν ἐπιβάλλεται ἅρπην·
ὅς τε καὶ ἐκ ποταμοῖο λιπὼν ζάλον ἰλυόεντα,
χιλοὶ ὅτε χλοάουσι, νέον δ' ἀπεχεύατο ποίην,
τόσσον ἐπιστείβων λείπει βάθος, ὁσσάτιόν περ
ἐκνέμεται γενύεσσι παλίσσυτον ὄγμον ἑλαύνων.
Τοῦ μὲν ἀποπροταμὼν δραχμῆς βάρος ἰσοφαρίζειν,
ὕδατι δ' ἐμπίσαιο, κύτει ἐναολλέα κόψας.
Μηδὲ σύ γ' ἀβροτόνου ἐπιλήθεο, μηδέ τι δάφνης
καρπὸν ἀραιοτέρης· μάλα δ' ἂν καὶ ἀμάρακος εἴη
χραισμήεις πρασιῆς τε καὶ ἀνδήροισι χλοάζων·
ἐν δὲ τίθει τάμισον σκίνακος νεαροῖο λαγωοῦ,
ἢ πρακὸς ἢ νεβροῖο, πάροιθ' ἀπὸ λύματα κόψας
ἢ ἐλάφου νηδύν, τὴν δὴ καλέουσιν ἐχῖνον,
ἄλλοι δ' ἐγκατόεντα κεκρύφαλον· ὧν ἀπερύσσας
δραχμάων ὅσσον τε δύω καταβάλλεο μοίρας
τέτρασιν ἐν κυάθοις μέθυος πολιοῦ ἐπιμίξας,
ἠὲ καὶ ἐξ ἐλάφοιο ταμὼν πηρῖνα θοραίην.
Μηδὲ σέ γε χραίσμη πολίου λάθοι ἠὲ κέδροιο
ἀρκευθὶς, σφαίρη τε θερειλεχέος πλατάνοιο,
σπέρματα βουπλεύρου τε καὶ Ἰδαίης κυπαρίσσου·

sparsa solo similes serpylio effundere ramos.
Tu quoque florentis radicem velle rotundam
asphodeli, aut tollentem alte fastigia caulem,
vel quæ distincto clauduntur semina folle;
atque etiam helxinen, clybatin plerique vocarunt;
gaudet aquis et fronde jugi per culta virescit.
Cuncta tere et cotyla vini aut mordentis aceti
mista bibas: potes et lymphis avertere pestem.
Alcibii radicem echii pariter lege, semper
aspera cæsaries cui spinis horret acutis,
purpurei circum flores, radixque profunda
et gracilis terram sese dimittit in imam.
Alcibio, dum somnum in stramine stratus iniret
areæ ad extremum, percusserat inguina morsu
vipera et extemplo hunc expergerat atra dolore:
ille solo vulsam radicem mandit et omnem
exsuxit crudumque obduxit magmate vulnus.
Quin et marrubii viridantia germina tundens
profueris, si mista mero simul hauseris albo;
tum soboli infensam, dum mammas sugit inanes,
compositis odiis quæ replet lacte juvencam,
agrestes meliphyllon eam dixere bubulci,
sive melictasnam, quod captæ mellis odore
sæpe sidere apes circum soleant et sidere ramis.
Quæque cohortalis gallinæ parva cerebrum
membrana involvit, necnon quandoque legenda
frusta polycnemique et origanon, aut cape summam
aprugni fibram jecoris, quæ nata trapeza
vergitur ad bilis follem portisque propinquat:
hæc tusa et misto diluta bibantur aceto
aut vino, virtus sed longe maxima vino.
Et folium viridis potu concede cupressi
aut panaces, miserum vel castoris accipe testem
aut pascentis equi per Nili magna Saitæ
flumina, et ore malo terræ quoque farra metentis;
qui fluvio egrediens et turpis gurgite cæni,
dum floret seges atque herbam mutavit aristis,
procedit, quantum satis est, ut læta capessat
pabula et in fluctus possit remeare relictos.
Ex illo reseca quod drachmæ pondus adæquet,
et cuncta affusis in pila contere lymphis.
Nec vero abrotoni fructusve oblivio lauri
te capiat tenuis, confert et amaracus areas
hortorum complens et ripas fronde virenti;
his rapidi leporis timidive coagula damæ
vel capræ admisce, sed fœcibus ante revulsis,
aut cervi ventrem, quem multi nomine echinum
reticulumque vocant, alto sub ventre latentem.
Exempta hæc præbe drachmarum pondere binum
antiqui cyathis temeti mista quaternis,
aut rescissum etiam cervi penem genitalem.
Sed nec opem polii vel cedri juniperumve
ignora, et pilulam platani ne spreveris amplæ,
bupleuri quoque semen et Idææ cyparissi;

πάντα γὰρ ἀλθήσει καὶ ἀθέσφατον ἐκ μόγον ὥσει.
Τὴν δὲ μετεξετέρην θανάτου φύξιν τε καὶ ἀλκὴν
φράζεο· κολλυβάτειαν ἐλὼν τροχαλῷ ἐνὶ λίγδῳ
σώχειν· ἐν δέ τέ οἱ κοτύλην πτισάνοιο χέασθαι,
ἐν δὲ δύω κυάθεια παλαισταγέος οἴνοιο,
ἐν δὲ καὶ ἀργέσταο λίπευς ἰσόμοιρον ἐλαίου,
φύρσας δὲ πληγῇσι χολοιβόρον ἰὸν ἐρύξεις.
Ἄγρει δ' ἐξάμορον κοτύλης εὐώδεα πίσσαν,
καὶ χλοεροῦ νάρθηκος ἀπὸ μέσον ἧτρον ὀλόψας
ἠὲ καὶ ἱππείου μαράθου πολυαυξέα ῥίζαν,
κεδρίσιν ἐντρίψας ἐλεοθρέπτου τε σελίνου
σπέρματα, μεστωθὲν δὲ χάδοι βάθος ὀξυβάφοιο.
Ἔνθα καὶ ἱππείου προταμὼν σπερμεῖα σελίνου,
δραχμάων δὲ δύω σμύρνης ἐχεπευκέος ἄχθη,
ἐν δὲ θερειγενέος καρπὸν κεράσαιο κυμίνου
στήσας, ἠὲ χύδην τε καὶ ἄστατον ἀμφικυκήσας·
πῖνε δὲ μιξάμενος κυάθῳ τρὶς ἀφύξιμον οἴνην.
Νάρδου τ' εὐστάχυος δραχμήϊον ἄχθος ἑλέσθαι,
σὺν δὲ καὶ ὀκταπόδην ποταμοῦ ἀποσυληθέντα
καρκίνον ἐνθρύψαιο νεοδδάλτοιο γάλακτος,
ἶριν θ', ἣν ἔθρεψε Δρίλων καὶ Νάρονος ὄχθη,
Σιδονίου Κάδμοιο θεμείλιον Ἀρμονίης τε·
ἔνθα δύω δασπλῆτε νομὸν στείβουσι δράκοντε.
Λάζεο δ' ἀνθεμόεσσαν ἄφαρ τανύφυλλον ἐρείκην,
ἥν τε μελισσαῖος περιβόσκεται οὐλαμὸς ἕρπων·
καὶ μυρίκης λάζοιο νέον πανακαρπέα θάμνον,
μάντιν ἐνὶ ζωοῖσι γεράσμιον· ἦ ἐν Ἀπόλλων
μαντοσύνας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν·
μιξὲ δὲ κονυζῆεν φυτὸν ἔγχλοον, ἠδὲ καὶ ἀκτῆς
καυλοὺς ἠνεμόεντας, ἰδὲ πτίλα πολλὰ καὶ ἄνθη
σαμψύχου κύτισόν τε καὶ εὐγλαγέας τιθυμάλλους·
πάντα δὲ λίγδῳ θρύπτε, καὶ ἐν σκαφίδεσσι δοχαίαις
φαρμάσσων μέθυ κεῖνο χοὸς δεκάτῃ ἐνὶ μοίρῃ.
Ἀλλ' ἤτοι γερύνων καναχοὶ περίαλλα τοκῆες
βάτραχοι ἐν χύτρῃσι καθεψηθέντες ἄριστοι
βάμματι· πολλάκι δ' ἧπαρ ἐνὶ σχεδίῃ ποθὲν εἰνῇ,
ἢ αὐτοῦ σίνταο κάρη κακὸν ἄλλοτε νύμφαις
ἐμπισθεν, τοτὲ δ' οἶνου ἐνὶ σταγόνεσσιν ἀρήξει.
Μὴ σύ γ' ἑλιχρύσοιο λιπεῖν πολυδεύκεος ἄνθην,
κόρκορον ἢ μύοντα, πανάκτειόν τε κονίλην,
ἥν τε καὶ Ἡράκλειον καὶ ὀρείγανον ἀμφενέπουσι·
σὺν καὶ ὄνου πεταλειον ὀρείγανον, αὖά τε θύμβρης
στρομβεῖα ψώχοιο, κακῆς ἐμφόρβια νούσου.
Ἄγρει μὰν ὀλίγαις μηκωνίσι ῥάμνον ἔϊσην
ἐρσομένην, ἀργῆτι δ' ἀεὶ περιτέτροφεν ἄνθει·
τὴν ἤτοι φιλέταιρον ἐπίκλησιν καλέουσιν
ἀνέρες, οἳ Τμώλοιο παραὶ Γύγαό τε σῆμα
Παρθένιον ναίουσι λέπας, τόθι Κίλβιν ἀεργοὶ
ἵπποι χιλεύουσι, καὶ ἀντολαί εἰσι Καΰστρου.
Νῦν δ' ἄγε τοι ῥίζας ἐρέω ὀφιέσσιν ἀρωγούς.
Ἔνθα δύω ἐχίεια πιφαύσκεο· τῆς δὲ τὸ μέν που
ἀγχούσῃ προσέοικεν ἀκανθῆεν πεταλεῖον·
παῦρον ἐπεὶ τυτθόν τε καὶ ἐν χθονὶ πυθμένα τείνει.
Ἡ δ' ἑτέρη πεταλοισι καὶ ἐν καλύκεσσι θέλεια

nam cuncta auxilio subeunt superantque laborem.
Nunc alias artes, alias nunc disce fugandæ
mortis opes, pilæque cavo tere collybateam,
heminam adfundens ptisanæ geminosque Falerni
adiungens cyathos prisco jam consule nati,
et pinguis tantum succi qui fluxit oliva;
hæc confusa trahent rodentem e vulnere bilem.
Quin olidæ largire picis sescunciam et una
internam viridis ferulæ concede medullam,
aut magnas grandis radices hippomarathri
intritas cedri baccis apiique palustris
seminia : oxybaphi plenus modus omnibus esto.
Adde illis apii concisum semen equini,
et piceam drachmæ geminato pondere myrrham,
æstivique simul fructum superadde cumini
appensum, temere aut sumptum, non pondere certo,
confundas, cyathisque meri tribus ebibe mista.
Tum nardi drachmam pulcra nitentis arista
accipe et octipedem raptum de flumine cancrum
lacte novo terito, tum natum Naronis irin
marginibus, quaque Illyricis Drilo perfluit agris
Armoniæque et Sidonii fundamina Cadmi,
pascua ubi gemini serpunt per rura dracones.
Quin et florentem prompte frondentis erices
tolle comam, hanc pascunt volitantque examina circum;
protinus et sterilis myriçes virgulta legantur,
fatidicum vatum numen, quo reddere sortes
et responsa dedit fari Coropæus Apollo;
his olidæ virides ramos adjunge conyzæ
sambucumque levem floresque comasque frequentes
sampsuci cytisumque et lactosos tithymallos;
hæc terito et testa vino diluta capaci
excipito, decies capiat quod congius unus.
Et gerynon etiam querulos in vase parentes
palladio in primis iuvat incoxisse liquori;
sæpe jecur vino quod sors tibi cumque pararit,
aut caput exitiale feræ, seu fluminis unda,
sive mero epotum pestem discussit acerbam.
Sed nec helichrysus dulcis, non corcorus absit
fronde jacens humili, non panactea conila,
quam quidam Heraclion origanon indigitarunt,
quodque asini pascuntur origanon, et tere thymbræ
sicca simul capitella gravem exstirpantia morbum.
Parva etiam pingui referente papavera rhamno
utere, quam circum flos cano vestit amictu
candidior, phileteerin eam cognomine dicunt,
qui Tmolum Gygisque colunt monumenta jugumque
Parthenii, pecori pastus ubi Cilbis equino
præbet, et effusi se pandunt ora Caystri.
Nunc age radices adversas anguibus andi,
quas inter duplex echium spectabis, acutis
unum horrens spinis, anchusæ fronde, nec alta
defossum terra, tenui radice brevique.
Ast aliud calyce et folio majore, pusillo

ὑψηλή· ὀλίγῳ δὲ πέριξ καλχαίνεται ἄνθει·
βλάστη δ' ὡς ἔχιος, σφεδανὸν δ' ἐφύπερθε κάρηνον.
Τῶν μὲν ἀπ' ἀνδρακάδα προταμὼν ἰσήρεα χραισμεῖν,
ἢ σφέλα ἢ ὅλμῳ κεάσας ἢ ῥωγάδι πέτρῃ.
Ἠὲ σύ γ' ἠρύγγοιο καὶ ἀλθήεντος ἀκάνθου
ῥίζαν λειήναιο, φέροις δ' ἰσορρεπὲς ἄχθος
ἀμφοῖν καὶ κλώθοντος ἐν ἁρπέζαισιν ἐρίνου.
Λάζεο δ' εὐκνήμοιο κόμην βριθουσαν ὀρείης,
καὶ σπέραδος Νεμεαῖον ἀειφύλλοιο σελίνου,
σὺν δὲ καὶ ἀννήσοιο τὸ διπλόον ἄχθος, ἀείρας
ῥίζαις ὁλκήεσσαν ὑπὸ πλάστιγγα πεσοῦσαν·
καὶ τὰ μὲν ὀργάζοιο, καὶ εἰν ἑνὶ τεύχεϊ μίξας,
ἄλλοτε μέν τ' ἐχίων ὀλοὸν σίνος, ἄλλοτε τύμμα
σκορπιόεν, τοτὲ δάγματ' ἐπαλθήσαιο φάλαγγος,
τριπλόον ἐνθρύπτων ὀδελοῦ βάρος ἔνδοθεν οἴνης.

Φράζεο δ' αἰγλήεντα χαμαίλεον ἠδὲ καὶ ὀρφνόν·
δοιοὶ δ' ἀμφὶς ἔασιν· ὁ μὲν ζοφοείδελος ὠπὴν
ἤϊκται σκολύμῳ, τροχεὴν δ' ἀπεχεύατο χαίτην·
ῥίζα δέ οἱ βριαρή τε καὶ αἴθαλος, ἠδ' ὑπὸ κνημοῖς
σκαιοῖς ἐντελέθει φυξήλιος ἐν νεμέεσσι.
Τὸν δ' ἕτερον δήεις αἰεὶ πετάλοισιν ἀγαυρόν·
μέσση δ' ἐν κεφαλῇ φύεται πεδάεσσα μολοβρή·
ῥίζα δ' ὑπαργήεσσα, μελίζωρος δὲ πάσασθαι.
Τῶν δὴ κυάνεον μὲν ἀναίνεο· τῆς δ' ἀπὸ φάρσος
δραχμαῖον ποταμοῖο πιεῖν ὑδάτεσσι ταράξας.

Ἄλλην δ' Ἀλκιβίοιο φερώνυμον αἶρεο ποίην,
δράγμα χερὸς πλήσας, παύρῳ δ' ἐνὶ νέκταρι πίνοις.
Τὴν μὲν ἐπὶ σκοπέλοισι Φαλακραίοισιν ἐπακτὴρ
Κρύμνης ἁμπεδίον καὶ ἀνὰ Γράσον, ἠδ' ἵνα θ' ἵππου
λειμῶνες, σκυλάκεσσιν Ἀμυκλαίοισι κελεύων·
κνυζηθμῷ κυνὸς οὖλον ἐπήϊσε θυμολέοντος,
ὅς τε μεταλλεύων αἰγὸς ῥόθον ἐν στίβῳ ὕλης
κανθῷ ἐνὶ ῥαντῆρι τυπὴν ἀνεδέξατ' ἐχίδνης·
καὶ τὴν μὲν κλάγξας ἀφεκὰς βάλε, ῥεῖα δὲ ποίης
φύλλα κατέβρυξεν, καὶ ἀλεύατο φοινὸν ὄλεθρον.

Λάζεο δ' ἔγχλοα φλοιὸν ἐλαιήεντα κρότωνος
συμμίγδην πετάλοισι μελισσοβότοιο δασείης,
ἠὲ καὶ ἠελίοιο τροπαῖς ἰσώνυμον ἔρνος,
ἥ θ' Ὑπερονίδαο παλιστρέπτοιο κελεύθους
τεκμαίρει γλαυκοῖσιν ἴσον πετάλοισιν ἐλαίης.
Αὕτως δὲ ῥίζαν κοτυληδόνος, ἥ τ' ἀνὰ κρυμὸν
ῥηγνυμένοις ὀλοφυδνὰ διήρυσε ποσσὶ χίμετλα.
Δή ποτε δ' ἡ βλωθροῖο πυρίτιδος ἔγχλοα φύλλα,
ἢ σκολοπενδρείοιο φέρειν ἀπὸ καυλὸν ἀμήσας.
Ἄγρει καὶ πάνακες Φλεγυήϊον, ὄρρα τε πρῶτος
Παιήων Μέλανος ποταμοῦ παρὰ χεῖλος ἄμερσεν,
Ἀμφιτρυωνιάδαο θέρων Ἰφικλέος ἕλκος,
εὖτε σὺν Ἡρακλῆϊ κακὴν ἐπυράκτεεν ὕδρην.

Εἰ δὲ σύ γε σκύλακας γαλέης ἢ μητέρα λαιδρὴν
ἀγρεύσαις πρόσπταιον, ἀποσκύλαιο δὲ λάχνην
καρφαλέου καθύπερθε πυρὸς σελάοντος ἀϋτμῆς,
τῆς δ' ἐξ ἔγκατα πάντα βαλὼν καὶ ἀφόρδια γαστρὸς
φύρσον ἁλὸς θείοιο καὶ ἠελίου δίχα τέρσον,

purpureoque virēt redimitum flore, superne
vipereum gestans adstricto vertice semen.
Amborum aequalis sectorum portio confert
lignosa in pila saxove intrita cavato.
Ipsam etiam eryngi longamque salubris acanthi
radicem, paribus trutinæ sed lancibus ambas
intere, et in madidis qui vallibus exit, erinum;
accipe et eucnemi folium silvestris et ipsum
junge apii semen Nemeæum fronde perennis,
adde et aniceti duplum, sursumque reducas
depressam primum radicum pondere lancem:
hæc secum miscens testaque subacta reponens
vipereas pestes prompte medicaberis, et quas
scorpius inflixit plagas, dirive phalanges,
si libeat ternos obolos mollire Lyæo.

Nigrantem discerne notaque chamæleon alba;
nam venit ambiguus, fusco niger ille colore,
nec scolymo absimilis, diffundit caule rotundam
cæsariem, crassa nixus radice nigraque,
et solem vitans rigidis in saltibus exit.
Hic folio lætus tumet asperiore caputque
sessile demittit medio de pectore natum,
albaque mellito radix condita sapore est.
Sed nigrum moneo fugias, pondoque recisam
alterius drachmam fluviali dilue lympha.

Est alia Alcibii cognomine planta, maniplum
cujus in exiguo propina nectare tusum.
Hanc Phalacræ in scopulis reperit venator, apertis
dum Crymnes spatiatur agris Grasumque sacrique
prata pererrat equi, canibusque celeusmate vires
addit Amyclæis acuitque latratibus iras.
Nam capreæ dum cæca canis vestigia lustrat,
vipereo morsu lacrimosum læsus ad hirquum,
viperam ubi excussit clamans, exilia mandit
germina, sic mortem fatumque avertit acerbum.

Pinguia quin etiam dentur virgulta ricini,
mista melissoboti foliis hirtoque capillo,
aut cui summa dedit solis conversio nomen
herba, revertentis prædicere gnara meatus
Titanis, glaucarum oleæ de more comarum.
Et radix pariter cotyledonis, illa tumores
discutit in talis glaciali frigore ruptis.
Crescentis viridem nonnumquam carpe pyrethri
cæsariem aut messum scolopendri porrige caulem.
Necnon et panaces Phlegyæum sume repertum
Phœbigenæ, primumque Melæ quod nactus ad oras
Amphitryoniadæ vulnus sanavit Iphicli,
quum comes Alcidæ diram dedit ignibus hydram.

Si tibi mustelæ catulos ipsamve rapacem
venari matrem curæ est, hanc vellere primum
exspolia flammisque pilos ardentibus ure;
inde intestinis vacuum illuvieque cadaver
et sale conditum molli siccabis in umbra,

μή τοι ἐνισκήλη νεαρὸν σκίναρ ὠκὺς ἀΐξας.
Ἀλλ' ὁποταν χρειώ σε κατεμπάζῃ μογέοντα,
σῶχε δία κνῆστι σκελετὸν δάκος, οἷά τ' ἀφαυρὸν
σίλφιον ἢ στροφάλιγγα περιξήροιο γάλακτος,
οἴνῳ ἐπικνήθων· τὸ δέ τοι προφερέστατον ἄλκαρ
ἐσσεῖται· πάσας γὰρ ὁμῶς ἀπὸ κῆρας ἀλέξει.
Πεύθεο δ' εἰναλίης χέλυος κρατέουσαν ἀρωγὴν
δάγματος εἶαρ ἔμεν δολιχῶν ὅσα φῶτας ἀνιγροὺς
ἑρπετὰ σίνονται· τὸ δέ τοι μέγ' ἀλέξιμον εἴη.
Ἤτοι ὅταν βροτολοιγὸν ὑπὲρ πόντοιο χελώνην
αἰγιαλῶν ἐρύσωσιν ἐπὶ ξερὸν ἀσπαλιῆες,
τήνδ' ἀνακυπώσας, κεφαλῆς ἀπὸ θυμὸν ἀράξαι
μαυλίδι χαλκείῃ, βλοσυρὸν δ' ἐξ αἷμα χέασθαι
ἐν κεράμῳ νεοκμῆτι καμινόθεν· ἐκ δὲ πελιδνὸν
οὖρον ἀπηθῆσαι πλαδόωντ' εὐεργέϊ μάκτρῃ·
ἧς ἐπεὶ οὖν τέρσαιο, διατρυφὲν αἷμα κεάσσας
δραχμάων πισύρων μίσγειν βάρος· ἐν δὲ κυμίνου
δοιὰς ἀγροτέρου, καὶ ἐκ ταμίσοιο λαγωοῦ
τετράμορον δραχμῇσι δύω κατάβαλλεο βρῖθος·
ἔνθεν ἀποτμήγων πιέειν δραχμαῖον ἐν οἴνῃ.
Καὶ τάδε μέν τ' ὀφίεσσιν ἀλεξητήρια δήεις.
Ἔργα δέ τοι σίνταο περιφράζοιο φάλαγγος
σήματά τ' ἐν βρυγμοῖσιν· ἐπεί ῥ' ὁ μὲν αἰθαλόεις ῥὼξ
κέκληται, πισσῆεν, ἐπασσυτέροις ποσὶν ἕρπων·
γαστέρι δ' ἐν μεσάτῃ ὀλοοῖς ἔσκληκεν ὀδοῦσι.
Τοῦ δὲ καὶ ἐγχρίμψαντος, ἀνουτήτῳ ἴχελος χρὼς
μίμνει ὅμως, τὰ δ' ἔνερθε φάῃ ὑποφοινίσσονται·
φρίκῃ δ' ἐν ῥέθεϊ σκηρίπτεται· αὐτίκα δὲ χρὼς
μέζεά τ' ἀνδρὸς ὕπερθε τιταίνεται· ἐν δέ τε καυλὸς
φύρματι μυδαλέος προϊάπτεται· ἰσχία δ' αὖτως
μάλκη ἐνισκίμπτουσα κατήριπεν ἔγματα γούνων.
Ἀστέριον δέ φιν ἄλλο πιφαύσκεο· τεῦ δ' ἐπὶ νώτῳ
λεγνωταὶ στίλβουσι διαυγέες ἐν χροΐ ῥάβδοι·
βρύξαντος δ' αἰδηλος ἐπέδραμεν ἀνέρι φρίκη·
ἐν δὲ κάρος κεφαλῇ· γούνων δέ θ' ὑπέκλασε δεσμά.
Κυάνεον δέ τοι ἄλλο πεδήορον ἀμφὶς ἀΐσσει
λαχνῆεν· δεινὸν δὲ φέρει καὶ ἐπὶ χροΐ νύγμα,
ὄντινα γυιώσῃ· κραδίῃ δέ οἱ ἐν βάρος ἴσχει·
νὺξ δὲ περὶ κροτάφοις· ἔμετον δ' ἐξήρυγε ὀειρῆς,
λοιγὸν ἀραχνήεντα· νέμει δέ οἱ ἐγγὺς ὄλεθρον.
Ἀγρώστης γε μὲν ἄλλος, ὃ δὴ λύκου εἶσατομορφῇ
μυιάων ὀλετῆρος· ὀπιπτεύει δὲ μελίσσας,
ψῆνας μύωπάς τε καὶ ὅσσ' ἐπὶ δεσμὸν ἵκηται.
Ἄκμητον δ' ἐπὶ τύμμα φέρει μεταμώνιον ἀνδρί.
Ἄλλο γε μὴν δύσδηρι, τὸ δὲ σφήκειον ἔπουσι,
πυρσὸν ἅλις, σφηκὶ προσαλίγκιον ὠμοβορῆϊ,
ὃς δὴ θαρσαλέην γενεὴν ἐκμάσσεται ἵππου·
ἵπποι γὰρ σφηκῶν γένεσις, ταῦροι δὲ μελισσῶν,
σκήνεσι πυθομένοισι λυκοσπάδες ἐξεγένοντο.
Τοῦ δὲ καὶ οὐτήσαντος ἐπὶ κρατερὸν θέει οἶδος,
νοῦσοί τ' ἐξέτεραι, μετὰ γούνασιν ἄλλοτε παλμὸς,
ἄλλοτε δ' ἀδρανίη· μινύθοντα δὲ τόνδε δαμάζει
ἐσχάτιον κακοεργὸν ἄγον παυστήριον ὕπνον.
Εἰ δ' ἄγε μυρμήκειον, ὃ δὴ μύρμηξιν ἔοικται

ne caro ferventi tabescat sole tenella.
Quumque malum virus poscet medicaminis usum,
ut laser tenerum vel lactis dura coacti
pondera, membra feræ cultello arentia rade
et confunde mero; non hoc præstantius ullum
auxilium omnigenas poterit depellere pestes.
Nunc age, opem et medicas testudinis accipe vires
æquoreæ, si quando virum truculentior anguis
læserit, auxilium sceleratis morsibus ingens.
Hanc ubi damnosam pelago piscator ab alto
traxit et in siccam reti subduxit arenam,
protinus invertens resupinæ exstantia ferro
colla seca tætrumque novis infunde cruorem
fictilibus, memor inde serum quod diffluet omne
atque redundantem saniem transmittere colo;
quumque ibi siccaris concretum in frusta, quaternis
sanguinis in drachmis binas adjunge cumini
agrestis leporique exempta coagula drachmæ
pondere dimidiæ, quodque unam pendeat ipsa
detractum massa, lenæo combibe miti.
Hæc tibi sint morsus, hæc amuleta ferarum.
Nunc attende notas et vulnera dira phalangis
pestiferi: piceo distinguitur ille colore,
qui Rhox nomen habet, pedibusque frequentibus; alvo
os illi in media duro exitiabile dente.
Si morsum impressit, vestigia nulla cruenti
vulneris, ardescunt subtus perfusa rubore
lumina, membra rigor quatit, extemploque pudenda
et corpus sursum convellitur, arrigit ipse
semine sordescens penis, coxæque premuntur
frigore, genua labant laxatis languida vinclis.
At vero asterion dorsi fulgore coruscum
virgatis splendet maculis, alboque relucet;
mox rigor a morsu pertentat membra, caputque
dente soporatur, collapsaque genua fatiscunt.
Cæruleus graditur pedibus sublimior alter,
villoque hirsutus; dant tristia funera morsus,
si quemquam oppressit, luctantur corda dolore,
tempora caligant, et qualis aranea, lentus
ore redit vomitus, propereque in fata vocantur.
Est etiam agrostes, cui muscas fraude necantis
forma lupi; hic culices et apes explorat et œstris
collocat insidias contextaque retia ponit;
sed facilis nullo vanescit plaga dolore.
Est et sphecion vespæ cognomine, vulgus
dysderi appellat, rufum, vespæque feroci
adsimile, audaces animos quæ præstat avorum;
namque ut apes tauro veniunt, sic putribus acres
carnibus alipedum vespæ nascuntur equorum.
Si ferit, ecce tumor circumstat vulnera magnus,
tum varii emergunt morbi, vel genua tremiscunt,
vel resoluta labant, defectis robore tandem
obrepit somnus, requies et meta laborum.
Formicæ observa parilem myrmecion, illi

δειρῇ μὲν πυρόεν, ἄζῃ γε μὲν εἴσατο μορφὴν,
πάντοθεν ἀστερόεντι περιστιγὲς εὐρεῖ νώτῳ·
αἰθαλέῃ δ' ἐπὶ τυτθὸν ἀείρεται αὐχένα κόρση·
ἄλγεα δὲ προτέροισιν ἴσα κνώπεσσι πελάζει.
Χειροδρόποι δ' ἵνα φῶτες ἄτερ δρεπάνοιο λέγονται
δσπρια χέδροπά τ' ἄλλα μεσοχλόου ἐντὸς ἀρούρης,
ἐνθάδ' ἐπασσύτερα φλογερῇ εἰλυμένα χροιῇ
εἴκελα κανθαρίδεσσι φαλάγγια τυτθὰ δίενται.
Τοῦ μὲν δμῶς ἔμμοχθον ἀεὶ περὶ δάγμα χέονται
φλύκταιναι· κραδίη δὲ παραπλάζουσα μέμηνε·
γλῶσσα δ' ἄτακτα λέληκε· παρέστραπται δὲ καὶ ὄσσε.
Φράζεο δ' Αἰγύπτοιο τά τε τρέφει οὐλοὸς αἶα
κνώδαλα, φαλαίνῃ ἐναλίγκια, τὴν περὶ λύχνους
ἀκρόνυχος δειπνητὸς ἐπήλασε παιφάσσουσαν·
στεγνὰ δέ οἱ πτερὰ πάντα καὶ ἔγχνοα, τοῖα κονίης
ἢ καὶ ἀπὸ σπληδοῖο φαείνεται, ὅστις ἐπαύρῃ·
τῇ ἴκελος Περσῆος ὑποτρέφεται πετάλοισι·
τοῦ καὶ σμερδαλέον νεύει κάρη αἰὲν ὑποδρὰξ
ἐσκληκὸς, νηδὺς δὲ βαρύνεται· αὐτὰρ ὃ κέντρον
αὐχένι τ' ἀκροτάτῳ κεφαλῇ τ' ἐνεμάξατο φωτός·
ῥεῖα δέ κεν θανάτοιο καὶ αὐτίκα μοῖραν ἐφείη.
Εἰ δ' ἄγε καὶ κέντρῳ κεκορυθμένον ἀλγινόεντι
σκορπίον αὐδήσω, καὶ ἀεικέα τοῖο γενέθλην.
Τῶν ἤτοι λευκὸς μὲν ἀκήριος οὐδ' ἐπιλωβής.
Πυρσὸς δ' ἐν γενύεσσι θοὸν προσεμάξατο καῦσον
ἀνδράσιν αἰθαλόεντα· περισπαίρουσι δὲ λώβῃ
οἷα πυρίβλητοι· κρατερὸν δ' ἐπὶ δίψος ὄρωρεν.
Αὐτὰρ ὅ γε ζοφόεις ἄραδον κακὸν ὤπασε τύφας
ἀνδρί· παραπλῆγες δὲ καὶ ἄφραστοι γελόωσιν.
Ἄλλος δὲ χλοάων τε, καὶ ὁππότε γυῖον ἀράξῃ,
φρῖκος ἐπιπροΐησι· κακὴ δ' ἐπὶ τοῖσι χάλαζα
εἴδεται ἐμπλάζουσα, καὶ εἰ μέγα Σείριος ἄζει.
Τοίη οἱ κέντροιο κόπις, τοιῷ δ' ἐπὶ κέντρῳ
σφόνδυλοι ἐννεάδεσμοι ὑπερτείνουσι κεραίης.
Ἄλλος δ' ἐμπέλιος· φορέει δέ τε βοσκάδα νηδὺν
εὐρεῖαν· δὴ γάρ τε ποηφάγος, αἰὲν ἄητος,
γυιοφάγος, βουβῶσι τυπὴν ἀλίαστον ἰάπτει.
Τοίη οἱ βούβρωστις ἐνέσκληκεν γενύεσσι,
Τὸν δ' ἕτερον δήεις ἐναλίγκιον αἰγιαλῆϊ
καρκίνῳ, ὅς μνία λευκὰ ῥόον τ' ἐπιβόσκεται ἅλμης.
Ἄλλοι δ' αὖ ῥαιβοῖσιν ἰσήρεες ἄντα παγούροις
γυῖα βαρύνονται· βορεαὶ δ' ἐσκλήκασι χηλαὶ,
οἷά τε πετραίοισιν ἐποκριδωσι παγούροις·
τῶν δὴ καὶ γενεὴν ἐξέμμορον, εὖτε λίπωσι
πέτρας καὶ βρύα λεπτὰ πολυῤῥοίζοιο θαλάσσης,
τοὺς ἁλὸς ἐξερύουσι δελαστρέες ἰχθυβολῆες·
αὐτίκα δ' ἀγρευθέντες ἐνὶ γρώνῃσιν ἔδυσαν
μυοδόκοις, ἵνα τέκνα κακόφθορα τῶνδε θανόντων
σκορπίοι ἐξεγένοντο καθ' ἕρκεα λωβητῆρες.
Τὸν δὲ μελίχλωρον· τοῦ γὰρ προμελαίνεται ἄκρη
σφόνδυλος· ἄσβεστον δὲ νέμει πολυκήριον ἄτην
ἀνδράσι, νηπιάχοις δὲ παρασχεδὸν ἤγαγεν αἶσαν.
Ἔχθιστος δ' ὅγε ῥαιβὰ φέρει φλογὶ εἴκελα γυῖα·
οἷς δὴ καὶ νώτοισι περὶ πτερὰ πυκνὰ χέονται

flava quidem cervix, reliquum fuliginis atræ
corpus habet speciem, stellatis undique guttis
terga micant, nigrumque caput cervicibus exstat.
Huic primis morsusque dolorque phalangibus idem.
Agricolam, si quando manu Cerealia carpit
semina et e terra sine falce legumina vellit,
parva petunt cæco deprensa phalangia morsu;
cantharidum his forma est rutilique coloris amictus.
Mox hinc inde frequens accepto vulnere bullat
pustula, et insanum vexat dementia pectus;
fanda nefanda refert, perversaque lumina torquet.
Nunc quas Ægypti gignit plaga noxia pestes
contemplare, quibus phalænæ forma, ruentem
quam circum lychnos abigunt qui vespere cœnant.
Pennis non fissis lanugo pulveris instar
insidet aut sicci cineris, si tangere tentes;
arbore non dispar degit Perseide pestis,
cui caput edurum nutat torvumque tuetur,
et gravis est alvus, si quando hæc cuspide virus
cervici summæ capitique adsperserit atrum,
nec mora percussos immiti damnat Averno.
Jam vero armatum caudæ mucrone cruento
scorpion, et diræ referam discrimina gentis.
Innocuus stimulis et fati candidus insons.
Sed flammis homines rufo spectabilis ore
absumit subitis, ipsi, ceu febribus acti,
uno stare loco nequeunt, sitis improba sævit.
Qui niger est, ciet instabiles in corpore motus
et facit amentem, qui risus edit ineptos.
At viridis, si quos petiit mucrone, repente
horror, et hiberna ceu nimbi grandine densi
corporibus crepitant, vel si canis ardeat æstu.
Talis ei stimulus, quem vinclis pluribus aptæ
vertebræ reddunt magis ima parte nocentem.
Lividus est alius, latum trahit heluo ventrem,
esurit et semper nulla satiabilis herba;
si ferit inguinibus non evitabile vulnus
ingeritur, tanta ingluvies consistit in ore.
Cancro alius similis, qui degens littore, et algas
pascitur, et pelagi quæcumque refuderit æstus.
Corpore sunt alii magno durisque rapaces
forcipibus; testa simul asperiore, paguris
persimiles varis, qui lævia saxa frequentant.
Quorum etiam hi soboles sunt pessima, quando sonantis
liquerunt ponti scopulos muscumque virentem;
nam quum deceptos esca piscator ab alto
traxit, et in prædam capti cessere, latebris
condunt se minimis, ubi cæca morte perempti
crudeles putri natos e sanguine tollunt.
Adde melichlorum, cui cauda nodus in ima
nigricat; hic flammis, quas non restinguere possis,
pestis acerba virum, pueros mox funere mergit.
Infestus varis pedibus, velut igne coruscis,
incedit; dorso densis compagibus alæ

μάσταχι σιτοφάγῳ ἐναλίγκια, τοί θ' ὑπὲρ ἄκρων
ἱπτάμενοι ἀθέρων λεπυρὸν στάχυν ἐκβόσκονται,
Πήδασα καὶ Κισσοῖο κατὰ πτύχας ἐμβατέοντες.
Οἶδά γε μὴν φράσασθαι ἀλέξια τοῖσι βολάων,
οἷά περ ἐκ βέμβικος ὀρεστέρου ἠὲ μελίσσης,
ᾗ τε καὶ ἐκ κέντρου θάνατος πέλει, εὖτε χαράξῃ
ἄνδρα πέριξ σίμβλοισι πονεύμενον ἠὲ καὶ ἀγροῖς·
κέντρον γὰρ πληγῇ περικάλλιπεν ἐμμαπέουσα·
κέντρον δὲ ζωήν τε φέρει θάνατόν τε μελίσσαις.
Οἶδά γε μὴν καὶ ἴουλος ἃ μήδεται ἠδ' ὀλοὸς σφήξ,
πεμφρηδὼν ὀλίγη τε καὶ ἀμφικαρὴς σκολόπενδρα,
ἥ τε καὶ ἀμφοτέρωθεν ὀπάζεται ἀνδράσι κῆρα·
νηΐᾳ θ' ὡς σπέρχονται ὑπὸ πτερὰ θηρὶ κιούσῃ.
Τυφλήν τε σμερδνήν τε βροτοῖς ἐπὶ λοιγὸν ἄγουσαν
μυγαλέην, τροχιῇσιν ἐνιθνήσκουσαν ἀμάξης.
Σῆπά γε μὴν πεδανοῖσιν ὁμὴν σαύροισινἀλύξεις,
καὶ σαλαμάνδρειον δόλιον δάκος αἰὲν ἀπεχθὲς,
ἥ τε καὶ ἀσβέστοιο διὲκ πυρὸς οἶμον ἔχουσα
ἔσσυται ἄκμητος καὶ ἀνώδυνος· οὐδέ τί οἱ φλὸξ
σίνεται ἀσβέστη βαγόεν δέρος ἄκρα τε γυίων.
Ναὶ μὴν οἶδ' ὅσα πόντος ἁλὸς ῥοθίοισιν ἑλίσσει,
μυραίνης δ' ἔκπαγλον· ἐπεὶ μογεροὺς ἁλιῆας
πολλάκις ἐμβρύξασα κατεπρήνιξεν ἐπάκτρων,
εἰς ἅλα φυζηθέντας, ἐχετλίου ἐξαναδῦσα.
Εἰ γ' ἔτυμον, κείνην γε σὺν ἰοβόλοις ἐχίεσσι
θόρνυσθαι, προλιποῦσαν ἁλὸς νομὸν, ἠπείροισι.
Τρυγόνα μὴν ὀλοεργὸν, ἁλιῤῥαίστην τε δράκοντα
οἶδ' ἀπαλέξασθαι· φορέει γε μὲν ἄλγεα τρυγὼν,
ἧμος ἐν ὀλκαίοισι λίνοις μεμογηότα κέντρῳ
ἐργοπόνον τύψῃσιν, ἢ ἐν πρέμνοισι παγείῃ
δενδρείου, τό γε πολλὸν ἀγαυρότερον θαλέθῃσι·
τοῦ μὲν ὑπὸ πληγῇσιν ἄτ' ἠελίοιο δαμέντος
ῥίζαι, σὺν δέ τε φυλλὰς ἀποφθίνει· ἀνδρὶ δὲ σάρκες
πυθόμεναι μινύθουσι· λόγος γε μὲν, ὥς ποτ' Ὀδυσσεὺς
ἔφθιτο λευγαλέοιο τυπεὶς ἁλίου ὑπὸ κέντρου.
Οἷσιν ἐγὼ τὰ ἕκαστα διείσομαι ἄρκια νούσων.
Δὴ γὰρ ὅτ' ἀγχούσης θριδακῆΐδα λάζεο χαίτην,
ἄλλοτε πενταπέτηλον, ὅτ' ἄνθεα φοινὰ βάτοιο,
ἄρκτιον, ὀξαλίδας τε καὶ ὁρμενόεντα λύκαψον,
κίκαμά τ' ὄρδειλόν τε περιβρυὲς, ἐν δὲ χαμηλὴν
ῥεῖα πίτυν, φηγοῦ τε βαθὺν περὶ φλοιὸν ἀράξας,
σὺν δ' ἄρα καυκαλίδας τε καὶ ἐκ σταφυλίνου ἀμήσας
σπέρματα καὶ τρεμίθοιο νέον πολυειδέα καρπόν·
ἢ ἔτι καὶ φοινίσσον ἁλὸς καταβάλλεο φῦκος,
ἄχραές τ' ἀδίαντον, ἵν' οὐκ ὄμβροιο ῥαγέντος
λεπταλέη πίπτουσα νοτὶς πετάλοισιν ἐφίζει.
Εἰ δ' ἄγε καὶ σμυρνεῖον ἀειθρυὲς ἢ σύ γε ποίης
λευκάδος ἠρύγγου τε τάμοις ἀθερηΐδα ῥίζαν,
ἄμμιγα καγχρυφόρῳ λιβανώτιδι· μηδ' ἀπαρίνῃ
μηδ' ἔτι κολλυβάτεια περιβρῖθουσά τε μήκων
θυλακὶς ἢ ἐπιτηλὶς ἐπὶ χραίσμῃσιν ἀπείη.
Σὺν δὲ κράδης κυέουσαν ἀποτμήξαιο κορύνην,
ἢ αὐτοὺς κόκκυγας ἐρινάδος, οἵ τε πρὸ ἄλλης
γίγγυλοι ἐκφαίνουσιν ἀνοιδείοντες ὀπώρης.

aptantur, qualesque licet spectare locustæ,
dum segeti advolitat, flavasque absumit aristas,
montis Pedasei specuumque est incola Cissi.
At vero istorum medicarî spicula novi,
et silvestris item bembicis apisque malignæ,
cui tamen a stimulo mors imminet atra, labori
si quando intentos in agris alvearia circum
fixi, et ardentes stimulos in vulnere liquit;
ipsi adeo præstant apibus vitamque necemque.
Et novi quid vespa ferox, quid patret iulus
parvaque pempnredo, tum quid dubio scolopendra
vertice, fine utroque movens lacrimabile fatum,
et gressu impulsam remis imitata carinam.
Et scio quam diro metuendus araneus ore,
cæcus, et immoriens sulcis quos orbita findit.
Sepaque quadrupedi similem vitare lacertæ,
infestosque dolos salamandræ et noxia semper
vulnera, quæ rapidos gradiens intacta per ignes
non cute rimosa, pedibus non denique summis
urifur, aut flammis patitur circumflua magnis.
Sed neque me fugiunt, quæ volvit gurgite pontus,
non muræna ferox, quæ cella sæpius ima
exsiliens fremit ore truci, cymbisque relictis
piscantes miseros pelago se credere cogit.
Vipereos, undis, si vera est fama, recedens,
fertur in amplexus et virus concipit alvo.
Nec me pastinacæ, populantis et alta draconis
amuleta latent: magnos ciet illa dolores,
si piscatorem prædamque et rara trahentem
retia perstrinxit radio, telumve feracis
arboris impegit trunco, nam flaccida languet,
vulnereque accepto, ceu tabida solibus, arbos
radice arescit, foliis inhonora caducis;
at putres homini carnes liquuntur, Ulyssem
sic perhibent punctum radio cecidisse marino.
Nunc ego, quæ contra valeant, medicamina dicam.
Aut folia anchusæ lactucis æmula sume,
aut pentaphyllon, vel florida serta ruborum,
arction, oxalidasque, et longo caule lycapson,
cicamaque ordilumque virens, tundatur et una
ajuga et interno fagi de corpore cortex,
his et caucalidas demessaque semina agrestis
pastinacæ et fructum terebinthi adjunge recentem,
puniceumve etiam, qui nascitur æquore, fucum;
et numquam madidum Veneris compone capillum,
cui non insidunt effusi nubibus imbres.
Smyrniumque virens semper vel leucadis herbæ,
aut etiam eryngi tundatur spicea radix,
addere ne dubites libanotida canchry ferentem,
sed neque collybatea soporferumque papaver,
thylacis aut epitelis ab his seclusa recedant.
Indomitæ decerpe simul nova germina fici,
aut grossos etiam, quas parturit illa rotundas,
ulla prius quam se pomis convestiat arbos.

Λάζεο καὶ πυράκανθαν, ἰδὲ φλόμου ἄρρενος ἄνθην,
ἄμμιγα δ' αἰγίλωπός τε χελιδονίου τε πέτηλα,
δαύκειον, ῥίζας τε βρυώνιδος, ἣ καὶ ἔφηλιν
θηλυτέρων, ἐχθρήν τε χροὸς ὠμόρξατο λεύκην.
Ἐν δὲ περιστερόεντα κατασμώξαιο πέτηλα,
ἣ καὶ ἁλεξιάρης πτόρθους ἀπαμέργεο ῥάμνου·
μούνη γὰρ νήστειρα βροτῶν ἀπὸ κῆρας ἐρύκει.
Ναὶ μὴν παρθενίοιο νεοδρέπτους ὀροδάμνους,
κόρκορον ἢ πεταλῖτιν, ἀμέργεο πολλάκι μίλτου
Λημνίδος, ἣ πάσῃσι πέλει θελκτήριον ἄτης.
Δήποτε καὶ σικύοιο τάμοις ἐχεπευκέα ῥίζαν
ἀγροτέρου· νηδὺν δὲ καὶ ἐμβρίθουσαν ἀνίης
ἥμυνεν καὶ καρπὸς ἐϋῤῥήχου παλιούρου·
σὺν καὶ ἀκανθοβόλος χαίτη νεαλεῖς τ' ὀροβάγχοι·
σίδης θ' ὁσγινόεντας ἐπημύοντας ὀλόσχους
αὐχενίους, ἵνα λεπτὰ πέριξ ἐνερεύθεται ἄνθη·
ἄλλοτε δ' ὕσσωπός τε καὶ ἡ πολύγουνος ὄνωνις,
φύλλα τε τηλεφίοιο, νέον τ' ἐν βότρυσι κλῆμα·
ἀγλῖθες, καὶ καρπὸς ὀρειγενέος κορίοιο·
ἣ καὶ λεπτοθρίοιο πολύθρονα φύλλα κονύζης.
Πολλάκι δ' ἣ πέπερίν κόψας νέον, ἣ ἀπὸ Μήδων
κάρδαμον ἐμπίσαιο· σὲ δ' ἂν πολυανθέα γλήχων
στρύχνον τ' ἠδὲ σίνηπι κακηπελέοντα σαώσαι.
Ἄγρει καὶ πρασιῆς χλοερὸν πράσον· ἄλλοτε δ' αὐτῆς
σπέρμ' ὁλοὸν κνίδης, ἥ θ' ἑψίη ἔπλετο κούροις·
σὺν καί που νιφόεν σκίλλης κάρη, αὖά τε βολβῶν
σπείρεα, καὶ καυλεῖον ὁμοκλήτοιο δράκοντος·
ῥάμνου τ' ἀσπαράγους θαμνίτιδος· ἠδ' ὅσα πεῦκαι
ἀγρότεραι στρόμβοισιν ὑπεθρέψαντο ναπαίοις.
Εἰ δὲ σύ γ' ἐκ ποίης ἀβληχρέος ἔγχλοα ῥίζαν
θηρὸς ἰσαζομένην τμήξαις ἰωδεῖ κέντρῳ
σκορπίου, ἣ σίδας Ψαμαθηίδας, ἃς τε Τράφεια
Κῶπαί τε λιμναῖον ὑπεθρέψαντο παρ' ὕδωρ,
ἧπερ Σχοινῆός τε ῥόος Κνώποιό τε βάλλει.
Ὅσσα θ' ὑπ' Ἰνδὸν χεῦμα πολυφλοίσβοιο Χοάσπου
πιστάκι' ἀκρεμόνεσσιν ἀμυγδαλόεντα πέφανται·
καυκαλίδας, σὺν δ' αἰθὰ βάλοις φιμώδεα μύρτα,
κάρφεά θ' ὁρμίνοιο καὶ ἐκ μαράθου βρυόεντος·
εἰρύσιμόν τε καὶ ἀγροτέρου σπερμεῖ' ἐρεβίνθου,
σὺν χλοεροῖς θάμνοισι βάλοις βαρυώδεα ποίην.
Ναὶ μὴν καὶ σίσυμβρα πέλει μειλίγματα νούσων,
σὺν δὲ μελιλώτοιο νέον στέφος, ἠδ' ὅσα χαύνης
οἰνάνθης βρύα λευκὰ καταψήχουσι νομῆες,
ὅσσα τε λυχνὶς ἔνερθεν ἐρευθήεις τε θρυαλλὶς
καὶ ῥόδον ἠδ' ἴα, λεπτὸν ὅσα σπερμεῖον ἀέξει.
Ἦ καὶ πουλύγονον λασίων ὑπάμησον ἰάμνων,
ψίλωθρον καρπόν τε πολυθρήνου ὑακίνθου,
ὃν Φοῖβος θρήνησεν, ἐπεί ῥ' ἀεκούσιος ἔκτα
παῖδα, βαλὼν προπάροιθεν Ἀμυκλαίου ποταμοῖο,
πρωθήβην Ὑάκινθον, ἐπεὶ σόλος ἔμπεσε κόρσῃ
πέτρου ἀφαλλόμενος, νέατον δ' ἧραξε κάλυμμα.
Σὺν δέ τε καὶ τριπέτηλον ὁποῖό τε δάκρυα βάλλοις
τρισσοῖς ὁλκήεσσιν ἰσοζυγέων ὀβελοῖσιν·
ἠὲ σύ γ' ἕρπυλλον κεφαλιδέα, πολλάκι κρῆθμον,

Et pyracanthan habe, necnon maris injice flores
verbasci et folia ægilopisque chelidoniæque,
et daucum atque albæ radicem denique vitis,
femineo invisam quæ corpore delet ephelin.
Adde comas herbæ sacræ gratæque columbis,
accipe vel ramos arcentis noxia rhamni,
quæ vel sola truci jejunos subtrahit Orco.
Quin et parthenii viridis decerpe flagella,
corcoron aut petalitin, et hæc simul intere rubro
Lemniaco, cui pestem omnem mulcere facultas.
Et resecanda, ferus quam terra condit amaram
radicem cucumis; paliuri et fructus acuti
concepto solvit turgentia viscera morbo;
spinosæ pariter frondes tenerique orobanchi;
rubraque puniceæ nec hiantia germina mali,
qua flos purpureo gracilis velamine cingit;
hyssopus nodisque frequentibus aspera ononis,
telephiique comæ atque recens in palmite botrus,
alliaque et corii, quod montibus exit in altis,
semina, vel florens minimæ coma parva conyzæ.
Sæpe recens etiam piper aut nasturcia tunde
Medica, sed jamjam grassanti peste vietum,
puleium et strychnum mordaxque sinapi levabit,
et viride ex horto porrum urticæque nocentis
semina, qua secum juvenes colludere sueti;
adde caput scyllæ niveum, simul arida bulbi
semina cauliculumque draconis nomine dictum
et rhamni asparagos fruticosæ, quæque profundos
per nemorum saltus nucibus sunt condita pini.
Sin viridem lenis radicem legeris herbæ,
pestifero æqualem stimulo quem scorpius atrox
exerit, aut sidas, Psamathus quas atque Traphia
limosoque lacus producunt margine Copæ,
qua fusis Schœnus Cnopusque illabitur undis,
pistaciumque Indi quod fluminis ora Choaspis
gignit amygdalina pendens ex arbore forma,
caucalidas, myrtumque simul miscebis acerbam,
hirtasque hormini frondes florensque marathrum,
erysimon cicerisque agrestis semen, et ipsam
cum ramis indes graviter redolentibus herbam.
His etiam sisymbra malis sunt mite levamen,
atque meliloti flores, albæque tenella
labruscæ, in silvis quæ tundit germina pastor,
lycnideque inferna rubraque thryallide natum
atque rosæ aut violæ crescens in vertice semen.
Necnon pulygonum per consita rura legendum,
psilothrumque et flos hyacinthi flebilis, acres
qui Phœbo movit gemitus lacrimasque dolenti,
postquam apud Eurotæ mactavit flumina nolens
Tænaridem impubem, cerebrumque et mollia saxo
forte repercussus perrupit tempora discus.
Adde triphyllon et his manantem et lasere succum,
tres utriusque obolos æquali lance rependens;
cornigerumve teras serpyllum, humilemve cupressum,

ἢ ποίην κυπάρισσον ἀμέργεο, σὺν δὲ καὶ αὐτοῖς
ἄννησον Λιβυκάς τε ποτῷ ἐνικνήθεο ῥίζας·
ὧν σὺ τοτ' ἀμμίγδην, τοτὲ δ' ἄνδιχα πίνεο θρύψας
ἐν κελέβῃ, κεράσαι δὲ σὺν ὄξει, πολλάκι δ' οἴνῃ
ἢ ὕδατι· χραισμεῖ δὲ καὶ ἐνθρυφθέντα γάλακτι.
Ἦν δέ σ' ὁδοιπλανέοντα καὶ ἐν νεμέεσσιν ἀνύδροις
νύγμα κατασπέρχῃ βεβαρημένον, αὐτίκα ῥίζας
ἢ ποίας ἢ σπέρμα παρ' ἀτραπιτοῖσι χλοάζον
μαστάξειν γενύεσσιν, ἀμελγόμενος δ' ἀπὸ χυλὸν
τύμμασιν, ἠμίβρωτα βάλοις ἀπὸ λύματα δαιτὸς,
ὄφρα δύνῃ καὶ κῆρα κατασπέρχουσαν ἀλύξῃς.
Ναὶ μὴν καὶ σικύην χαλκήρεα λοιγεῖ τύψει
προσμάξας ἰόν τε καὶ ἀθρόον αἷμα κενώσεις,
ἠὲ κράδης γλαγόεντα χέας ὀπὸν, ἠὲ σίδηρον
καυστείρης θαλφθεῖσαν ὑπὸ στέρνοισι καμίνου.
Ἄλλοτε φορβάδος αἰγὸς ἐνίπλειον δέρος οἴνης
χραισμήσει τημοῦτος, ἐπὴν σφυρὸν ἢ χέρα κόψῃ,
ἀσκοῦ ἔσω βαρύθοντα μέσον διὰ πῆχυν ἐρείσας
ἢ σφυρὸν, ἀσκοδέταις δὲ πέριξ βουδῶνας ἑλίξεις,
εἰσόκε τοι μένος οἴνου ἀπὸ χροὸς ἄλγος ἐρύξῃ. [σκων,
Δή ποτε καὶ βδέλλας κορέσαις ἐπὶ τύμμασι βόσ-
ἢ ἀπὸ κρομνυόφιν στάζειν ὀπὸν, ἄλλοτε δ' οἴνης
μίγδην ἐν πυράθοισι χέας τρύγα φυρήσασθαι
ἢ ὄξους, νεαλεῖ δὲ πάτῳ περὶ τύψιν ἑλίξαις.
Ὅφρα δὲ καὶ πάσῃσιν ἀλεξητήριον ἄταις
τευξάμενος πεπύθοιο, τό τοι μέγα κρήγυον ἔσται,
ἦμος ὅτε θρόνα πάντα μιῇ ὑπὸ χειρὶ ταράξῃς.
Ἔν μὲν ἀριστολόχεια καὶ ἴριδος, ἐν δέ τε νάρδου
ῥίζαι, χαλβανίδες τε σὺν αὐαλέοις τε πυρέθροις
εἶεν, δαυκείου τε παναλθέος, ἐν δὲ βρυώνης,
σὺν δέ τε ῥιζία χαῦνα νεωρυχέος γλυκυσίδης,
κάρφεά τ' ἐλλεβόρου μελανόχροος, ἄμμιγα δ' ἀφρὸς
νίτρου, σὺν δὲ κύμινα χέαις βλαστόν τε κονύζης·
ἄμμιγα δ' ἀγροτέρης σταφίδος λέπος, ἶσά τε δάφνης
σπερμεῖον κύτισόν τε, κατακνήθειν τε χαμηλὴν
ἱππεῖον λειχῆνα, καὶ ἐν κυκλάμινον ἀγείρας.
Ἔν καὶ μήκωνος φιαρῆς ὀπὸν, ἀμφὶ καὶ ἄγνου
σπερμεῖα βλάσαμόν τε καὶ ἐν κινάμοιο βαλέσθαι,
σὺν καὶ σφονδύλειον, ἁλός τ' ἐμπληθέα κύμβην,
ἄμμιγα καὶ τάμισον καὶ καρκίνον· ἀλλ' ὁ μὲν εἴη
πτωκὸς, ὁ δ' ἐν ποταμοῖσι πολυστείοισι νομάζων.
Καὶ τὰ μὲν ἐν στύπεῖ προβαλὼν πολυχανδέος ὄλμου
μάξαι, λαϊνέοισιν ἐπιπλήσσων ὑπέροισιν·
αἶψα δ' ἐπ' αὐαλέοισι χέας ἀπαρινέα χυλὸν,
ἄμμιγα συμφύρσαιο· καταρτίζοιο δὲ κύκλους
δραχμαίους, πλάστιγγι διακριδὸν ἄχθος ἐρύσας,
οἴνης δ' ἐν δοιῇσι χαδεῖν κοτύλῃσι ταράξας.
Καὶ κεν Ὁμηρείοιο καὶ εἰσέτι Νικάνδροιο [χνη.
μνῆστιν ἔχοις, τὸν ἔθρεψε Κλάρου νιφόεσσα πολί-

sæpe etiam crethmon, miscebis anison, et una
radices Libycas medicata in pocula rades;
ex his multa simul, vel singula tunsa seorsum
in phiala vino vel aceto mista vel undis
propina, sed et ipsa juvat dissolvere lacte.
Sin te forte malus silvis sitientibus anguis
errantem oppressit morsu, mox tramite in ipso
radices natas semenve herbamve virentem
mandito, et appresso cum succum mulxeris ore,
retrimenta adhibe plagæ semesa recenti,
quo angores valeas vitare necemque minantem.
Ærea quinetiam suffixa cucurbita virus
attrahet et largum fœdata e carne cruorem;
aut succum instilla fici lactentis, et ardens
ferrum adige in vulnus raptum fervente camino.
Et caprinus uter Lenæo munere plenus
auxilio est, si dente manus violata pedesve
tabifico, mersi medio teneantur in illo,
atque arcte utrinis constrinxeris inguina vinclis,
dum vino cedat pestis scelerata trabenti.
Vulnereque ex ipso sugens saturetur hirudo,
aut succum cepis expressum infunde, fimumve
caprillum vini vel aceti fæce solutum
circumpone, novoque obducito stercore vulnus.
Jam tibi quo valeas cunctas depellere pestes
egregium hoc medicamen erit, cui fidere possis,
pharmaca si in solidam glomeraveris omnia massam.
Iridis hæc inter radix et aristolochia
nardusque et siccis sint galbana mista pyrethris,
et daucus multisque bryonia clara medelis,
et parva haud pridem glycysides eruta radix,
aridaque hellebori nigri coma spumaque nitri;
adde cumina simul stirpemque adjunge conygæ,
agrestis staphidis cum cortice et ignea lauri
pondere grana pari, cytisum, jungas cyclaminum
lichenemque humilem tritum, cui nomen equini est.
Succus ad hæc opii pinguis, tum semina castæ
viticis accedant et cinnamon atque sabæa
balsama spondylionque, salis quoque concha marini;
una etiam leporis compone coagula, et undis
dulcibus innantem cancrum fluviosque colentem.
Arboris hæc duræ trunco congesta cavato
intere pistillis lævi de marmore cæsis;
quumque simul subiges, aparines sæpe liquorem
instilla siccis et drachmæ pondere panes
fingito, suspendens æquato examine lances,
et vini heminis infusos solve duabus.
Tu jam Nicandri vivas memor usque poetæ,
hiberna Clarii genitrix quem sustulit urbe.

ΝΙΚΑΝΔΡΟΥ

ΑΛΕΞΙΦΑΡΜΑΚΑ.

Εἰ καὶ μὴ σύγκληρα κατ' Ἀσίδα τείχεα δῆμοι
τύρσεσιν ἐστήσαντο, τέων ἀνεδέγμεθα βλάστας
Πρωταγόρη, δολιχὸς δὲ διάπροθι χῶρος ἐέργει,
ῥεῖά κέ τοι ποσίεσσιν ἀλέξια φαρμακοέσσαις
αὐδήσαιμ', ἅτε φῶτας ἐνιχριμφθέντα δαμάζει.
Ἦ γὰρ δὴ σὺ μὲν ἄγχι πολυστροίβοιο θαλάσσης
ἄρκτον ὑπ' ὀμφαλόεσσαν ἐνάσσαο, ᾗχί τε Ῥείης
Λοβρίνης θαλάμαι τε καὶ ὀργαστήριον Ἄττεω·
αὐτὰρ ἐγὼ τόθι παῖδες ἐϋζήλοιο Κρεούσης
πιστάτην ἐδάσαντο γεωμορίην ἠπείρου,
ἕζόμενοι τριπόδεσσι παρὰ Κλαρίοις Ἑκάτοιο.
Ἀλλ' ἤτοι χολόεν μὲν ἰδὲ στομίοισι δυσαλθὲς
πνυθείης ἀκόνιτον, ὃ δή ῥ' Ἀχερωΐδες ὄχθαι
φύουσιν, τόθι χάσμα δυσέκδρομον Εὐβουλῆος,
ἄστυρά τε Πριόλαο καταστρεφθέντα δέδουπε.
Τοῖο δὲ πάντα χαλινὰ καὶ οὐρανόεσσαν ὑπήνην
οὖλά θ' ὑποστύφει χολόεν ποτόν· ἀμφὶ δὲ πρώτοις
εἱλύεται στέρνοισι, κακῇ ἀλάλυγγι βαρῦνον
φῶτ' ἐπικαρδιόωντα· δύῃ δ' ἐπιδάκνεται ἄκρον
νειαίρης ἄκλειστον ἀειρόμενον στόμα γαστρὸς,
τεύχεος ἣν κραδίην ἐπιδόρπιον, οἱ δὲ δοχαίην
κλείουσι στομάχοιο· πύλη δ' ἐπικέκλιται ἀρχαῖς
πρῶτα κόλων, ὅθι πᾶσα βροτῶν ἅλις ἐμφέρεται δαῖς.
Αἰεὶ δ' ἐκ φαέων νοτέων ὑπολείβεται ἰδρώς·
ἡ δὲ ταρασσομένη τὰ μὲν ἔβρασεν ἠλιθα νηδὺς
πνεύματα, πολλὰ δ' ἔνερθε κατὰ μέσον ὀμφαλὸν ἴζει·
κράατι δ' ἐν βάρος ἐχθρὸν, ὑπὸ κροτάφοισι δὲ παλμὸς
πυκνὸς ἐπεμφέρεται· τὰ δὲ διπλόα δέρκεται ὄσσοις,
οἷα χαλικραίῃ νύχιος δεδαμασμένος οἰνῇ.
Ὡς δ' ὁπότ' ἀγριόεσσαν ὑποθλίψαντες ὀπώρην
Σιληνοὶ κεραοῖο Διωνύσοιο τιθηνοὶ
πρῶτον ἐπαφρίζοντι ποτῷ φρένα θωρηχθέντες,
ὄθμασι δινήθησαν, ἐπὶ σφαλεροῖσι δὲ κώλοις
Νυσαίην ἀνὰ κλιτὺν ὑπέδρομον ἀφραίνοντες·
ὣς οἵγε σκοτόωσι κακῇ βεβαρηότες ἄτῃ.
Τὴν μέν τε κλείουσι μυοκτόνον· ἦ γὰρ ἀνιγροὺς
παμπήδην ὕρακας λιχμήρεας ἠρήμωσεν·
οἱ δέ τε πορδαλιαγχὲς, ἐπεὶ θήρεσσι πελώροις
πότιμον βουπελάται τε καὶ αἰγονομῆες ἔθεντο
Ἴδης ἐν κνημοῖσι, Φαλακραίης ἐνὶ βήσαις·
πολλάκι θηλυφόνον καὶ κάμμορον· ἐν δ' ἀκοναίοις
θηλείην ἀκόνιτον ἀνεβλάστησεν ὀρόγκοις.
Τῷ καί που τιτάνοιο χερὸς βάρος ἔσσεται ἄρκος
πιμπλαμένης, ὅτε νέκταρ ἐνὶ τρυβλικιρρὸν ἀφύσσῃς
μετρηδόν· κοτύλη δὲ πέλοι καταμέστιος οἴνης·
σὺν δὲ καὶ ἀβροτόνοιο ταμὼν ἀπὸ καυλέα θαμνοῦ
καὶ χλοεροῦ πρασίοιο, τὸ δὴ μελίφυλλον ὀδεῦσι·

NICANDRI

ALEXIPHARMACA.

Sint quamvis Asiæ procul a se dissita latæ
mœnia, queis urbes nostri cinxere parentes,
Protagora, atque illas spatium disterminet ingens,
at facile ipse tibi poti amuleta veneni,
quo miseri pereunt mortales, carmine dicam.
Tu prope ventosum pelagus mediaque sub Arcto
Cyzicios, ubi sacra Rheæ specus, incolis agros,
infelixque Attes magna Jovis occidit ira;
ast ego, ubi Epiri pinguissima rura Creusæ
progenies partita fuit, Phœboque sacratos
fatidicos habito ad tripodas Clariique lacunam.
Fellea sed primum rarisque evicta medelis
cognoscas aconita, cavo quæ littore sævus
fert Acheron, Priolai ubi diruta mœnia quondam
constiterant, vastoque patet via Ditis hiatu.
Illa quidem os totum gingivarumque locellos
et testudineum constringunt hausta palatum,
grassantur circum præcordia summa, gravique
errore infestant: morsus in corde molestos
oreque ventriculi pariunt sublata patenti,
quod cor ventriculi quidam cellamque vocarunt;
crassaque clauduntur magno intestina dolore,
in quæ præcipites potusque cibique feruntur.
Perpetuo ex oculis madidus delabitur humor,
ipse etiam venter flatus modo ructat ab ore
innumeros, media clausos modo detinet alvo;
est capitis gravitas, tempus vehementer utrumque
palpitat, apparet geminum quodcunque videtur,
sicut nocte solent, qui vina bibere meraca.
Aut veluti expressis Sileni agrestibus uvis,
cornibus insignem qui nutrivere Lyæum,
postquam tentarunt spumantia pocula mentem,
primum oculis variant, titubantes inde per imas
incedunt Nyssæ malefidis gressibus oras:
talis eos premit epoto vertigo veneno.
Hoc etiam quidam dixere myoctonon, omnes
quod perimat, qui sint ausi delingere, mures;
pardalianches et huic nomen posuere, quod illo
pastorum insidiis infecta carne veneno
pantheræ pereant celsis in collibus Idæ;
thelyphononque vocant et cammoron; ast aconiton
cautibus in duris per montes nascitur altos.
Accipe sed calcem, quantum comprendere pugno
ipse potes, fulvi cotulamque infunde falerni:
sic mortem effugies diræque medebere pesti;
nec minus abrotoni ramosum abscindito thyrsum,
marrubiique, meliphyllon dixere, virentis;

καί τε σὺ ποιήεντος ἀειθαλέος χαμελαίης
βλάστην, πηγάνιόν τε πίοις ἐνὶ βάμμασι σίμβλων·
σβεννύς τ' αἰθαλόεντα μύδρον γενύεσσι πυράγρης,
ἠὲ σιδηρήεσσαν ἀπὸ τρύγα, τήντε καμίνων
ἔντοσθεν χοάνοιο διχῇ πυρὸς ἤλασε λιγνὺς,
ἄλλοτε δὲ χρυσοῖο νέον βάρος ἐν πυρὶ θάλψας,
ἠὲ καὶ ἀργύρεον, θολερῷ ἐνὶ πώματι βάπτοις.
Πολλάκι δ' ἡμιδαὲς χειρὸς βάρος αἴνυσο θρίων
παῦρα χαμαιπίτυος, τότ' ὀνίτιδος αὖον ὀρείης,
ἠὲ νέον ῥάδικα πολυκνήμοιο κολούσας
τέτρασιν ἐν κυάθοισι χαδεῖν μελιηδέος οἴνου·
ἠέ τι μυελόεντα χαλικρότερον ποτὸν ἴσχοις
ὄρνιθος στρουθοῖο κατοικάδος, εὖθ' ὑπὸ χύτρῳ
γυῖα καταθρύπτῃσι βιαζομένης πυρὸς αὐγῇς·
καί τε βοὸς νέα γέντα περιφλιδώντος ἀλοιφῇ
τηξάμενος, κορέσαιο ποτῷ εὐχανδέα νηδύν·
ναὶ μὴν καὶ βλασάμοιο τότ' ἐν σταγόνεσσι γάλακτος
θηλυτέρης πώλοιο χέας ὀπὸν, ἄλλοτε νύμφαις,
εὖτ' ἂν ὑπὲκ φάρυγος χεύῃ παναεργέα δόρπον.
Πολλάκι δὲ σκίνακος δερκευνέος, ἢ ἀπὸ νεβροῦ
πυετίην τμήξαιο, πόροις δ' ἐνὶ νέκταρι φύρσας·
ἄλλοτε καὶ μορέης ἀπὸ ῥιζία φοινικοέσσης
ὅλμου ἐνὶ στύπεῖ προβαλὼν καὶ ὁμήρεα κόψας
οἴνῳ, ἐνεψηθέντα πόροις καμάτοισι μελίσσης·
καί κεν ἐπικρατέουσαν ἐπαχθέα νοῦσον ἀλάλκοις
φωτὸς, ὁ δ' ἀσφαλέεσσι πάλιν μετὰ ποσσὶν ὁδεύοι.
Δεύτερα δ' αἰγλήεντος ἐπιφράζευ πόσιν ἐχθρὴν
κιρναμένην ὁλοοῦ ψιμυθίου, ἤτε γάλακτι
πάντοθεν ἀφρίζοντι νέην εἰδήνατο χροιὴν
πελλίσιν ἐν γρώνῃσιν, ὅτ' εἴαρι πῖον ἀμέλξαις.
Τοῦ μὲν ὑπὲρ γένυάς τε, καὶ ᾗ ῥυσσαίνεται οὖλα
ἀφρὸς ἐπιστύφων ἐμπλάσσεται· ἀμφὶ καὶ ὀλκὸς
τέτρηχε γλώσσης, νέατος δ' ὑποκάρφεται ἰσθμός·
ξηρὰ δ' ἐπιλύζων ὁλοῇ γελλύσεται ἀτῇ·
ἀβλεμὲς ᾗ γὰρ ἐκεῖνο πέλει βάρος· αὐτὰρ ὁ θυμῷ
ναυσιόεις ὀλοῖσιν ὑποτρύει καμάτοισι·
πολλάκι δ' ἐν φαέεσσιν ἄλην ἑτερειδέα λεύσσων,
ἄλλοτε δ' ὑπναλέος ψύχει δέμας· οὐδέ τι γυῖα
ὡς τὸ πάρος δονέει, καμάτῳ δ' ὑποδάμναται εἴκων.
Τῷ καὶ πρημαδίης ἢ ὀρχάδος εἶαρ ἐλαίης
ἢ ἔτι μυρτίνης σχεδίην δεπάεσσιν ὀρέξαις,
ὄφρ' ἂν ὀλισθήνασα χέῃ κακὰ φάρμακα νηδύς·
ἠὲ σύ γ' οὐθατόεντα διοιδέα μαζὸν ἀμέλξας
ῥεῖα πόροις· φιαρὴν δὲ ποτοῦ ἀποαίνυσο γρῆϋν.
Καὶ δὲ σύ γ' ἢ μαλάχης ῥαδάμνους ἢ φυλλάδα τήξας
χυλῷ ἐνὶ κλώθοντι κακηπελέοντα κορέσσαις.
Πολλάκι σήσαμα κόπτε, πόροις δ' ἐν νέκταρι καὶ τά·
ἠὲ σὺ κληματόεσσαν ἐν ὕδατι πλύνεο τέφραν
θαλπομένην, τὸ δὲ βύμμα νεοπλεκέος καλάθοιο
κόλποις ἰκμήνειας· ὁ γάρ τ' ἀναδέξεται ἰλύν.
Καί τε κατατριφθέντα μετ' ἀργήεντος ἐλαίου
σκληρ' ἀπὸ περσείης κάρυα βλάβος, οἷον ἐρύξει,
Περσεὺς ἦν ποτε ποσσὶ λιπὼν Κηφηίδα γαῖαν,
αὐχέν' ἀποτμήξας ἅρπῃ γονόεντα Μεδούσης,

atque chamælæi fruticis frondentia semper
germina, vel rutam cum dulci combibe mulsa;
forcipibus prensum candens extinguito ferrum,
aut ferri fæcem rigidi, quam ardente camino
separat impuram pellitque acerrimus ignis;
quinetiam argenti fuit utile pondus et auri,
ignibus accensum et mersum stridentibus undis.
Quod si dimidium foliorum sumere pugnum
terrestris piceæ cupias et onitida siccam,
sive polycnemi radicem legeris; ista
profuerint cyathis cum vini exhausta quaternis;
tuque cohortali præstans medicamen habebis
ex gallo, quem urens et aheno subditus ignis
coxerit, in tenuemque liquarit membra medullam;
pocula sint etiam quibus exsaturere, liquamen
excocti vituli atque in pinguia jura soluti;
lacte etiam liquidum, quem sudant balsama, succum
femineo aut unda fluviali dilue, postquam
compuleris vomitu crudum decedere virus.
Eximere et lepori timidove coagula damæ
expedit, et tenui resoluta bibisse falerno;
vel tu sanguineæ radices accipe mori,
ictibus et crebris in robore pinse cavato,
atque mero incoctas cum lento porrige melle.
Pellere sic poteris grassantem in viscera morbum,
quique bibit, pedibus rursum consistere firmis.

Nunc ad cerussæ lethalia pocula mentem
adverte; illa alba est niveoque simillima lacti,
quod spumam late attollit, quum tempore verno
rure revertentes implent mulctralia vaccæ.
Gingivæ rugis et totis undique malis
insidet adstringitque; hinc lingua est aspera, et isthmus
faucibus extremis aret, morboque fatiscens
æger inexpletum tussit, nec sputa sequuntur;
huic caput infirmum nutat, tum nausea tristis
urget, et extremo franguntur membra labore;
falsa modo ante oculos rerum simulacra videntur,
nunc sopor algentes multum complectitur artus,
robore defectos, nec corpus, ut ante, moventes.
At præbe subito, pinguem quem myrtea succum,
premadia, aut orchas compressa emittit oliva,
lubrica ut obscenum virus labatur ab alvo;
aut lac, quod pingui tumidoque ex ubere vaccæ
mulsisti, nudum rugis concede revulsis;
aut malvæ excoctis ramis foliisque tenellæ,
exple cerussata tenaci viscera potu;
tritaque Lenæo confundas sesama dulci;
nec non sarmenti calidis perfundito lymphis,
et per vimineum cinerem colato canistrum,
ut nitida excluso fiat lixivia limo.
Tunsa quoque interdum quæ Persea protulit ossa,
palladio noxam depellent mixta liquori;
hanc olim Perseus postquam Cepheia liquit
arva et fecundæ præcidit colla Medusæ,

βεῖα Μυκηναίῃσιν ἐνηέξησεν ἀρούραις,
Κηφῆος νέα δῶρα, μύκης ὅθι κάππεσεν ἅρπης,
ἄκρον ὑπὸ πρηῶνα Μελανθίδος, ἔνθα τε νύμφη
Λαγγεία πόμα κεῖνο Διὸς τεκμήρατο παιδί.
Πολλάκι δ' ἐνθρύψειας ἐν ὀπταλέῃσιν ἀκοσταῖς
Γερβαίης λιβάνοιο χύσιν περιπηγέα θάμνοις·
καί τε σύ γ' ἢ καρύης ἄπο δάκρυον ἢ ἀταλύμνου,
ἢ πτελέης, ὅτε πολλὸν ἀεὶ καταλείβεται ὄσχαις,
κόμμι, τὰ δὲ χλιόωντι ποτῷ ἐπαρωγέα τήξαις,
ὄφρα τὰ μέν τ' ἐρύγῃσι, τὰ δ' ἕψητοῖσι δαμασθεὶς,
ἀλθήσῃ ὑδάτεσσιν, ὅτ' ἰκμήνῃ δέμας ἱδρώς·
καί κεν ὄγ' ἄλλοτε δόρπα δεδεγμένος, ἄλλοτε δ' οἴνης
πιοτέρης κορέοιτο, καὶ ἀλκέα πότμον ἀλύξαι.
Μὴ μὲν κανθαρίδος σιτηδόρου εὖτ' ἂν ὀδώδῃ
κεῖνο ποτὸν δέξαιο χυτῇ ἐναλίγκια πίσσῃ·
πίσσης γὰρ ῥώθωσιν ἄγει βάρος, ἐν δὲ χαλινοῖς
οἷά τε δὴ καρφεῖα νέον βεβρωμένα κέδρου.
Αἳ δ' ὅτε μὲν πλαδόωντι ποτῷ ἐπὶ χείλεσι δηγμὸν
τεύχουσιν, τότε δ' αὖτε περὶ στόμα νείατα γαστρός·
ἄλλοτε καὶ μεσάτῃ ἐπιδάκνεται ἄλγεσι νηδύς,
ἢ κύστις βρωθεῖσα· περιψαύουσι δ' ἀνίαι
θώρηκος, τόθι χόνδρος ὑπὲρ κύτος ἔζετο γαστρός·
αὐτοὶ δ' ἀσχαλόωσιν, ἄλη δέ φιν ἦθεα φωτὸς
ἄψυχος πεδάει· ὁ δ' ἀελπέα δάμναται ἄταις·
οἷά τε δὴ γήρεια νέον τεθρυμμένα πάππου
ἠέρ' ἐπιπλάζοντα διαψαίρουσιν ἀέλλαις.
Τῷ δὲ σὺ πολλάκι μὲν γληχὼ ποταμηΐσι νύψαις
ἐμπλήσῃν κυκεῶνα πόροις ἐν κύμβεῖ τεύξας,
νηστείρης Δηοῦς μορόεν ποτὸν, ᾧ ποτε Δηὼ
λευκανίην ἔδρεξεν ἀν' ἄστυρον Ἱπποθόωντος,
Θρηΐσσης ἀθύροισιν ὑπὸ ῥήτρῃσιν Ἰάμβης.
Δή ποτε δ' ἢ σιάλοιο καρήατος ἠὲ καὶ ἀμνοῦ
ἀμμίγδην σπεράδεσσιν ἐϋτροχάλοιο λίνοιο·
ἠὲ νέον κορσεῖα ταμὼν κεράεντα χιμαίρης,
ἠέ τί που γηνὸς μορόεν ποτὸν αἴνυσο χύτρου,
εἰς δ' ἔμετον κορέσαιο, τὰ δ' ἀθρόα νειόθι βράσσαις
ἐμματέων ἔτ' ἄπεπτα πύλῃ μεμιασμένα δόρπα.
Πολλάκι δ' ἐν κλυστῆρι νέον γλάγος οἷὸς ἀμέλξας
κλῦζε, τὰ δ' ἤλιθα γαστρὸς ἀφόρδια κεινώσειας·
ἀλλοτ' ἀλυσθαίνοντι ποθὲν γάλα πῖον ἀρήξει·
ἠὲ σύ γ' ἀμπελόεντα γλύκει ἐνὶ καυλέα κόψαις,
χλωρὰ νέον πετάλοισι περιβρίθοντα κολούσας·
ἠὲ μελισσάων καμάτῳ ἔνι παῦρα μορύξαις
σκορπιόεντα ταμὼν ψαφαρῆς ἐκ ῥίζια γαίης
αἰὲν κεντρήεντα· πόη γε μὲν ὕψι τέθηλεν,
οἵη περ μολόθουρος, ἔνισχνα δὲ καυλέα βάλλει.
Καὶ δὲ σὺ δραχμάων πισύρων βάρος αἴνυσο γαίης
Παρθενίης, ἣν Φυλλὶς ὑπὸ κνημοῖσιν ἀνῆκεν
Ἰμβρασίδος γαίης χιονώδεος, ἥντε κεράστης
ἀμνὸς Χησιάδεσσι νέον σημήνατο νύμφαις,
Κερχετέῳ νιφόεντος ὑπὸ σχοινώδεσιν ὄχθαις·
ἢ καὶ σιραίοιο πόσιν διπληθέα τεύξαις·
σὺν δέ τε πηγανόεντας ἐνιθρύψειας ὁράμνους,
ὀργίζων λίπτεϊ ῥοδέῳ θρόνα, πολλάκι χραίνοις

Cephei nova dona, Mycenis intulit agris,
ensis ubi capulus cecidit, quem Græca Mycetem
lingua vocat, super alta Melanthidis, hunc ubi potum
Langia inventum nato monstravit Abantis.
Illam etiam in ptisana persæpe liquato, Sabæi,
quæ libani ramos concrescit lacrima circum;
aut cape gummosam, quæ stillat de nuce, guttam,
vel quæ ulmi patulis in ramis aut atalymni
plurima inest, tepidoque humore soluta juvabit,
ut partem vomitu, partemque calentibus undis
pellat, ubi expressus manarit corpore sudor;
quin satur ille cibis, hic læti munere Bacchi,
vitabit poti metuenda pericla veneni.
Heus fuge cantharidum, si quando olfeceris, haustum;
ille picis liquidæ tætrum diffundit odorem
naribus, et cedro similis versatur in ipso
ore sapor, quum quis mandit virgulta virentis.
Qui bibit hunc multo perfusum humore, molestos
in labiis morsus atque ima sentit in alvo;
nec minor exercet mediam dolor, horrida surgunt
ulcera vesicæ, compressum pectus anhelat,
qua super ossa cavo incumbunt mollissima ventri;
ira venit vehemens, mentemque tenet malus error
captam, dum virus præter spem pascitur artus;
ac veluti excussi volitant per inania pappi
et vento diversi abeunt, sic mente feruntur.
Sed tu pulejum misce fluvialibus undis,
atque imple tristi, quæ sicces, cymbia potu
jejunæ Cereris, quo quondam fertur inanem
ventriculum satiasse pii Hippothoontis in urbe,
quum de Threiciæ salibus rideret Iambes.
Pinguia nonnunquam porci cerebella vel agni
cocta diu sumas teretis cum semine lini,
tempora vel capræ, quæ vixdum cornua gessit,
divide, percoctove ex ansere confice potum;
quæ tu multa vota, dum crudo in ventre morantes
impurasque dapes cogas exire vomendo.
Sæpe etiam ventrem teneræ perfunde capellæ
lacte novo, ut sordes multas fæcemque remittat;
sin bibere hoc mavis, nihil est præstantius illo;
aut virides vitis ramos decerpe, rerenter
indutos foliis, miti quos intere passo.
Asperaque et semper spinis horrentia duris
infunde in flavo radicis frustula melle,
quæ caulem in sicca sublimem tollit arena
asphodelo similem, gracilisque excrescit in altum.
Vel tu Partheniæ drachmarum pondera terræ
quatuor accipias, quam Phyllis collibus altis
Imbrasiæ profert, et quam, quæ cornua gestat,
fertur Chesiadis pecus ostendisse puellis
juxta Cercetii juncosa fluenta nivosi.
Purpureamve sapam geminato pondere sumes,
atque intrita simul miscebis germina rutæ,
sed prius irino, prius et perfusa rosato;

Ἰρινέῳ, τό τε πολλὸν ἐπαλθέα νοῦσον ἔτευξεν.
Ἤν γε μὲν οὐλόμενόν γε ποτὸν κορίοιο δυσαλθὲς
ἀφραδέως δεπάεσσιν ἀπεχθομένοισι πάσηται,
οἱ μέν τ' ἀφροσύνῃ ἐμπληγέες, οἷά γε μάργοι
δήμια λαβράζουσι, παραπλῆγές θ' ἅτε Βάκχαι,
ὀξὺ μέλος βοόωσιν ἀταρμύκτῳ φρενὸς οἴστρῳ.
Τῷ μέν τ' ἐξ ἑδανοῖο πόροις δέπας ἔμπλεον οἴνης
Πράμνιον αὐτοκρηὲς, ὅπως ὑπετύψατο ληνοῦ·
ἢ νύμφαις τήξαιο βαλὼν ἁλὸς ἔμπλεα κύμβην·
πολλάκι δ' ὀρταλίχων ἁπαλὴν ὠδῖνα κενώσας
ἀφρὸν ἐπεγκεράσαιο, θοοῦ δορπήϊα κέπφου·
τῷ γὰρ δὴ ζωήν τε σαοῖ καὶ πότμον ἐπισπεῖ,
εὖτε δόλοις νήχοντα κακοφθόρα τέκν' ἁλιήων
οἰωνὸν χραίνωσιν, ὁ δ' ἐς χέρας ἔμπεσε παίδων,
θηρεύων ἀφροῖο νέην κλύδα λευκαίνουσαν.
Καί τε σύ γ' ἀγλεύκην βάψαις ἰόεντα θάλασσαν,
ἤντε καὶ ἀτμεύειν ἀνέμοις πόρεν Ἐννοσίγαιος
σὺν πυρί· καὶ γὰρ δὴ πνοιαῖς συνδάμναται ἐχθραῖς·
πῦρ μὲν ἀείζωον καὶ ἀχύνετον ἔτρεσεν ὕδωρ
ἀργέστας· καί ῥ' ἡ μὲν ἀκοσμήεσσα, φιλοργὴς,
δεσπόζει νηῶν τε καὶ ἐμφθορέων ἀϊζηῶν,
ὕλη δ' ἐχθομένοιο πυρὸς κατὰ θεσμὸν ἀκούει.
Ναὶ μὴν ἀτμένιόν τε κεραιόμενον λίπος οἴνῃ,
ἢ χιόνι γλυκέος μίγδην πόσις ἅλγος ἐρύξει,
ἦμος ὑπὸ ζάγκλῃσι περιῤῥίθουσαν ὀπώρην
ῥυσσαλέην ἑδανοῖο καὶ ἐκ ψιθίης ἐλίνοιο
κείροντες θλίβωσιν, ὅτε ῥοιζηδὰ μέλισσαι,
πεμφρηδὼν, σφῆκές τε, καὶ ἐκ βέμβικες ὄρειαι
γλεῦκος ἅλις δαίνυνται ἐπὶ ῥάγεσσι πεσοῦσαι,
πιοτέρην ὅτε βότρυν ἐσίνατο κηκὰς ἀλώπηξ.
Καί τε σὺ κωνείου βλαβόεν τεκμαίρεο πῶμα·
κεῖνο ποτὸν δὴ γάρ τε καρήατι φοινὸν ἰάπτει,
νύκτα φέρον σκοτόεσσαν· ἐδίνησεν δὲ καὶ ὄσσε·
ἴχνεσι δὲ σφαλεροί τε καὶ ἐμπλάζοντες ἀγυιαῖς
χερσὶν ἐφερπύζουσι· κακὸς δ' ὑπὸ νείατα πνιγμὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται οἶμον·
ἄκρα δ' ἐπιψύχει, περὶ δὲ φλέβες ἔνδοθι γυίων
ῥωμαλέαι στέλλονται· ὁ δ' ἠέρα παῦρον ἀτίζει,
οἷα κατηβολέων· ψυχὴ δ' ἀΐδωνέα λεύσσει.
Τὸν μέν τ' ἢ λίπεος κορέοις ἢ ἀμισγέος οἴνης,
ὄφρα κεν ἐξερύγῃσι κακὴν καὶ ἐπώδυνον ἄτην·
ἦὲ σύ γε κλυστῆρος ἐνεὶς ὁπλίζεο τεῦχος·
πολλάκι δ' ἢ οἴνης ἀμιγῆ πόσιν, ἢ ἀπὸ δάφνης
Τεμπίδος, ἢ δαύκοιο φέροις ἐκ καυλέα κόψας,
ἢ πρώτη Φοίβοιο κατέστεφε Δελφίδα χαίτην·
ἢ πέπερι κνίδης τε μέγα σπερμεῖα λεήνας
νείμειας, τοτὲ νέκταρ ὀπῷ ἐμπευκέϊ γράνας·
δή ποτε δ' ἰρινέου θυέος μετρηδὸν ὀρέξαις,
σίλφιά τ' ἐνθρυφθέντα μετ' ἀργήεντος ἐλαίου·
ἐν δὲ μελιζώρου γλυκέος πόσιν, ἐν δὲ γάλακτος
ἀφριόεν νέμε τεῦχος ὑπὲρ πυρὸς ἠρέμα θάλψας.
Καί κεν λοιγήεντι παρασχεδὸν ἄχθος ἀμύνοις
τοξικῷ, εὖτ' ἀχέεσσι βαρύνηται ποτῷ ἀνήρ·
τοῦ καὶ ἔνερθε γλῶσσα παχύνεται· ἀμφὶ δὲ χείλη

et morbi facilis reddetur cura maligni.
Si quisquam imprudens graviter redolentia tætri
et vix cedentis coriandri pocula cepit,
ille amens stupidusque insani more pudenda
passim deblaterat, furiali et percitus œstro
asper, acerba tonans, Baccharum imitatur Erinnya.
At contra suavi carchesia plena falerno
exhibe, ut hoc primum fuderint torcula purum;
aut solves massam salis humectantibus undis;
siccum etiam ovorum miscebis sæpe putamen
candenti spumæ; fulicæ gratissima longe
esca illa est, cui mortem adfert vitamque tuetur;
namque hac insidias piscator fraude volucri
molitur miseræ, quæ dum comprendere tentat
ore avido spumam fluitantem, in retia fertur.
Necnon et pelagi salsis immerge fluentis
qui corion biberit; pontum Neptunus et ignem
ventorum levibus voluit servire procellis,
in partesque rapi varias metuentia ventos;
at maris imperio tumidi longæque carinæ
et juvenes parent, qui per vada cæca feruntur,
silva inimico igni naturæ subdita lege est.
Vinum etiam liquido permistum tollet olivo
omne malum atque nivis cum musto potio dulci,
quando falce gravem et maturam vinitor uvam
incurvus resecat psithiaque e vite racemos
conculcat pedibus, quum denso examine fuci
magno cum strepitu, pemphredo, vespaque succum
crabronesque bibunt uvarum, ex monte ruentes,
atque maligna nocet plenæ vulpecula viti.
Tu quoque signa malæ jam contemplere cicutæ:
hæc primum tentat caput et caligine densa
involvit mentes, oculi vertuntur in orbem;
genua labant, quodsi cupit ocyus ire, caducum
sustentant palmæ corpus; faucesque premuntur
obsessæ, et colli tenuis præcluditur isthmus;
extremi frigent artus, latet abditus imis
in venis pulsus, nihil inspiratur ab ore;
fata instant, Ditemque miser jamjam adspicit atrum.
Ast oleo hunc satura nec vino parce meraco,
ut vomitu redeat demissum in pectora virus;
clysteremque pares, quem ventris in ima recondas;
sæpe merum per se vel caules porrige lauri,
quam Tempe gignunt, qua primum pulcer Apollo
dicitur intorta crines cinxisse decoros;
vel piperi urticæ semen miscebis acuto
et vinum succo, quem Cyrenaica mittit;
irinique parum, gratum spirantis odorem,
præbe et cum claro calidum tere laser olivo;
mulsa quoque expediet, necnon spumantia lacte
cymbia, si modico tepefacta calore bibantur.
Toxica si potu sævum fecere dolorem,
protinus immiti properes succurrere noxæ:
lingua homini inflatur, distentaque labra tumorem

οἰδαλέα βρίθοντα περὶ στομάτεσσι βαρύνει·
ξηρὰ δ' ἀναπτύει, νεόθεν δ' ἐκρήγνυται οὖλα·
πολλάκι δ' ἐς κραδίην πτοίην βάλε, πᾶν δὲ νόημα
ἔμπληκτον μεμόρηκε κακῇ ἐσφαλμένον ἄτῃ·
αὐτὰρ ὃ μηκάζει μανίης ὕπο μυρία φλύζων·
δηθάκι δ' ἀχθόμενος βοάᾳ, ἅ τις ἐμπελάδην φὼς
ἀμφιβρότην κώδειαν ἀπὸ ξιφέεσσιν ἀμηθείς·
ἢ ἅτε κερνοφόρος ζάκορος βωμίστρια Ῥείης,
εἰνάδι λαοφόροισιν ἐνιχρίμπτουσα κελεύθοις,
μακρὸν ἐπεμβοάᾳ γλώσσης θρόον, οἱ δὲ τρέουσιν
Ἰδαίης ῥιγηλὸν ὅτ' εἰσαΐωσιν ὑλαγμόν·
ὣς ὃ νόον λύσσῃ ἐσφαλμένα βρυχανάαται
ὠρυδὸν, λοξαῖς δὲ κόραις ταυρώδεα λεύσσων,
θήγει λευκὸν ὀδόντα, παραφρίζει δὲ χαλινοῖς.
Τὸν μὲν καὶ δεσμοῖσι πολυστρέπτοισι πιέζας
νέκταρι θωρήξαιο, καὶ οὐ χατέοντα κορέσκων·
ἧκα βιησάμενος· διὰ δὲ στόμα βρυκὸν ὀχλίζοις,
ὄφρ' ἂν ὑπεξερύγῃσι δαμαζόμενος χερὶ λώβην·
ἠὲ σὺ βοσκαδίης χηνὸς νέον ὀρταλιχῆα
ὕδασιν ἐντήξαιο πυρὸς μεμορημένον αὐγαῖς·
καί τε σὺ μηλείης ῥηχώδεος ἄγρια κάρφη,
οὔρεσιν ἐνθρεφθέντα, πόροις, ἀπὸ σίνεα κόψας,
ἠέ τι καὶ κλήροισιν ἐπήβολα, τοῖά περ ὧραι
εἰαριναὶ φορέουσιν ἐνεψιήματα κούραις·
ἄλλοτε δὲ στρούθεια, τότε βλοσυροῖο Κυδῶνος
κεῖνο φυτὸν Κρήτηθεν, ὃ δή ῥ' ἐκόμισσαν ἄναυροι,
πολλάκι δὴ σφύρῃσιν ἅλις ἐναλλέα κόψας,
ὕδασιν ἐμβρέξαιο· νέην δ' ὀσμήρεα γληχὼ
σπέρμασι μηλείοισι βάλοις ἐνομήρεα φύρων·
καί τε σύ γ' ἢ ῥοδέου θυόεν μαλλοῖσιν ἀφύσσων
παῦρα λίπος στάζειας ἀνοιγομένοις στομάτεσσιν
ἠὲ καὶ ἰρινέοιο· μόγις δέ γε μυρί' ἐπιτλὰς
ἥμασιν ἐν πολέεσσιν ἀκροσφαλὲς ἴχνος ἰήλαι
ἀσφαλέως, πτοιητὸν ἔχων ἑτεροπλανὲς ὄθμα.
Τῷ μὲν Γερραῖοι Νομάδες χαλκήρεας αἰχμὰς,
οἵτε παρ' Εὐφρήταο ῥόον πολέοντες ἀρούρας
χραίνουσιν· τὸ δὲ πολλὸν ἀναλθέα τραύματα τεύχει·
σάρκα μελαινομένην πικρὸς δ' ὑποδόσκεται ὕδρωψ,
ᾧ σηπόμενον δὲ μύδῳ ἐκρήγνυται ἕρφος.
Ἥν δὲ τὸ Μηδείης Κολχηΐδος ἐχθόμενον πῦρ
κεῖνό τις ἐνδέξηται ἐφήμερον, οὗ περὶ χείλη
δευομένου δυσάλυκτος ἰάπτεται ἔνδοθι κνηθμός·
οἷά τ' ὀπῷ νιφόεντι κράδης ἢ τρηχέϊ κνίδῃ
χρῶτα μιαινόμενος, ἢ καὶ σπειρώδεϊ κόρσῃ
σκίλλης, ἥτ' ἔκπαγλα νέην φοινίξατο σάρκα.
Τοῦ καὶ ἐπισχομένοιο περὶ στόμαχον βάρος ἴζει
πρῶτ' ἀνερεπτόμενον, μετέπειτα δὲ λοιγέϊ συρμῷ
ῥιζόθεν ἑλκωθέντα; κακὸν δ' ἀποήρυγε δειρῆς,
ὡσεί τε κρεάων θολερὸν πλύμα χεύατο δαιτρός·
σὺν δέ τε καὶ νηδὺς μεμιασμένα λύματα βάλλει.
Ἀλλὰ σὺ πολλάκι μὲν χαίτην δρυὸς οὐλάδα κόψας,
πολλάκι καὶ φηγοῖο πόροις ἀκύλοισιν ὁμήρῃ·
ἠὲ σύ γε βδήλαιο νέον γλάγος ἔνδοθι πέλλης·
αὐτὰρ ὃ τοῦ κορέοιτο καὶ ἐν στομάτεσσιν ἐρύξαι.

circum ora attollunt et magna mole gravantur
ore spuit sicco, rimis gingiva fatiscit;
horror sæpe quatit trepidantia corda, furore
exundat diro mens exagitata veneno;
balantes imitatur oves, et mille furores
concipit, exclamat ferventi ut concitus ira,
cui vitale caput violentus ademerit ensis;
aut veluti, cui templa Rheæ et libamina curæ
æditua, in plateas, nonâ quando luna revertit,
fertur et Idæos campos ululatibus implet;
tum trepidi horrescunt audita voce bubulci:
sic miser in rabiem versus fremit ille rugitque,
et torva in morem taurorum lumina torquens
exacuit dentes et spumam fundit ab ore.
Quem primum manicis strictum vinclisque teneto,
tum vi non magna diductas nectare fauces
imple, atque immissis stridentia protinus ora
irrita digitis, vomat ut virosa coactus;
aut pullum, quem nuper edax excluserit anser,
merge in aquam et flammis elixa undantis aheni;
et virgulta rudis prosunt silvestria mali,
sed purgata prius, quæ crescunt montibus altis,
quæque per æstatem nostris nascuntur in hortis
mala, quibus ludunt delectanturque puellæ;
struthiaque interdum, vel quæ devecta Cydone
arbore in austera crescunt, edisse juvabit;
et contusa simul malorum semina sæpe
prosunt ægroto, liquidisque madentia lymphis
mistaque pulejo, gratum quod spiret odorem;
quodque rosam redolet, vel quod sapit irin, olivum
ori cum lana potes instillare recluso;
plurima sed tandem perpessus tempore longo
vix unquam poterit gressus firmare labantes,
sed trahet attonitus oculis fallentibus ævum.
Isto Gerræi Nomades populusque, rapacem
qui colit Euphraten, armant sua tela veneno;
quæ postquam hæserunt et non sanabile vulnus
inflixere, caro livet, virusque putrescit
vipereum, atque cutis se tabo feta resolvit.
Si quisquam infestos Medeæ Colchidis ignes
incautus gustarit ephemeron, ille repente
uritur internis sæva prurigine labris;
ut cui vel fici succo candente vel acri
urtica, aut scillæ perfrictum vertice corpus,
horrendum in tenera quæ tollit carne ruborem.
Hoc ubi susceptum est, stomacho grave pondus in ipso
insidet, is ructat primum, post ulcera diro
contrahit ex vomitu, fœdusque e gutture fertur,
carnibus ablutis qualem coquus abjicit, humor;
alvusque impuras effundit sordida fæces.
Sæpe salutiferam quercus fagique virentis
cæde comam glandemque simul, quæ pendet in illis;
et lac in mulctram subducito, coctaque mande,
dum stomachum saties, et pleno contine in ore.

Ἡ μὴν πουλυγόνοιο τότε βλαστήματ' ἀρήξει,
ἄλλοτε δὲ ῥιζεῖα καταψηχθέντα γάλακτι·
σὺν δὲ καὶ ἁμπελόεις ἕλικας ἐνθρύπτεο νύμφαις·
ἴσως καὶ βατόεντα περὶ πτορθεῖα κολούσας·
καί τε σὺ γυμνώσειας ἐϋτρεφέος νέα τέρφη
καστανέου καρύοιο λαχυφλοίοιο κάλυμμα,
νειαίρην τόθι σάρκα περὶ σκύλος αὖον ὀπάζει
δυσλεπέος καρύοιο, τὸ Καστανὶς ἔτρεφεν αἶα.
Ῥεῖα δὲ νάρθηκος νεάτην φαίνυσο νηδὺν,
ὅστε Προμηθείοιο πυρὸς ἀνεδέξατο φωρήν·
σὺν δὲ καὶ ἑρπύλλοιο φιλοζώοιο πέτηλα,
εὐφίμου τ' ἀπὸ καρπὸν ἅλις καταβάλλεο μύρτου·
ἠ καί που σιδόεντος ἀπὸ βρέξαιο κάλυμμα
καρπείου, μιγάδην δὲ βαλὼν ἐμπίσεο μύρτοις,
ὄφρ' ἂν ἐπιστύφοντι ποτῷ νοῦσον δὲ κεδάσσαις.
Ἰξιόεν δέ σε μή τι δόλῳ παρὰ χείλεσι πῶμα
οὐλοφόνον λήσειεν, ὅτ' ὠκιμοειδὲς ὄδωδε·
τοῦ μὲν ὑπὸ γλώσσης νέατος τρηχύνεται ὀλκὸς,
νέρθεν ὑποφλεγέθων· ὁ δέ οἱ ἐμπάζεται ἦτορ
λυσσηθεὶς, γλῶσσαν δὲ καταπρίει κυνόδοντι·
δὴ γὰρ ὅγ' ἔμπληκτος φρένα δάμναται· ἀμφὶ δὲ δοιοὺς
εἰκῆ ἐπιφράσσουσα πόρους τυφλώσατο νηδὺς
ὑγρῶν τε βρωτῶν τε, καταπνίγουσα δὲ πνεῦμα
ἐντὸς ὑποβρομέει, ὀλίγῳ δ' ἐνελίσσεται ὀλκῷ·
πολλάκι δὲ βροντῇσιν ἀνομβρήεντος ὀλύμπου
εἰδόμενος, ποτὲ δ' αὖτε κακοῖς ῥόχθοισι θαλάσσης
οἷος πετραίῃσιν ὑποβρέμεται σπιλάδεσσι.
Τῷ καὶ στρευγομένῳ περ ἀνήλυθεν ἐκ καμάτοιο
πνεῦμα μόλις, πόσιες δὲ παραυτίκα λύματ' ἔχευαν
φαρμακόεις ὠοῖσιν ἀλίγκια, τοῖά τε βοσκὰς
ὀρταλὶς, αἰχμητῇσιν ὑπευνηθεῖσα νεοσσοῖς,
ἄλλοτε μὲν πληγῇσι νέον θρομβῄϊα γαστρὸς
ἔκβαλεν, ἐν μήνιγξιν ἀνοστέα, πολλάκι νούσῳ
μαρναμένη δύσπεπτον ὑπὲκ γόνον ἔχεε γαίῃ.
Τῷ μέν τ' εὐβρεχέος ἀψινθίου ἄλγος ἀρήξει
ἔνστυφον πόμα κεῖνο νεοτρίπτῳ ὑπὸ γλεύκει·
καί ποτε ῥητίνην τερμινθίδα, πολλάκι πεύκης,
πολλάκι καὶ πίτυος γοερῆς ἀπὸ δάκρυα τμῆξαι,
Μαρσύου ᾗχί τε Φοῖβος ἀπὸ φλόα δύσατο γυίων·
ἡ δὲ μόρον πολύπυστον ἐπαιάζουσα κατ' ἄγκη
οἴῃ συννεχέως ἀδινὴν ἀναβάλλεται ἠχήν.
Ἆσαι δὴ πολίοιο μυοκτόνου ἄργεος ἄνθην,
ἠέ τι καὶ ῥυτῆς πεδανὰς ἀπαμέργεο βλάστας,
νάρδον, λιμναίου τε χαδὼν ἀπὸ κάστορος ὄρχιν·
ἢ ὀδελὸν κνηστῆρι κατατρίψαιο χαράκτρῳ
σιλφίου, ἄλλοτε δ' ἶσον ἀποτμήξειας ὀποῖο·
πολλάκι δ' ἀγροτέρης τραγοριγάνου, ἠὲ γάλακτος
πηγνυμένου κορέοιτο νεημελκτῃ ἐνὶ πέλλῃ.
Ἦν δέ τις ἀφροσύνῃ ταύρου μέλαν αἷμα πάσηται,
στρευγεδόνι προδέδουπε δαμαζόμενος καμάτοισιν,
ἧμος πιλνάμενον στέρνοις κρυσταίνεται εἶαρ,
ῥεῖα, θρομβοῦται δὲ μέσῳ ἐνὶ τεύχεϊ γαστρός·
φράσσονται δὲ πόροι, τὸ δὲ θλίβεται ἔνδοθι πνεῦμα
αὐχένος ἐμπλασθέντος, ὁ δὲ σπαδόνεσσιν ἀλύων
δηθάκις ἐν γαίῃ σπαίρει μεμορυγμένος ἀφρῷ.

Herbæ etiam ramos, cui ductum a sanguine nomen,
vel modo radicem lacti incoxisse juvabit;
viteus et palmes tenera mollescat in unda,
atque rubi horrentis pariter virgulta terantur;
hirsutamque nucem, quæ læto provenit agris
ubere Castaneis, (hinc castaneæ inditur ipsi
nomen,) difficili detracto cortice nuda,
et cape qui carnem siccus liber implicat imam.
Exime et interno ferulæ de ventre medullam
quæ quondam furtivo incanduit igne Promethei;
et folia expedient nunquam morientia olentis
serpylli, et quas fert baccas asperrima myrtus;
Punica cum myrto quod gestant mala putamen
excoque, et infectum decocto prolue ventrem,
ut tandem austero vincas medicamine morbum.
Ne vero admotum labris fallare bibendo
viscosum ulophonon, quod præfert ocima gustu;
mox tumor et summam gravis inflammatio linguam
accendit, cordis vires animusque recedunt,
tum linguam rabido laceratam dente remordet;
et stupet attonitus, qui viscum exhausit, et ambo
in cæco obstructi connivent ventre meatus
potus atque cibi, flatus ubi carcere clausi
dant strepitum et circum spatiis volvuntur iniquis,
horrisono veluti cœlum tonat omne fragore,
aut celeres duris illisæ rupibus undæ
clamorem attollunt inter cava saxa, fremuntque.
Sic misere afflictus vix tandem ducere presso
ore potest animam, ac si quis medicata propinet
pocula, mox sordes similis profunditur ovis,
qualia concepit coitu gallina frequenti,
et pugnans crebris contuso corpore plagis
perdit humi, morbo vel conflictata molesto
abjicit, informe et crudum sine tegmine semen.
Sed tantos pellent absinthia cana dolores
et morbo expedient, musto diluta recenti;
et piceæ resina vel Oriciæ terebinthi
danda, aut quæ tristi de pinu lacrima venit,
Marsya ubi a Phœbo nudatus pelle pependit,
interitum cujus deplorans illa gemitque
perpetuo et mœstis implet juga sola querelis.
Convenit et polii redolentem mandere florem
parvaque ferventis decerpere germina rutæ,
et nardum et testem fluviali e castore cæsum;
laseris aut radix, obolum quæ pendeat unum,
secta juvat, succusve pari jam pondere dandus;
origanonque agreste hirci de nomine dictum
haustaque profuerit concreti copia lactis.
At si quis tauri nigrantem forte cruorem
sorbuit, afflictus sævo jacet ille dolore,
namque cruor subiens penetralia corporis alta
concrescit, mediaque coit glaciatus in alvo;
aeris arcta via est, presso quem gutture clausum
intus pulmo tenet; convulsus at ille frequenter
concutitur saliens et spumis oblitus ora.

Τῷ μέν τ' ἢ ὀπόεντας ἀποκραδίσειας ἐρινοὺς,
ὄξει δ' ἐμπίσαιο, τὸ δ' ἀθρόον ὕδασι μίξας
συγκεράων νύμφας τε καὶ ἔνστυφον ποτὸν ὄξους·
ἠὲ καὶ ἐκφλοίοιο καταχθέος ἕρματα γαστρός.
Καί τε σὺ πυετίην ὀθόνης πολυωπεῖ κόλπῳ
φύρσιμον ἠθήσαιο ποτὲ προκὸς, ἄλλοτε νεβροῦ,
ἢ ἐρίφου, τότε δ' αὖ σὺ καὶ εὐσκάρθμοιο λαγωοῦ
αἰνύμενος, μογέοντι φέροις εὐαλθέ' ἀρωγήν.
Ἠὲ νίτρου στήδην ὀδελοῦ πόρε τριπλόον ἄχθος
εὐτριβέος, κίρνα δὲ ποτῷ ἐνὶ δεύκεῖ Βάκχου·
ἐν καὶ σιλφιόεσσαν ὀποῖό τε μοιρίδα λίτρην,
καὶ σπέραδος κραμβῆεν ἅλις μεμορυγμένον ὄξει·
ἆσαι δὴ ῥάδικα κακοφλοίοιο κονύζης,
ἢ πέπεριν ἢ βλάστα κατασμώξαιο βάτοιο,
καί κεν πηγνυμένοιο χύσιν διὰ ῥεῖα κεδάσσαις,
ἠὲ διαθρύψειας ἐν ἄγγεσιν ἑστηκυῖαν.
Μὴ μὲν ἐπαλγύνουσα πόσις βουπρήστιδος ἐχθρῆς
λήσειεν, σὺ δὲ φῶτα δαμαζόμενον πεπύθοιο.
Ἡ δ' ἤτοι λίτρῳ μὲν ἐπιχρώζουσα χαλινὰ
εἶδεται ἐμβρυχθεῖσα βαρύπνοος· ἀμφὶ δὲ γαστρὸς
ἄλγεα δινεύοντα περὶ στομάτεσσιν ὄρωρεν·
οὖρα δὲ τυφλοῦται, νεάτη δ' ὑπὸ κύστις ὀρεχθεῖ·
πᾶσα δέ οἱ νηδὺς διαπίμπραται, ὡς ὁπόθ' ὕδρωψ
τυμπανόεις ἀνὰ μέσσον ἀφυσγετὸς ὀμφαλὸν ἴζει·
ἀμφὶ δέ οἱ γυίοις τετανὸν περιφαίνεται ἕρφος·
ἦ καί που δαμάλεις, ἐριγάστορας ἄλλοτε μόσχους,
πίμπραται, ὁππότε θῆρα νομαζόμενοι δατέονται·
τοὔνεκα τὴν βούπρηστιν ἐπικλείουσι νομῆες.
Τῷ καὶ εὐκραδίης τριπετῆ ἐν νέκταρι μίξαις
σύκων αὐανθεῖσαν ἅλις πόσιν ὀμφαλόεσσαν,
ἠέ τι καὶ σφύρῃ μιγάδην τεθλασμένα κόψας,
ἐν πυρὶ τηξάμενος πορέειν ἀλκτήρια νούσων·
καί κε μελιζώροιο νέον κορέσαιο ποτοῖο
ἀνέρα λαιμώσσοντα, τοτὲ γλάγος εἰν ἑνὶ χεύαις·
πολλάκι φοίνικος ψαφαρὸν καταμίσγεο καρπόν·
ἄλλοτε δ' αὐαλέης δὴν ἀχράδος, ἢ ἀπὸ βάκχης,
ἢ ἀπὸ μυρτίνης ὅτε μυρτίδας οἰνάδι βάλλων.
Ἡ ὄγε καὶ θηλῇς ἅτε δὴ βρέφος ἐμπελάοιτο
ἀρτιγενὲς, μαστοῦ δὲ ποτὸν μοσχηδὸν ἀμέλγοι·
οἵη τ' ἐξ ὑμένων νεαλὴς ὑπὸ οὔθατι μόσχος
βράττει ἀνακρούουσα χύσιν μενοεικέα θηλῆς.
ἄλλοτε πιαλέης πόσιος χλιαροῖο κορέσκοις,
εἰς δ' ἔμετον βιάοιο, καὶ οὐ χατέοντά περ ἔμπης
χειρὶ βιαζόμενος ἢ καὶ πτερῷ, ἢ ἀπὸ βύβλου
στρεπτὸν ἐπιγνάμψαιο κακῶν ἐρυτῆρα φάρυγγος.
Ἦν δ' ἐπιθρομβωθῇ νεαλὲς γάλα τεύχεϊ γαστρὸς,
δή ποτε τόνδε τε πνιγμὸς ἀθροιζομένοιο δαμάζει.
Τῷ δή τοι τρισσὰς πόσιας πόρε, μέσσα μὲν ὄξευς,
δοιὰς δὲ γλυκέος, στεγανὴν δ' ὑποσύρεο νηδύν·
ἠέ τι καὶ Λιβύηθε ποτῷ ἐγκνήθεο ῥίζας
σιλφίου, ἄλλοτ' ὀποῖο, νέμοις δ' ἐν βάμματι τήξας·
πολλάκι δὲ ῥύπτειραν ἐπεγκεράσαιο κονίην,
ἠὲ νέον βρυόεντα θύμου στάχυν· ἄλλοτ' ἀμύνει
βότρυς, ἐϋκνήμοιο μίγα βρεχθέντος ἐν οἴνῃ·

Sed tu lacte graves ficorum collige grossos,
inque mero mergas acido, mox omnia lymphis
confundes, mordax ut acetum temperet unda;
et vacua tumidum tendentia pondera ventrem.
Quinetiam capreæ imbellisve coagula damæ
aut hædi, aut agili leporis de corpore rapta
liquida per tenuis angusta foramina veli
colanda; et facilem dabit hæc tibi cura salutem.
Aut nitri dones obolorum pondera ternûm
lævis et intriti, quæ miti dilue Baccho;
laseris et justam succique fluentis ab illo
libram adde et crambes madefactum semen aceto;
tuque olidæ exsatura stomachum radice conyzæ,
cui piper et duri sint germina mixta rubeti;
sic facile incides glomeratum in frusta cruorem
atque alte medio franges in viscere fixum.
Sed neque te lateat, si quis buprestida tætram
hauserit: epotam signa haud obscura sequentur.
Illa quidem nitro simili mox ora colore
inficit, ingratamque exhalat mansa mephitin,
et stomachum tumidumque exercent tormina ventrem.
Urina adstricta est, magno vesica dolore
ingemit, et venter valde inflatus tumet omnis,
umbonem quasi tympanicus simul obsidet hydrops,
contrahitur membris distenta cuticula totis;
sæpe etiam inflantur vituli fortesque juvenci,
si forte hanc avido lacerarint ore latentem;
unde illam Grajo buprestida nomine dicunt.
Sed tamen auxilium feret is, qui nectare siccas
miscuerit trimo, ficus dederitque bibendas,
aut simul in pila tunsas qui macerat ighe,
egregium adversus febres medicamen, et inde
propinat pleno mellitum gutture potum,
quique, ubi lac pendenti expresserit ubere vaccæ,
sæpe levem haud dubitat palmæ conjungere fructum,
achradis aut duræ, vel quæ pyra Bacchica multi
myrteaque appellant, Lenæo immergere dono.
Maternam ille etiam pueri de more papillam
ubraque ut vitulus sugat distenta juvencæ,
qui petulans primum ut cœpit prodire secundis,
elicit e mammis quadrantem viribus undam;
pinguis et interdum tepefacti potus olivi
provocet ad vomitum, atque immissis ora lacessens
coge recusantem digitis pennaque recurvoque
et modice intorto fauces purgante papyro.
Sin lac in grumos gravida glomeratur in alvo,
præcluditque animam, et pectus suffocat anhelum.
At potum præbe, cujus pars acris aceti
una sit, et passi geminæ; ventremque repurga
clystere, et Libycis devectum laser ab oris
intere, vel succum, dilutaque combibe posca;
sæpe etiam incidens lixivia danda thymique
semine spica gravis, sarmentosæque racemus
vitis opem tulerit Bacchi madefactus in imbre;

ἐν καί που ταμίσοιο ποτὸν διεχεύατο θρόμβους
καὶ χλοεραὶ μίνθης ἀπὸ φυλλάδες, ἠὲ μελίσσης
ἠὲ καὶ ἐν στύφοντι ποτῷ μεμορυγμέναι ὄξευς.
Ἀλλ' ἄγε δὴ φράζοιο δορύκνιον, οὔτε γάλακτι
ὠπή τε βρῶσίς τε περὶ στομάτεσσιν ἔικται·
τῷ δή τοι λυγμοὶ μὲν ἀηθέσσοντες ὁμαρτῇ
αὐχέν' ἀνακρούουσιν, ὁδ' ἀχθόμενος στόμα γαστρὸς,
πολλάκι μὲν δαίτην ἀπερεύγεται αἱματόεσσαν,
ἄλλοτε νηδυίων θολερὴν μυξώδεα χεύει,
τηνεσμῷ ὡσεί τε δυσέντερος ἀχθόμενος φώς·
δή ποτε τειρόμενος καμάτοις κάρφουσι δέδουπε
γυῖα δαμείς, οὐ μὲν ποθέει ξηρὸν στόμα βρέξαι.
Τῷ δὲ σὺ πολλάκι μὲν γλάγεος πόσιν, ἄλλοτε μίγδην
ῥεῖα γλυκὺ νείμειας ἁλυκρότερον δεπάεσσι·
καί τε καὶ ὄρνιθος φιαρῆς πυρὶ τηκομένη σὰρξ
θωρήκων ἤμυνεν ἐϋτρεφέων βρωθεῖσα·
ἤμυνεν καὶ χυλὸς ἅλις κύμβῃσι ῥοφηθείς·
ὅσσα τε πετρήεντος ὑπὸ ῥόχθοισι θαλάσσης
κνώδαλα φυκιόεντας ἀεὶ περιβόσκεται ἀγμούς,
ὧν τὰ μὲν ὠμὰ πάσαιτο, τὰ δ' ἑφθέα, πολλάκι θάλψας
ἐν φλογιῇ, στρόμβων δὲ πολὺ πλέον, ἠέ τι κάλχης,
κηραφίδος, πίννης τε καὶ αἰθήεντος ἐχίνου,
δαῖτες ἐπαλθήσουσιν, ἰδὲ κτένες· οὐδέ τι κήρυξ
δὴν ἔσεται, τήθη τε γεραιόμενα μνίοισι.
Μηδέ σέ γ' ἐχθομένη λήθῃ πόσις, οὐ γὰρ ἄϊδρις,
Φαριακοῦ, γναθμοῖσιν ἐπεὶ βαρὺν ὦπασε μόχθον·
τὴν ἤτοι γευθμῷ μὲν ἰσαιομένην μάθε νάρδῳ.
Ἤνυσε δὲ σφαλεροὺς, ὅτε δ' ἄφρονας· ἐν δὲ μονήρει
ῥηϊδίως ἀκτῖνι βαρὺν κατεναίρεται ἄνδρα.
Ἀλλὰ σὺ πολλάκι μὲν σταδίην εὐανθέα νάρδου
ῥιζίδα θυλακόεσσαν ὀπάζεο, τήντε Κίλισσαι
πρηδόνες ἀλδαίνουσι παρὰ πλημμυρίδα Κέστρου·
ἄλλοτε δὲ σμυρνεῖον ἐΰτριβες, ἄλλοτε δ' αὐτὴν
ἶριδα λειριόεν τε κάρη, τό τ' ἀπέστυγεν Ἀφρὼ,
οὕνεκ' ἐριδμαίνεσκε χροῆς ὕπερ· ἐν δέ νυ θρίοις
ἀργαλέην μεσάτοισιν ὀνειδείην ἐπέλασσε,
δεινὴν βρωμιήεντος ἐναλδήνασα κορύνην.
Πολλάκι δὲ σκύλαιο κάρη, περὶ δ' αἴνυσο λάχνην
κέρσας εὐήκει νεόθεν ξυρῷ· ἐν δέ νυ θάλψαις
ἧῖα κριθάων νεοηλέα, φυλλάδα τ' ἰσχνὴν
πηγάνου, ἥντ' ὤκιστα βορῇ ἐπεσίνατο κάμπη, [σοις.
βάμματι δ' ἐνδεύσαιο, καὶ εὖ περὶ κόρσεα πλάσ-
Μὴ μὲν δοσκυάμῳ τις ἀϊδρήεντα κορέσκοι
νηδὺν· οἷά τε πολλὰ παρασφαλέες σπέρχονται,
ἠὲ νέον σπείρημα καὶ ἀμφικάρηνα κομάων
κοῦροι ἀπειπάμενοι, ὀλοήν θ' ἑρπηδόνα γυίων,
ὀρθόποδες βαίνοντες ἄνις μογεροῖο τιθήνης.
* * * * * * * * * * * * * * * * * * * *
ἠλοσύνῃ βρύκωσι κακανθήεντας ὀράμνους
* * * * * * * * * * * * * * * * * * *
εἶα νέον βρωτῆρας ὑπὸ γναθμοῖσιν ὀδόντας
φαίνοντες, τότε κνηθμὸς ἐνοιδέα δάμναται οὖλα.
Τῷ δόμεναι καθαρὴν γλάγεος πόσιν ἦλιθα πίνειν·
ἔλλοτε βουκέραος χιλητόνου, ὄρρα κεραίας

pota quoque interdum solvere coagula grumos
et viridis nepetæ stillantia germina melle
aut perfusa amni linguam mordentis aceti.
Nunc age contemplare dorycuion, adspice primum
quam color et gustus niveo sunt proxima lacti;
et mox singultus nascentes colla frequenter
comprimere insuetos, stomachumque indigna ferentem
sæpe cibos vomitu, respersos sanguine, sursum
pellere, nunc infra cænosum effundere mucum:
ut quem tenasmus miserandaque tormina vexant;
qui sævo cruciatu exhaustis viribus æger
stratus humi jacet atque arentia negligit ora
colluere. At contra poti vis maxima lactis,
et tepidi si quis miscebit pocula passi;
quinetiam elixi flammis caro candida galli
profuerit, quæ armos robustaque pectora vestit,
nec minus expressum juvat absorbere liquorem,
et quotquot petras inter scopulosque souantes
algosa et circum pascuntur littora pisces,
hos crudos, vel si prunis libet indere, tostos
mande, sed imprimis prosunt conchylia, murex
et carabi et pinnæ, dabit et rubicundus echinus
auxilium et pecten, nec postponenda medelis
buccina et in musco quæ degunt ostrea vili.
Nec mage Phariaci potus (tam certa videntur
signa) latere potest, quod sensu torquet acerbo
maxillas, nulloque sapit discrimine nardum.
Perturbat mentem tremebundaque membra resolvit,
et patitur miseros lucem non amplius unam
vivere. Sed justo radicem pondere nardi
thylacitis præbe, Cilicum quæ montibus altis
crescit, ubi undosi labuntur flumina Cestri;
smyrnion terito interdum, simul irida sumas
lirineumque caput, dea quod Cytherea perosa,
de forma quoniam secum contendere vellet,
illius in mediis, probro cessura perenni
impressit foliis pudibunda rudentis aselli.
Sæpe caput radens tonsoris detrahe cultro
ægroti crines calvoque infunde foventem,
hordea quam primum fuderunt trita, farinam,
sive comam rutæ, quam campæ rodere gaudent,
hanc acido misce gemina et line tempora circum.
Nullus hyoscyamo male prudens expleat alvum,
ut faciunt, queis cæca animum dementia versat,
aut pueri, quando lanugo vertice prima
decidit, et pedibus possunt incedere rectis
repere jam obliti, nec adhuc nutricis egentes,
* * * * * * * * * * * * * * * * * * * *
flore malo insignes qui gaudent mandere ramos
* * * * * * * * * * * * * * * * * * * *
ut modo quum primos cœperunt edere dentes,
prurituque tumens illis gingiva doleret.
At noxam exhausti curabit copia lactis,
aut vescæ siliquæ, solitæ proferre recurvos

εὐκαμπεῖς πετάλοισιν ὑπηνεμίοισιν ἀέξει,
ἀτμενίῳ μέγ' ὄνειαρ ὅτ' ἐμπλώῃσιν ἐλαίῳ.
Ἠὲ σύ γ' αὐαλέον κνίδης σπόρον, ἄλλοτε δ' αὐτὴν
νείμαις ὠμόβρωτον ἄδην ἀνὰ φυλλάδ' ἀμέλξαι,
κίχορα καρδαμίδας τε καὶ ἢν περσεῖον ἔπουσιν,
ἐν δέ τε νάπειον ῥάφανόν θ' ἅλις, ἐν δέ τε λεπτὰς
ἄμμιγα κρομμύων γηθυλλίδας· ἤρκεσε δ' ἄτην
εὔαγλις κώδεια νέον σκορόδοιο ποθεῖσα.
Καὶ δὲ σὺ μήκωνος κεβληγόνου ὁππότε δάκρυ
πίνωσιν πεπύθοιο καθυπνέας· ἀμφὶ γὰρ ἄκρα
γυῖα καταψύχουσι· τὰ δ' οὐκ ἀναπίτναται ὄσσε·
ἀλλ' αὖτως βλεφάροισιν ἀκινήεντα δέδηεν·
ἀμφὶ δὲ ὀδμήεις καμάτῳ περιλείβεται ἱδρὼς
ἀθρόος· ὠχραίνει δὲ ῥέθος, πίμπρησι δὲ χεῖλη·
δεσμὰ δ' ἐπεγχαλάουσι γενειάδος· ἐκ δέ τε παῦρον
αὐχένος ἑλκόμενον ψυχρὸν διανίσσεται ἆσθμα·
πολλάκι δ' ἠὲ πελιδνὸς ὄνυξ μόρον ἠέ τι μυκτὴρ
στρεβλὸς ἀπαγγέλλει, ὅτε δ' αὖ κοιλωπέες αὐγαί.
Ἄσσα σὺ μὴ δείδιθι, μέλοιο δὲ πάμπαν ἀρωγῆς,
οἰνάδι καὶ γλυκόεντι ποτῷ κεκαφηότα πιμπλὰς
τινθαλέῳ· ποτὲ δ' ἔργα διαθρύψαιο μελίσσης
ἄμμιγα ποιπνύων Ὑμήττιδος· αἵ τ' ἀπὸ μόσχου
σκήνεος ἐξεγένοντο δεδουπότος ἐν νεμέεσσιν.
Ἔνθα δὲ καὶ κοίλοιο κατὰ δρυὸς ἐκτίσσαντο
πρῶτόν που θαλάμας συνομήρεες, ἀμφὶ καὶ ἔργων
μνησάμεναι Δηοῖ πολυωπέας ὤπασαν ὄμπας,
βοσκόμεναι θύμα ποσσὶ καὶ ἀνθεμόεσσαν ἐρείκην.
Δή ποτε δ' ἢ ῥοδέοιο νέον θύος εὔτριχι λήνει
ὀχλίζων κυνόδοντα τότ' ἠμύουσι χαλινοῖς
ἐνθλίβοις, μαλλὸν δὲ βαθὺν κεκορεσμένον ἕλκοις,
ἠὲ καὶ ἰρινέου· τοτὲ δ' αὖ μορόεντος ἐλαίης.
Αἶψα δὲ τόνδ' ἑκάτερθε διὰ ῥέθος ἔγρεο πλήσσων,
ἄλλοτε δ' ἐμβοόων, ὅτε δὲ κνώσσοντα σαλάσσων,
ὄφρα κατηβολέων ὀλοὸν διὰ κῶμα κεδάσσῃ,
τῆμος δ' ἐξερύγῃσιν ἀλεξόμενος κακὸν ἄλγος.
Σπεῖρα δ' ἐνὶ χλοερῷ λίπεϊ, πρὸ δὲ νέκταρι, βάπτων
τρῖβε, καὶ ἐκθέρμαινε ποτῷ ἐψυγμένα γυῖα.
Ἄλλοτε δ' ἐν δροίτῃ κεράων ἐμβάπτεο σάρκα·
αἶψα δὲ τινθαλέοισιν ἐπαιονάασσο λοετροῖς,
αἷμ' ἀναλυόμενος τέτανόν τ' ἐσκληκότα ῥινόν.
Εἰδείης δὲ λαγοῖο κακοφθορέος πόσιν ἔμπης
οὐλομένην, τὸν κῦμα πολυστείου τέκεν ἅλμης.
Τοῦ δή τοι λοπίδων μὲν ἰδὲ πλύματος πέλει ὀδμή,
γευθμὸς δ' ἰχθυόεις νεπόδων ἅτε σαπρυνθέντων,
ἠὲ καὶ ἀῤῥύπτων, ὁπόταν λοπὶς αὐξίδα χραίνῃ.
Ὅς δή τοι ῥυπόεις μὲν ὑπ' ὀστλίγγεσσιν ἀραιαῖς
τευθίδος ἐμφέρεται νεαλὴς γόνος, ἢ ἅτε τεύθου,
ἢ ἅτε σηπιάδος φυξήλιδος, ἥτε μελαίνει
οἶδμα χολῇ, δολόεντα μαθοῦσ' ἀγρώστορος ὁρμήν.
Τῶν ἤτοι ζοφόεις μὲν ἐπὶ χλόος ἔδραμε γυίοις
ἰκτερόεις, σάρκες δὲ περιστολάδην μινύθουσι
τηκόμεναι· ὁ δὲ δόρπα κατέστυγεν· ἄλλοτε ῥινὸς
ἄκρον ἐποιδαίνων σφυρὰ πίμπραται· ἀμφὶ δὲ μηλοις
ἔνθεά τε βρυόεντα κυλοιδιόωντος ἐρίζει.

sub levibus foliis referentes cornua fructus,
a magna expresso si perfundatur olivo.
Crudam etiam urticam vel semina sicca comesse,
compressum et labiis foliorum exsugere succum
convenit, intybaque et nasturcia perseaque arbos
et napy et raphanus tenuisque cacumina porri
et caput auxilio est, quod junctis ordine granis
allia compactum gestant, potuque medetur.
Fecundi lacrimam quicunque papaveris hausit,
hunc sopor altus habet, glaciali frigore summi
torpescunt artus, nec lumina cæca recludit,
commissis sed vincta genis immota tenentur;
undique permulto corpus sudore gravique
exstillat, pallet facies, sunt fervida labra;
vincula malarum solvuntur, anhelitus imo
exiguum frigensque simul spiratur ab ore.
sæpe etiam obtortæ nares vel lividus unguis
aut oculi sunt certa cavi præsagia mortis.
Tu ne cede metu, sed curæ accingere morbi,
dulcia propinans et fervida vina trahenti
vix animam, nonnunquam et Hymettia mella remiscens
ex apium deprompta favis, quarum agmina densis
in silvis tauri liquefacto corpore nata.
Confertim sedes antiquo in robore quercus
condita legêre, atque operam navantia melli,
pasta thymum pedibus floremque virentis erices,
multifidos partus Cereri atque opsonia præbent.
Velleraque interdum redolenti imbuta rosato
instilles clauso reseratis dentibus ori,
aut satura irino fauces mittantur in imas,
vel solo interdum torta quod fluxit oliva.
Hinc atque hinc faciem palmis, clamoribus aures
tundito, dum excieas, et torpens concute corpus,
funestum ut fatis instantibus ille veternum
excutiat sumptoque vomat medicamine virus.
Tum molli madidas oleo vinoque lacernas
induat, et potu frigentia membra calescant.
Nunc tepidam affundens ægrum demergito corpus
in solium, calidisque lavetur et innatet undis;
sic densata cutis rubidusque liquabitur humor.
Disce venenatos leporis cognoscere potus
pestiferi, mediis peperit quem fluctibus æquor.
Virosi squamas et purgamenta marini
piscis olet piscemque sapit, qui putridus, et quem
non perpurgatum squamæ infecere relictæ.
Ille quidem sordens tenues lolliginis inter
defertur pendetque comas, quasi natus ab illa,
aut quæ piscantis vi pæne oppressa dolisque
diffugiens atro perturbat sepia fluctus.
His color ictericus, viridi nigroque remistis,
corpore fit toto, carnes tabescere sensim
incipiunt, odere cibos, cutis alta tumore
tollitur, inflanturque pedes, mox undique malas,
ceu flos exoriens, tumidas rubor occupat ambas.

Δὴ γὰρ ἐφωμάρτησεν ὀλιζοτέρη κρίσις οὔρων,
ἄλλοτε πορφυρέη, τότ' ἐπιπλέον αἱμάσσουσα.
Πᾶς δὲ παρὰ δρακέεσσι φανεὶς ἐχθαίρεται ἔλλοψ·
αὐτὰρ ὁ ναυσιόεις ἁλίην ἐμυδάξατο δαῖτα.
Τῷ μὲν Φωκήεσσαν ἅλις πόσιν ἐλλεβόροιο
νείμειας, τοτὲ δάκρυ νεοβλάστοιο κάμωνος,
ὄφρα ποτὸν νέποδός τε κακοῦ ἐκ φύρματα χεύῃ·
ἄλλοτε βρωμήεντος ἀμελγόμενος γάλα πίνοι·
ἠὲ χύτρῳ τήξας μαλάχης λιπόωντας ὁράμνους·
καί ποτε κεδρινέης πελάνου βάρος ἔμμορε πίσσης·
βρύκοι δ' ἄλλοτε καρπὸν ἅλις φοινώδεα σίδης
Κρησίδος οἰνωπῆς τε καὶ ἢν προμένειον ἔπουσι·
σὺν δὲ καὶ Αἰγινῆτιν, ὅσαι τ' ἐσκληκότα κάρφη
φοίνι' ἀραχνήεντι διαφράσσουσι καλύπτρῃ·
ἄλλοτε δ' οἰνοβρῶτα βορὴν ἐν κυρτίδι θλίψαις,
ὡσεί περ νοτέουσαν ὑπὸ τριπτῆρσιν ἐλαίην.
Ἦν δέ τις αὐαλέῃ πεπιεσμένος αὐχένα δίψῃ
ἐκ ποταμοῦ ταυρηδὸν ἐπιπροπεσὼν ποτὸν ἴσχῃ,
λεπτὰ διαστείλας παλάμῃ μνιώδεα θρῖα,
τοῦ μέν τε ῥοιζηδὰ φιλαίματος ἐμπελάουσα
ῥύμῃ ἅλις προὔτυψε ποτοῦ μετὰ χείλεϊ βρώμης
βδέλλα παρὰ λαπάρῃ τε καὶ ἰμείρουσα φόνοιο.
Ἢ ὅθ' ὑπὸ ζοφέης νυκτὸς κεκαλυμμένος αὐγὰς
ἀφραδέως κρωσσοῖο κατακλίνας ποτὸν ἴσχῃ,
χείλεσι πρὸς χείλῃ πιέσας, τὸ δὲ λαιμὸν ἀμείψῃ
κνώδαλον ἀκροτάτοισιν ἐπιπλῶον ὑδάτεσσιν·
τὰς μὲν ἵνα πρώτιστον ὀχλιζομένας ῥόος ὦσῃ
ἀθρόα προσφύονται ἀμελγόμεναι χροὸς αἷμα,
ἄλλοτε μέν τε πύλῃσιν ἐφήμεναι, ἔνθα τε πνεῦμα
αἰὲν ἀθροιζόμενον στεινοῦ διανίσσεται ἰσθμοῦ·
ἄλλοτε δὲ στομίοισι πέριξ ἐπενήνοθε γαστρὸς,
ἀνέρα πημαίνουσα, νέην δ' ἐπενείματο δαῖτα.
Τῷ σὺ τότ' ἐν δεπάεσσι κεραιόμενον ποτὸν ὄξευς
νείμειας, ποτὲ δαῖτα συνήρεα χιονόεσσαν,
πολλάκι κρυστάλλοιο νέον βορέῃσι παγέντος.
Ἢὲ σὺ γυρώσαιο καθαλμέα βώλακα γαίης
ναιομένην, θαλερὴν δὲ πόσιν μενοεικέα τεύξαις,
ἢ αὐτὴν ἅλα βάπτε, τότ' ἠελίοισι δαμάζων
εἶθαρ ὀπωρινοῖσι, τότ' ἠνεκὲς ἐν φλογὶ θάλψας.
Πολλάκι δ' ἢ ἅλα πηκτὸν ὁμιλαδὸν ἢ ἁλὸς ἄχνην
ἐμπίσαις, τήνθ' αἰὲν ἀνὴρ ἁλοπηγὸς ἀγείρει
νειόθ' ὑφισταμένην, ὁπόθ' ὕδασιν ὕδατα μίξῃ.
Μὴ μὲν δὴ ζύμωμα κακὸν χθονὸς ἀνέρα κήδοι,
πολλάκι μὲν στέρνοισι ἀνοιδέον, ἄλλοτε δ' ἄγχον·
εὖτ' ἐπὶ φωλεύοντα τραφῇ βαθὺν ὀλκὸν ἐχίδνης
ἰὸν ἀποπνεῖον στομίων τ' ἀποφώλιον ἄσθμα,
κεῖνο κακὸν ζύμωμα· τὸ δή ῥ' ὑδέουσι μύκητας
παμπήδην· ἄλλῳ γὰρ ἐπ' οὔνομα κέκριται ἄλλο.
Ἀλλὰ σύ γ' ἢ ῥαφάνοιο πόροις σπειρώδεα κόρσην
ἢ ῥυτῆς κλώθοντα περὶ σπάδικα κολούσας,
πολλάκι καὶ χαλκοῖο πάλαι μεμογηότος ἄνθην·
ἄλλοτε κληματόεσσαν ἐν ὄξεϊ βύπτεο τέφρην·
δή ποτε ῥιζίδα τρῖβε πυρίτιδα βάμματι ῥαίνων·
ἠὲ λίτρον, τοτὲ φύλλον ἐναλδόμενον πρασιῇσι

Urinæ exiguum vesica excernit, et illa
vel modo purpurea est, vel sanguine tincta rubescit.
Omnem aversatur piscem visoque repente
nauseat atque dapes, quas mittit pontus, abhorret.
Huic vero hellebori Phocæi pocula misce,
quamve reclusa recens lacrimam scammonia fundit,
piscis ut obsceni pellatur corpore virus;
aut asini interdum mulctram bibat ipse, vel olla
incocta absumat viscosæ vimina malvæ
concretamque picem, quæ cedri caudice manat,
vel modo granati fructus Cretensis abunde
mandat et œnopes, tum quæ promenea vocantur,
quæque ferax Ægina tulit, tum cuncta, rubentes
ac duros acinos tenui quæ cortice condunt;
nunc vero in quallum conjecta prematur edulis
uva, velut prælis udæ stringuntur olivæ.
Si quisquam multum sitiens e flumine vultu
ceu taurus prone liquidas potaverit undas,
seponens manibus sordes algamque natantem,
illius in fauces accedens impete magno,
longa, fame crepitans, quæ sanguine gaudet, hirudo
in labra cum potu, post ventrem fertur in altum.
Sive sub obscura quum lumina nocte teguntur,
ora, levare sitim cupiens, male providus urnæ
admorit, fluitans tunc summa vermis in unda
irruit et fauces subiens invadit apertas;
quoque illum varie jactatum cursus aquai
pertulit, heic hæretque et combibit ore cruorem,
nunc tenet obsessos animæ vocisque canales,
aer angustum qua præterlabitur isthmum;
nunc vero medii circumsedet oscula ventris,
atque hominem excrucians ingesta cibaria pascit.
Hanc autem, urentis qui pocula miscet aceti,
quique nivem adjungit, Boreæ vel frigore duro
adstrictam præbet glaciem, decedere cogit.
Aut salsam terræ perfossam vomere glebam
accipias largoque bibas humore madentem,
mox etiam pelago ex ipso salis unda petatur
solibus autumni vel multis fervida flammis.
Effossique sales pariter vel mista juvabit
spuma salis, fundo demersam quam legit imo
confundens undis salsamentarius undas.
Ne mala te vexent terræ fermenta, caveto;
illis sæpe tument præcordia, collaque duro
ut laqueo arctantur, latebris si proxima crescunt
vipereis, tætrum quibus exit virus, et ipsum
concipiunt cæco qui mittitur halitus antro;
quisque vocat fungos, sed plurima nomina passim.
Tu contra raphani sinuosum corpus et acris
concede excisum rutæ de cespite ramum
chalcanthumque vetus, natum sutoris in usus;
vel modo clematidis cinerem miscebis aceto,
nunc vero in poscam nitrum tritamque pyrethri
radicem infundes, vel quæ nascuntur in hortis,

καρδαμίδος μῆδόν τε καὶ ἐμπρίοντα σινήπυν·
σὺν δὲ καὶ οἰνηρὴν φλογιῇ τρύγα τεφρώσαιο,
ἠὲ πάτον στρουθοῖο κατοικάδος. ἐκ δὲ βαρεῖαν
χεῖρα κατεμματέων ἐρύκοις λωβήτορα κῆρα.
(616) Καὶ τὰ μὲν οὖν Νίκανδρος ἐῇ ἐνικάτθετο βίβλῳ
μοχθήεντα μύκητα παρ' ἀνέρι φαρμακόεντα.
Πρὸς δ' ἔτι τοι Δίκτυννα τέης ἐχθήρατο κλῶνας
Ἥρης τ' Ἰμβρασίης μούνη στέφος οὐχ ὑπέδεκτο
(620) κάλλεος, οὕνεκα Κύπριν, ὅτ' εἰς ἔριν ἠέρθησαν
ἀθάναται, κόσμησεν ἐν Ἰδαίοισιν ὄρεσσι.
Τῆς σύ γ' ἀπ' εὐύδροιο νάπης εὐαλδὲς ὄνειαρ,
καρπὸν πορφυρόεντα συναλδέα χειμερίησιν
ἠελίου θαλφθέντα βολῇς, δοίδυκι λεήνας,
(625) χυλὸν ὑπὲρ λεπτῆς ὀθόνης ἢ σχοίνιδι κύρτῃ
ἐκθλίψαντα πορεῖν κυάθου κοτυληδόνα πλήρη,
ἢ πλεῖον· πλεῖον γὰρ ὀνήϊον· οὐ γὰρ ἀνιγρὸν
(628) πῶμα βροτοῖς· τόδε γάρ τε καὶ ἄρκιον, αἴκε πίῃσθα.
Ἤν δὲ λιποῤῥίνοιο ποτὸν δυσάλυκτον ἰάψῃ
φαρμακίδος σαύρης πολυκηδέος, ἣν σαλαμάνδρην
κλείουσιν, τὴν οὐδὲ πυρὸς λωβήσατο λιγνύς,
(640) αἶψα μὲν ἐπρήσθη γλώσσης βάθος· ἅψ δ' ὑπὸ μάλκης
δάμναται, ἐμβαρύθων δὲ κακὸς τρόμος ἄψεα λύει·
οἱ δὲ περισφαλέοντες ἅτε βρέφος ἑρπύζουσι
τετράποδες· νοεραὶ γὰρ ἀπὸ φρένες ἀμβλύνονται·
σάρκα δ' ἐπὶ τροχόεντες ἀολλέες ἄκρα πελιδναὶ
(645) σμώδιγγες στάζουσι κεδαιομένης κακότητος.
Τῷ δὲ σὺ πολλάκι μὲν πεύκης ἀπὸ δάκρυ ὁμόρξας
τενθρήνης ἀναμίγδα πόροις ἐν πίοσιν ἔργοις·
ἠὲ χαμαιπίτυος βλαστήμονος ἄμμιγα κώνοις
φύλλα καθεψηθέντα, ὅσους ἐθρέψατο πεύκη·
(650) ἄλλοτε δὲ σπέραδος κνίδης μυλοεργέϊ μίσγων
τερσαίνοις ὀρόβοιο παλήματι· καί ποτε κνίδην
ἐψαλέην κρίμνοισι παλυνάμενος ψαφαροῖσιν
σὺν λίπεϊ χραίνοιο, βορῆς δ' ἀέκοντα κορέσκοις.
Ναὶ μὴν ῥητίνη τε καὶ ἱερὰ ἔργα μελίσσης
(655) ῥίζα τε χαλβανόεσσα καὶ ὠεὰ θιβρὰ χελώνης
ἀλθαίνει τότ' ἔνερθε πυρὸς ζαφελοῖο κεραίης,
(ἀλθαίνει καὶ γέντα συὸς φλιδόωντος ἀλοιφῇ·)
ἀμμίγδην ἁλίοιο καθεψηθέντα χελώνης
γυίοις, ἢ ταχινῇσι διαπλώει πτερύγεσσιν·
ἄλλοτε δ' οὐρείης κυτισηνόμου, ἥντ' ἀκάκητα
(660) αὐδήεσσαν ἔθηκεν ἀναύδητόν περ ἐοῦσαν
Ἑρμείης· σαρκὸς γὰρ ἀπ' οὖν νόσφισσε
αἰόλον· ἀγκῶνας δὲ δύω παρετείνατο πέζαις.
Καί τε σύ γ' ἢ γερύνων λαιδροὺς δαμάσαιο τοκῆας,
ἄμμιγα δὲ ῥίζας ἠρυγγίδας· ἐν δὲ ἑπαρκὲς
(665) θάλπε βαλὼν χύτρῳ σκαμμώνιον· οἷσι κορέσκων
ἀνέρα καὶ θανάτοιο πέλας βεβαῶτα σαώσεις.
Ἤν γε μὲν ἐκ φρύνοιο θερειομένου ποτὸν ἴσχῃς
ἠέ τι καὶ κωφοῖο λαχειδέος, ὅστ' ἐνὶ θάμνοις
εἴαρι προσφύεται μορόεις λιχμώμενος ἕρσην,
(670) τῶν ἤτοι θερόεις μὲν ἄγει χλόον ἠύτε θάψου,
γυῖα δὲ πίμπρησιν, τὸ δὲ συνεχὲς ἀθρόον ἄσθμα
δύσπνοον ἐκφέρεται, παρὰ χείλεσι δ' ἐχθρὸν ὄδωδεν.

carJamaque et Medum malum exurensque sinapi;
in cinerem pariter vini convertere fecem
gallinæque fimum ne spreveris, inque profundum
guttur, ut evites fatum, demittere dextram.
Ille ego Nicander, qui libro multa notavi
descripsique meo infesti medicamina fungi,
præterea moneo ramos; quos invida Pallas
odit, Junoni nec concessere coronam,
sed Venerem, quum essent formæ certamina divis,
victricem ornarunt frondosæ in collibus Idæ,
atraque stagnoso decerpere semina saltu,
cocta atque hiberno maturescentia sole,
egregium auxilium cochleari intrita levique
linteolo, aut curvo transmittere vimine succum,
et pleno expressum cyatho præbere bibendum,
aut multis, si plus cupias prodesse, (saporis
nil habet ingrati,) et certam hinc sperare salutem.
Sin quis viscosi tristisque venena lacerti
mortifera ebiberit, vero salamandra vocatur
nomine, damnosus quam non violaverit ignis,
extemplo ardentum vexant incendia linguam;
torpescunt proprioque trementia pondere membra
solvuntur, non firmi errant pedibusque quaternis
ut pueri incedunt, nam mens obtusa vacillat;
plurima perque cutem vibex livescit in orbem
et saniem exstillat, multum tardante veneno.
Huic vero lacrima celsæ medicabere pinus,
si lento cupias fusam componere melli;
necnon cum piceæ terrestris germine pini
incoque maturum, qui pendet in arbore, conum;
atque mola decussæ ervi miscere farinæ
expedit et siccare urticæ semen, et ipsam
urticam tenui conspersam polline, coctam
ex oleo edisse invitoque obtrudere ventri.
Quin resina tenax et apis fetura sacratæ
radix galbanea et tenerum testudinis ovum
cornigeræ coctum flammis ferventibus ignis,
(distentæque suum multa pinguedine carnes,)
cum curva auxilio veniunt testudine coctæ
quæ pelagi fluctus velocibus innatat alis;
aut montana etiam, cytiso quæ vescitur, et quam
reddidit e muta modulanti voce canoram
Mercurius, picto insontis qui cortice carnem
exemit geminumque ancona intendit in oris.
Dede neci turpes ranas stirpemque remisce
spinosæ erynges, simul et scammonia justo
pondere fervescat, saturumque a morte reduces
hoc potu Inferni subeuntem limina Ditis.
Pocula si quisquam æstivis medicata rubetis
ebibit aut ranis, quæ mutæ hirtæque cohærent
vere novo arbustis rorantemque æra sugunt,
illa quidem thapso similem per membra virorem
molemque ingenerant, confertaque pectore anhelo
ducitur ægre anima, et fœtor gravis insidet ori.

Ἀλλὰ σὺ τῷ βατράχοιο καθεψέος ἠὲ καὶ ὀπτὴν
σάρκα πόροις, ὅτε πίσσαν ἐν ἡδεῖ μίγμενος οἴνῃ.
Καί τε σπλὴν ὁλοοῖο κακὸν βάρος ἤρκεσε φρύνης,
λιμναίης φρύνης πολυηχέος, ἥτ' ἐπὶ φύκει
πρῶτον ἀπαγγέλλουσα βοᾷ θυμάρμενον εἶαρ.
Αὐτὰρ ὅ γ' ἄφθογγός τε καὶ ἐν δονάκεσσι θαμίζων
πολλάκι μὲν πύξοιο χλόον κατεχεύατο γυίοις,
ἄλλοτε δ' ὑγραίνει χολόεν στόμα· καί ποτε λυγμοὶ
ἀνέρα καρδιόωντα θαμειότεροι κλονέουσι.
Δὴν δὲ κατικμάζων ἄγονον σπόρον ἄλλοτε φωτὸς,
πολλάκι θηλυτέρης, σκεδάων γυίοισι τελίσκει.
Ναὶ μὴν τοῖς ὅτε νέκταρ ἀφυσγετὸν ἐν δεπάεσσι
χεύοις, εἰς ἔμετον δὲ καλοῦ κατέοντα πελάζοις.
Ἠὲ πίθου φλογιῇ θάλψας κύτος αἰὲν ἀναλθῇ
ἀνέρα θερμάσαιο· χέαι δ' ἀπὸ νήχυτον ἱδρῷ.
Καί τε καὶ αὐξηρῶν δονάκων ἀπὸ ῥιζέα κόψας
οἴνῳ ἐπεγκεράσαιο, τὰ δή ῥ' ὑποτέτροφε λίμνη
οἰκείῃ, τόθι λεπτὰ δι' ἐκ ποσὶν ἕρπετὰ νήχει·
ἠὲ φιλοζώοιο κυπείριδος ἠὲ κυπείρου·
αὐτόν τ' ἠνεκέεσσι τρίβοις πανάπαστον ἐδωδῆς
καὶ πόσιος ξήραινε, κατατρύσαιο δὲ γυῖα.
Ἐχθομένη δέ σε μή τι λιθάργυρος ἀλγινόεσσα
λήσειεν, ὅτε γαστρὶ πέσῃ βάρος, ἀμφὶ δὲ μέσσον
πνεύματ' ἀνειλίσσοντα κατ' ὀμφάλιον βρομέῃσιν,
οἷά περ εἰλίγγοιο δυσαλθέος, ὅστε δαμάζει
ἀνέρας ἀπροφάτοισιν ἐπαΐσσων ὀδύνῃσιν.
Οὐ μὲν τῷ γ' οὖρων ἄνυται ῥύσις· ἀμφὶ δὲ γυῖα
πίμπραται· αὐτάρ που μολίβῳ εἰδήνατο χροιήν.
Τῷ δ' ὅτε μὲν σμύρνης ὀδελοῦ πόρε διπλόον ἄχθος,
ἄλλοτε δ' ὁρμίνοιο νέην χύσιν, ἄλλοτε κόψας
οὐρείην ὑπέρεικον, ὅθ' ὑσσώπου ὀροδάμνους.
Πολλάκι δ' ἀγριόεντα κράδην σπέρασός τε σελίνου
Ἰσθμιον· ᾧ ποτε κοῦρον ἁλίβαπτον Μελικέρτην
Σισυφίδαι κτερίσαντες ἐπηέξησαν ἀέθλους.
Ἠὲ σύ γ' ἐν πέπερινι ῥυσίμῳ ἐνομήρεα κόψας
οἴνῳ ἔνι θρύψαιο, κακῆς δ' ἀπερύκεο νούσου.
Κύπρου τε βλαστεῖα νεανθέα, πολλάκι σίδης
πρωτόγονον κυτίνοιο πόροις ἀνθήμονα καρπόν.
Μὴ μὲν δὴ σμῖλον σὺ κακὴν ἐλατηΐδα μάρψαις
Οἰταίην, θανάτοιο πολυκλαύστοιο δότειραν·
ἥντε καὶ ἐμπλείουσα χαλικροτέρη πόσις οἴνης
οἵη ἐπαλθήσειε παραχρέος, ἡνίκα φωτὸς
ἴσθμια καὶ φάρυγος στεινὴν ἐμφράσσεται εἶμον.
Καί κ' ἔνθ' ὑμνοπόλοιο καὶ εἰσέτι Νικάνδροιο
μνῆστιν ἔχοις, θεσμὸν δὲ Διὸς ξενίοιο φυλάσσοις.

Præsidio tamen est ranarum torrida flammis
aut elixa caro vel pix infusa falerno.
Letiferæque levat pondus crudele rubetæ
splan ranæ, stagni glauca quæ degit in ulva
garrulaque optati prædicit tempora veris.
Muta autem et longa latitans sub arundine, buxi
diffundit viridem per languida membra colorem;
os quoque bile madet; morsus aliquando molesti
corda premunt, crebris singultibus ilia saltant.
Inviti stillant, tam vir quam femina, multo
semine, nec superest sobolis spes ulla futuræ.
Sed tu funde merum pateris testaque repostum
promito et ad vomitum cogas, si forte recuset.
Illum etiam in labro, quod subdita flamma fovebit,
calfacias, fusoque cutis sudore madescat.
Quin et arundineam siccam cæsamque lyæo
radicem misce, illarum quæ plurima stagnis
crescit, ubi immundas gaudent innare per undas;
vel quam juncus habet grati quadratus odoris;
assiduo vacuum potusque cibique labore
exerce tumidumque resicca et digere corpus.
Argenti vero crudelis spuma latere
te nequit, alvus si gravis est, flatusque rotati
volvuntur medioque cient umbone tumultus;
ileon infestare putes, qui cæca volutans
murmura distorquet sævis cruciatibus ægros.
Sistitur urinæ cursus, tumor undique corpus
occupat, et vultum species plumbi æmula fœdat.
Ast obolos myrrhæ binos largire Sabææ
poculaque hormini, aut crescens hypericon in altis
montibus, hyssopi vel germina cæde cilissæ.
Sæpe etiam agrestem ficum Isthmiacumque selini
semen, quod merso Melicertæ funus agentes
Sisyphidæ puero, victori præmia donant.
Rugosumque piper simul intere cumque liquore
lenæo exhauri et tristem medicabere morbum.
Germinaque interdum florentis parva ligustri
puniceique novos granati collige fructus.
Parce venenata taxo, quæ surgit in Œta
abietibus similis letoque absumit acerbo,
ni præter morem pleno cratere meraca
fundere vina pares, quum primum sentiet æger
arctari obstructas fauces animæque canalem.
Jam te Nicandri memorem precor esse poetæ,
atque Jovem jura hospitibus reverebere dantem.

ΑΠΟΣΠΑΣΜΑΤΑ

ΤΩΝ ΑΕΙΠΟΝΤΩΝ

ΤΟΥ ΝΙΚΑΝΔΡΟΥ

ΠΟΙΗΜΑΤΩΝ.

ΕΚ ΤΩΝ ΓΕΩΡΓΙΚΩΝ.

I.

Ἐκ τοῦ α'.

Ἀλλ' ὁπότ' ἢ ἐρίφοιο νεοσφάγος ἠὲ καὶ ἀρνὸς
ἢ αὐτοῦ ὄρνιθος ἐφοπλίζηαι ἐδωδὴν,
χίδρα μὲν ἐκτρίψειας ὑποτρώσας ἐνὶ κοίλοις
ἄγγεσιν, εὐώδει δὲ μιγένθ' ἅμα φύρσον ἐλαίῳ.
ζωμὸν δὲ βρομέοντα κατάντλασον, αὐτὸν ἀπ' αὐτοῦ
ἀρνύμενος, ἵνα μηδὲν ὑπερζῇ· πνῖγε δὲ πῶμα
ἀμφιβαλών· φωκτὸν γὰρ ἀνοιδαίνει βαρὺ κρῖμνον·
ἠρέμα δὲ χλιάον κοίλοις ἐξαίνυσο μύστροις.

Athen. III. p. 126. (487. S.)

II.

Ἐκ τοῦ β'.

Ἀλλὰ τὰ μὲν σπείροις τε καὶ ὡς ὡραῖα φυτεύοις
ἄνθη Ἰαονίηθε· γένη γε μὲν ἴασι δισσὰ,
ὠχρόν τε χρυσῷ τε φυὴν εἰς ὦπα προσειδὲς,
ἅσσα τ' Ἰωνιάδες νύμφαι στέφος ἁγνὸν Ἴωνι
Πισαίοις ποθέσασαι ἐνὶ κλήροισιν ὄρεξαν.
Ἤνυσε γὰρ χλούνην τε μετεσσύμενος σκυλάκεσσιν
Ἀλφειῷ καὶ λῦθρον ἑῶν ἐπλύνατο γυίων,
ἐσπέριος νύμφαισιν Ἰαονίδεσσι νυχεύσων.
Αὐτὰρ ἀκανθοδόλοιο ῥόδου κατατέμνεο βλάστας
τάφροις τ' ἐμπήξειας, ὀδὸν διπάλαιστα τελέσκων.
Πρῶτα μὲν Ὠδονίηθε Μίδης ἅπερ Ἀσίδος ἀρχὴν
λείπων, ἐν κλήροισιν ἀνέτρεφεν Ἡμαθίοισιν,
αἰὲν ἐν ἑξήκοντα πέριξ κομόωντα πετήλοις.
Δεύτερα Νισαίης Μεγαρηίδος· οὐδὲ Φασηλὶς,
οὐδ' αὐτὴ Λευκόφρυν ἀγασσαμένης ἐπιμεμφὴς,
Ληθαίου Μάγνητος ἐφ' ὕδασιν εὐθαλέουσα.
Κισσοῦ δ' ἄλλοτε κλῶνες ἐϋῤῥίζου καπέτοισι,
πολλάκι δὲ στέφος αὐτὸ κορυμβήλοιο φυτεύσαις
δάσκιον, ἀργοπόδην ἠδὲ κλαδέεσσι πλανήτην·
βλάστα δρέπου δὲ χυτοῖο καὶ εἰς μίαν ὄρσεο κόρσην,
σπεῖραν ὑπὸ σπυρίδεσσι νεοπλέκτοισι καθάπτων,
ὄφρα δύο κροκόωντες ἐπιζυγέοντε κόρυμβοι
μέσσα συνωρίζωσιν ὑπερφιάλοιο μετώπου,
χλωροῖς ἀμφοτέρωθεν ἐπηρεφέες πετάλοισιν.
Σπερματίνην κάλυκες κεφαλήγονοι ἀντέλλουσιν
ἀργῆες πετάλοισι, κρόκῳ μέσα χροιῖσθεῖσαι.
* * * * * * * *

FRAGMENTA

DEPERDITORUM

NICANDRI

POEMATUM.

E GEORGICIS.

I.

E libro 1.

Sin aut hœdi recens-jugulati aut agni
aut etiam gallinæ paras edulium,
grana novellis ex spicis extrita sterne in cavis
vasis, fragranteque admixto subige oleo;
tum jusculum fervidum affunde, ipsum ex se
hauriens, ne quid efferveat; suffoca vero opercuio
imposito; igni enim expositum valde intumescit hordeum;
sensim vero tepidum cavis epulare mystris.

II.

E libro 2.

Sed alios quidem severis et ut pulcros plantaveris
flores Ionica origine. Genera autem iadum (*violarum*) duo,
pallidum, et auro natura simile adspectu,
quas Ioniades nymphæ coronam castam Ioni
Pisæis in terris, amore captæ, obtulerunt.
Confecerat enim aprum, canibus persecutus,
et in Alpheo cruorem de suis abluerat membris,
noctu cum nymphis Ioniadibus cubiturus.
Porro spinis infestæ rosæ abscinde surculos,
et fossis infige, interstitium duorum palmorum faciens.
Primas quidem ex Odonia Midas, Asiæ regno
relicto, in fundis coluit Emathiis,
semper ad sexaginta circumcirca foliis comatas.
Secundæ *sunt* ex Nisæa Megarica; nec vero Phaselis,
nec ea quæ Leucophryn (*Dianam*) colit, spernenda,
Lethæi Magnetis ad undas florens.
Hederæ radicosæ interdum ramos in scrobibus,
sæpius vero coronam ipsam corymbiatæ serito,
umbrosam, lente serpentem et brachiis errabundam:
vel germina carpe diffusæ et in unam erige cristam,
sportam ex viminibus nuper textis adaptans,
sic ut duo crocei simul juncti corymbi
mediam partem conjungant erecti verticis,
utrinque virenti fastigiati fronde.
Semen calyces in apice nati producunt,
albi foliis, croco in medio tincti.
* * * * * *

Ἄ κρίνα, λείρια δ' ἄλλοι ἐπιφθέγγονται ἀοιδῶν,
οἱ δὲ καὶ ἀμβροσίην, πολέες δέ γε χάρμ' Ἀφροδίτης·
ἤρισε γὰρ χροιῇ· τὸ δέ που ἐπὶ μέσσον ὄνειδος
ὅπλον βρωμήταο διέκτελλον πεφάτισται.
Ἶρις δ' ἐν ῥίζῃσιν ἀγαλλίδι ἠδ' ὑακίνθῳ
αἰαστῇ προσέοικε, χελιδονίοισι δὲ τέλλει
ἄνθεσιν, ἰσοδρομεῦσα χελιδόσιν· αἵ τ' ἀνὰ κόλπῳ
φυλλάδα νηλείην ἐχχεύετον, ἀρτίγονοι δὲ
εἴδονθ' ἡμύουσαι ἀεὶ κάλυκες στομίοισι.
Σὺν καί περ τοξία χροιῇ λυχνὶς, οὐδὲ θρυαλλὶς,
οὐδὲ μὲν ἀνθεμίδων κενεὴ γηρύσεται ἀκμὴ,
οὐδὲ βοάνθεμα κεῖνα, τά τ' αἰπύτατον κάρη ὑψοῖ,
φλὸξ δὲ θεοῦ αὐγῇσιν ἀνερχομένης ἀνιοῦσα.
* * * * * * * * * *

Ἕρπυλλον φρέατος πέλας ἐν βώλοισι φυτεύσεις,
ὄφρα κλάδοις μακροῖσιν ἑφερπύζων διάηται,
ἠὲ κατακρεμάήσι ἑφιμείρων ποτὰ νυμφέων.
* * * * * * * * *

Καὶ δ' αὖ τῆς μήκωνος ἄπο πλαταγώνια βάλλοις,
ἄβρωτον κώδειαν ὄφρα κνώπεσσι φυλάξῃ·
φυλλοσινῇ γὰρ πάντα διοιγομέναισιν ἐρίζει
ἑρπετά· τὴν δὲ δρόσοισιν ἐϊσκομένην βοτέονται
κώδειαν, καρποῖο μελιχροτέρου πλήθουσαν.
Θρίων δ' οἰχομένων, ῥέα μὲν φλόγες, ἄλλοτε ῥιπαὶ
πλῆξαν σάρκα τυπῇσι· τὰ δ' οὐ βάσιν ἐστήριξαν,
οὔτε τί πω βρώμην ποτιδέγμενα· πολλάκι δ' ἴχνη
στιφροῖς ὠλίσθησαν ἐνιχρίμψαντα καρείοις·
ἀδρύνει δὲ βλάστα βαθεῖ ἐν τεύχεϊ καρπόν.
* * * * * * * * *

Σαμψύχου λιβάνου τε νέας κλάδας, ἠδ' ὅσα κῆποι
ἀνδράσιν ἐργοπόνοις στεφάνους ἐπιπορσαίνουσιν·
ἦ γὰρ καὶ λεπταὶ πτερίδες, καὶ παιδὸς ἔρωτες
λεύκῃ ἰσαιομένοι, σὺν καὶ κρόκος εἴαρι μύων,
κύπρος τ', ὀσμηρόν τε σισύμβριον, ὅσσα τε κοίλοις
ἄσπορα ναομένοισι τόποις ἀνεθρέψατο λειμὼν
κάλλεα, βούφθαλμόν τε καὶ εὐῶδες Διὸς ἄνθος,
χάλκας, σὺν δ' ὑάκινθον, ἰωνιάδας τε χαμηλὰς,
ὀρφνοτέρας ἃς στύξε μετ' ἄνθεσι Περσεφόνεια·
σὺν δὲ καὶ ὑψήεντα πανόσμεον, ὅσσα τε τύμβοι
φάσγανα παρθενικαῖς νεοδουπέσιν ἀμφιχέονται·
αὐταί τ' ἠΐθεαι ἀνεμωνίδες ἀστράπτουσαι,
τηλόθεν ὀξυτέρῃσιν ἐφελκόμεναι χροιῇσιν.
Πᾶς δέ τις ἢ ἑλένειον ἢ ἀστέρα φωτίζοντα
δρέψας εἰνοδίοισι θεῶν παρακάββαλε σηκοῖς
ἢ αὐτοῖς βρετάέσσιν, ἅτε πρώτιστον ἴδωνται·
πολλάκι θέλκια καλὰ, τό τε χρυσανθὲς ἀμέργων,
λείριά τε σκήλαισιν ἐπιφθίνοντα καμόντων,
καὶ γεραὸν πώγωνα, καὶ εὐτραπέας κυκλαμίνους,
σαύρην θ', ἣ χθονίου πέφαται στέφος Ἡγεσιλάου.

Athen. XV. p. 683. (490. S.)

Quæ crina, alii vero lilia vocant cantores,
alii item ambrosiam, multi autem oblectamentum Veneris :
contendit enim (*cum ea*) de colore : quare in medio probrum,
membrum rudentis animalis, assurgere dicitur.
Iris autem radicibus agallidi et hyacintho
Ajacis e cruore orto similis est; hirundinariis vero adsurgit
floribus, simul cum hirundinibus proveniens. Hæ e gremio
folia sæva effundunt; recens nati vero
conspiciuntur flores inclinatis semper orificiis.
Simul, quamvis venenosa colore lychnis, neque thryallis,
nec anthemidum vanus dicetur esse vigor,
nec boanthema illa, quæque altissime caput attollunt,
flammula cum dei radiis redeuntibus surgens.
* * * * * * *

Serpyllum prope puteum in glebis plantabis,
ut ramis longis serpens perfletur,
aut dependeat expetens potum nympharum.
* * * * * * *

Jam vero papaveris folia abjice,
salvum ut caput a culicibus servet.
Folia enim quæ rodunt, omnia apertis insident
insecta, et roribus simile depascuntur
caput, fructu mellito repletum.
Foliis vero detractis, facile ardores (solis), subinde venti
percutiunt carnem ictibus : illa vero gradum non firmant,
nec jam quidquam cibi nanciscentia : sæpe vero vestigia
fallunt rigidis appropinquantia capitibus.
Augent vero germina profundo in (capitis) vasculo semen.
* * * * * * *

Amaraci *sere* et roris marini novos ramulos, et quotquot
horti] viris cultoribus coronas suppeditant.
Sane *huc referendæ* etiam tenues filices, et præderotes
populo similes, simul etiam crocus vere se abscondens,
et cyprus, et fragrans sisymbrium, et quoscunque cavis
sponte crescentes in locis et irriguis alit pratum
venustos flores, ut buphthalmum, et odoratum Jovis florem,
chalcas, et hyacinthum, et violas humiles,
quas obscuriores inter flores oderat Proserpina :
adhæc altum panosmium, et quos tumuli
gladiolos virginibus recens mortuis circumfundunt;
ipsæque juvenes anemonides fulgentes,
procul splendidioribus allicientes coloribus.
Quisquis vero aut helenium aut astera splendentem
solligis, triviis deorum adjice ædiculis
aut ipsis simulacris, quum primum conspexeris;
sæpe pulcra placamenta carpens, *ut* chrysanthemum,
et lilia, quæ in cippis marcescant defunctorum,
et gerontopogonem, et tortiles cyclaminos,
et sauram (*nasturtium*) quæ inferi corona dicitur Agesilai.

III.

Γογγυλίδας σπείροις δὲ κυλινδρωτῆς ἐφ' ἅλωος,
ὄφρ' ἂν ἴσαι πλαθάνοισι χαμηλότεραι θαλέθωσι.

III.

Rapas vero seras in area cylindro complanata,
ut in orbem patentes humiliores progerminent.

Βουνιὰς † ἀλλ' εἴσω βαφάνοις εἴσω λαθαρωκοί. †
Γογγυλίδος δισσὴ γὰρ ἰδὲ βαφάνοιο γενέθλη
μακρή τε στιφρή τε φαείνεται ἐν πρασιῇσι.
Καὶ τὰς μέν θ' αὖηνον ἀποπλύνας βορέῃσι,
προσφιλέας χειμῶνι καὶ οἰκουροῖσιν ἀεργοῖς·
θερμοῖς δ' ἰκμανθεῖσαι ἀναζώουσ' ὑδάτεσσι.
Τμῆγε δὲ γογγυλίδος ῥίζας, καὶ ἀκαρφέα φλοιὸν
ἦκα καθηράμενος, λεπτουργέας· ἠελίῳ δὲ
αὐήνας ἐπὶ τυτθὸν, ὅτ' ἐν ζεστῷ ἀποβάπτων
ὕδατι, δριμείῃ πολέας ἐμβάπτισον ἅλμῃ·
ἄλλοτε δ' αὖ λευκὸν γλεῦκος συστάμνισον ὄξει,
ἶσον ἴσῳ, τὰς δ' ἐντὸς ἐπιστύφας ἁλὶ κρύψαις.
Πολλάκι δ' ἀσταφίδας προχέας τριπτῆρι λεήναις,
σπέρματά τ' ἐνδάκνοντα σινήπυος· † εἶν ἑνὶ δὲ τρὺξ
ὄξεος, ἰκμάζουσα καὶ ὠμοτέρην ἐπὶ κόρσην. †
Ὥριον ἁλμαίην ἄρυσαι κεχρηόσι δαίτης.

Athen. IX. p. 360 (361. S.) et IV. p. 133. (24. S.)

Bunias. . . . . .
Rapæ enim duplex et raphani progenies,
oblonga et globosa, conspicitur in areolis.
Et istud quidem genus, bene lotum, sicca ad boream;
amicum hiemi famulisque *tum* otiosis:
calidis humefactum aquis reviviscit.
Seca vero rapi radices, insiccato cortice
leniter detracto, minutatim: et in sole
paululum siccatas, aut ferventi intinctas
aquæ, multas acri immerge muriæ;
aut vero album mustum confunde cum aceto
partibus æqualibus; hasque intus stipatas obtege sale.
Sæpius autem uvas passas injiciens pistillo conteras
seminaque mordacia sinapi; . . . . . .
. . . . . .
Tempestiva salgama haurias indigentibus cibo.

IV.

Αὐτὰς μὴν σικύας τμηγῶν ἀνὰ κλώσμασι πείρας,
ἠέρι δὲ ξήρανον, ἐπεγκρεμάσαιο δὲ καπνῷ,
χείμασιν ὄφρ' ἂν δμῶες ἅλις περιχανδέα χύτρον
πλήσαντες ῥοφέωσιν ἀεργέες· ἔνθα τε μέτρῳ
ὅσπρια πανσπερμηδὸν ἐπεγχεύῃσιν ἀλετρίς.
Τῇ ἕνι μὲν σικύης ὄρμους βάλον ἐκπλύναντες,
ἐν δὲ μύκην † σίρας τε πάλαι λαχάνοισι πλακείσας †
οὐλοτέροις καυλοῖς τε μιγήμεναι † εὐφα ορίζῃ. †

Athen. IX. p. 372. (376. S.)

Ipsas jam cucurbitas sectas filis transfige,
tum in aere sicca et suspende ad fumum;
ut hieme famuli satis patentem ollam
impletam sorbeant feriantes: ibique justa mensura
legumina omnis generis infundat molitrix.
In eam sicyæ monilia injiciant lota,
ac fungos. . . . . .
cum crispis brassicis miscere. . . .

V.

Ἐν δέ τε καὶ μαράθου καυλὸς βαθὺς, ἐν δέ τε ῥίζαι
πετραίου, σὺν δ' αὐτὸς ὑπαυχμήεις σταφυλῖνος,
σμυρνεῖον, σόγκος τε κυνόγλωσσός τε σέρις τε·
σὺν καὶ ἄρου δριμεῖα καταψήχοιο πέτηλα
ἠδ' ὅπερ ὄρνιθος κλέεται γάλα.

Athen. IX. p. 371 (370. S.)

In his etiam fœniculi caulis crassus, in his radices
saxosi, et ipsa in arrida terra crescens pastinaca,
smyrnium, et sonchus, et cynoglossum, et cichorium.
Simul et ari acria contundas folia,
et herbæ quæ gallinæ vocatur lac.

VI.

Καί τε σύ γε θρέψαιο Δρακοντιάδας διτοκεύσας,
ἢ Σικελὰς Μεγάροιο πελειάδας· οὐδέ φιν ἅρπαι,
οὐδέ φιν ὀστράκεοι νωμήσιμοι ἐξενίπτονται.

Athen. IX. p. 395. (460. S.)

Tuque ale Dracontiadas biparas
aut Siculas Megari columbas; quibus nec falcones
nec accipitres nocere dicuntur.

VII.

Φηγοὶ, Πανὸς ἄγαλμα.

Athen. II. p. 52. (201. S.)

Fagi, Panis decus.

ΑΔΗΛΑ ΕΚ ΤΩΝ ΓΕΩΡΓΙΚΩΝ.

INCERTÆ SEDIS E GEORGICIS.

VIII.

Καὶ μορέης, ἢ παισὶ πέλει μειλίγμα νέοισι,
πρῶτον ἀπαγγέλλουσα βροτοῖς ἡδεῖαν ὀπώρην.

Athen. II. p. 51. (197. S.)

VIII.

Et mori arboris, quæ pueri est oblectamentum tenellis,
primum annuncians mortalibus suaves autumni fructus.

X.

Ἔχθρὰ δ' ἐλαίης
βοιῆς τε πρίνου τε δρυός τ' ἄπο πήματα κεῖται,
οἰδαλέα, ξύγκολλα βάρη πνιγόεντα μυκήτων.
* * * * * * * * *
Συκέης ὁπότε στέλεχος βαθὺ κόπρῳ
κακκρύψας ὑδάτεσσιν ἀειναέεσσι νοτίζοις,
φύσονται πυθμέσσιν ἀκήριοι· ὧν σὺ μύκητα
θρεπτὸν, μή τι χαμηλὸν, ἀπὸ ῥίζης προτάμοιο.
* * * * * * * * * *
Καί τε μύκητας ἀμανίτας τότ' ἐφεύσαις.

Athen. II. p. 60,61.(233,234. S.)

X.

Σπείρειας κύαμον Αἰγύπτιον, ὄφρα θερείης
ἀνθέων μὲν στεφάνους ἀνύῃς, τὰ δὲ πεπτηῶτα
ἀκμαίου καρποῖο κιβώρια δαινυμένοισιν
εἰς χέρας ἡϊθέοισι πάλαι ποθέουσιν ὀρέξῃς·
ῥίζας δ' ἐν θοίνῃσιν ἀφεψήσας προτίθημι.
* * * * * * * * *
* Κυάμους λέψας κολοκάσιον ἐντμήξας τε.

Athen. III. p. 72. (284. S.)

XI.

Αείη μὲν κράμβη, ὁτὲ δ' ἀγριὰς ἐμπίπτουσα,
σπειρομένη πολύφυλλος ἐνήβησε πρασιῇσιν
ἡ οὖλη † καὶ τύριος ὁ † θαμνῖτις πεταλοισιν,
ἣ ἐπιφοινίσσουσα καὶ αὐχμηρῇσιν ὁμοίη,
βατραχέη Κύμη τε κακόχροος, ἡ μὲν ἔοικε
πέλμασιν, οἷσι πέδιλα παλίμβολα κασσύουσιν,
ἣν μάντιν λαχάνοισι παλαιογόνοι ἐνέπουσιν.

Athen. IX. p. 370. (264. S.)

XII.

Σὺν καὶ φοίνικος παραφυιάδας ἐκκόπτοντες
ἐγκέφαλον φορέουσι νέοις ἄσπαστὸν ἔδεσμα.

Athen. II. p. 71. (275. S.)

XIII.

Κάρδαμον ἀῤῥινόν τε μελάμφυλλόν τε σίνηπυ.

Athen. IX. p. 366. (352. S.)

XIV.

Λόπιμον κάρυόν τε
Εὐβοέες, βάλανον δὲ μετεξέτεροι καλέσαντο.

Athen. II. p. 54. (208. S.)

XV.

Ἠὲ καὶ ὄστρεα τόσσα, βυθοὺς ἅτε βόσκεται ἅλμης,
νηρῖται στρόμβοι τε πελωριάδες τε μύες τε
γλίσχραι τέλλινές τε καὶ αὐτῆς φωλεὰ πίννης.

Athen. III. p. 92. (360. S.)

IX.

Inimica ab olea,
a punica, ab ilice, a quercu, mala imminent·
tumidæ, adglutinatæ moles suffocantes fungorum.
* * * * * * * *
Arboris ficus truncum multo si lætamine
obrutum aquis perennibus rigaveris,
nascentur in imo innoxii (fungi) quorum tu fungum
esculentum, minimeque spernendum, a radice præcides.
* * * * * * * *
Et amanitas fungos tunc torrere licebit.

X.

Serito fabam Ægyptiam, ut æstate
ex floribus coronas facias, delapsa vero
maturi fructus ciboria convivantibus
in manus tradas juvenibus, pridem desiderantibus.
Radices equidem epulis elixas appono.
* * * * * * * *
* Fabis decorticatis colocasioque conciso.

XI.

Glabra brassica, subinde silvestris occurrens,
sata multifolia pubescit in areis hortorum,
crispa . . . fruticosa foliis
aut purpurascens et squalidis similis,
ranarum colore, et cyme decolor, quæ similis est
soleis quibus calceos vetustate detritos reficiunt,
quam mantin (*vatem*) inter olera prisci vocant.

XII.

Simul et palmæ stolones excidentes,
cerebrum ferunt, exoptatum juvenibus cibum.

XIII.

Nasturtium et nares lædens nigris foliis sinapi.

XIV.

[Castaneam] lopimon ac nucem
Euboici, glandem vero alii vocabant.

XV.

Aut quotquot ostrea in profundo pascuntur mari,
neritæ turbinesque et peloriades musculique
lubricæque tellinæ et ipsius latibulum pinnæ.

ΕΚ ΤΩΝ ΟΙΤΑΙΚΩΝ.

XVI.

Ἐκ τοῦ β'.

Πομπίλος, ὃς ναύτῃσιν ἀδημονέουσι κελεύθους
μηνύσας φιλέρωσι, καὶ ἄφθογγός περ ἀμύνων.

Athen. VII. p. 282. (31. S.)

EX ŒTAICIS.

XVI.

E libro 2.

Pompilus, qui nautis anxiis vias [dio est
monstrat ad amorem propensis, et quamvis mutus, præsi-

ΕΚ ΤΩΝ ΕΤΕΡΟΙΟΥΜΕΝΩΝ.

XVII.

Αὐτίχ' ὅ γ' ἡ Σιδόεντος ἠὲ Πλείστου ἀπὸ κήπων
μῆλα ταμὼν χλοάοντα τύπους μιμήσατο Κάδμου.

Athen. III. p. 82. (p. 321. S.)

EX TRANSFORMATIS.

XVII.

Statim ille ex Siduntis aut Plisti hortis
mala incidens virentia, imagines imitatur Cadmi.

XVIII.

Νίκανδρος ὁ Κολοφώνιος τοὺς μὲν Ἰνδοὺς κύνας ἀπογόνους φησὶν εἶναι τῶν Ἀκταίωνος κυνῶν, αἳ μετὰ τὴν λύτταν σωφρονήσασαι, διαβᾶσαι τὸν Εὐφράτην ἐπλανήθησαν εἰς Ἰνδούς, ὥσπερ τὰς Χαονίδας καὶ Μολοττίδας ἀπογόνους εἶναί φησι κυνὸς, ὃν Ἥφαιστος ἐκ χαλκοῦ Δημονησίου χαλκευσάμενος,

καὶ ψυχὴν ἐνθεὶς, δῶρον ἔδωκε Διΐ,

κἀκεῖνος Εὐρώπῃ, αὕτη δὲ Μίνῳ, καὶ Μίνως Πρόκριδι, καὶ Πρόκρις Κεφάλῳ. Φύσιν δ' εἶχεν ἄφυκτος εἶναι, ὥσπερ ἡ Τευμησία ἀλώπηξ ἄληπτος· καὶ διὰ τοῦτο ἀπελιθώθησαν ἄμφω, ὁ μὲν, ἵνα μὴ λάβῃ τὴν ἄληπτον ἀλώπεκα, ἡ δὲ, ἵνα μὴ φύγῃ τὸν ἄφυκτον κύνα. Αἱ δὲ Καστορίδες Κάστορος θρέμματα, Ἀπόλλωνος τὸ δῶρον. Ταύτας δ' ὁ αὐτὸς οὗτος ποιητὴς εἶναι τὰς ἀλωπεκίδας λέγει, μιξαμένου τὸ γένος ἀλώπεκι Κάστορος. Αἱ δὲ Ἐρετρικαὶ, καὶ ταύτας Ἀπόλλων ἔδοικε· τοὺς δὲ λαβόντας καὶ θρέψαντας Εὐρυτίδας φησὶν εἶναι. Καὶ μὴν τάς γε Μενελαΐδας τὰς αὐτὰς εἶναί φησι ταῖς Ψυλλικαῖς, δύ' ἀδελφῶν κυνῶν ἐκεῖθεν ὑπὸ Μενέλεω περὶ τὴν Ἀργολικὴν τραφεισῶν. Polluc. Onom. 5. s. 38, 39, 40. Cf. Anton. Liber. cap. 31. Huc pertinent plura ejusdem capita, quæ fabulas ex eodem Nicandri opere excerptas tradunt.

XVIII.

Nicander Colophonius Indicos canes canum Actæonis posteros esse dicit, qui post rabiem cum resipuissent, Euphratem transgressi, in Indos errabundi delati sunt. Quemadmodum et Chaonides Molossicosque ejus canis posteros esse ait, quem Vulcanus, e Demonesio ære fabricatum,

anima indita, Jovi dono dedit,

hic vero Europæ, illa Minoi, Minos Procridi, Procris Cephalo. Natura autem inevitabilis erat, quemadmodum et vulpes Teumesia capi per fatum non poterat, et ob hoc ambo in lapides mutati sunt, hic quidem, ne vulpem, quam capi fata nolebant, caperet, hæc vero, ne canem effugeret inevitabilem. Castorides vero, Castoris alumni, et Apollinis donum sunt; quos idem poeta vulpinos nominat, mixto genere cum vulpe Castoris. Sed et Eretricos Apollo dedit; horum vero susceptores et educatores Eurytidas fuisse ait. Menelaides vero eosdem, quos Psyllicos esse vult, duobus scilicet canibus uterinis a Menelao in Argolide nutritis.

XIX.

Ἔκλυον, ὡς Λίβυες, Ψύλλων γένος, οὔτε τι θηρῶν
αὐτοὶ κάμνουσι μυδαλέαισι τυπαῖς,
οὓς Σύρτις βόσκει θηροτρόφος· εὖ δὲ καὶ ἄλλοις
ἀνδράσιν ἤμυναν, τύμμασιν ἀχθομένοις,
οὐ ῥίζαις ἔρδοντες, ἑῶν δ' ἀπὸ σύγχροα γυίων
* * * * * * * * * * * *

Ælian. de nat. an. XVI. 28.

XIX.

Audivi Libycos Psyllos, quos aspera Syrtis
serpentumque ferax patria alit populos,
non ictu inflictum diro, morsuve venenum
lædere; quin læsis ferre et opem reliquis,
non vi radicum, proprio sed corpore juncto
* * * * * * GESN.

XX.

Οὐκ ἔχις οὐδὲ φάλαγγες ἀπεχθέες οὐδὲ βαθυπλὴξ
ἅλσεσιν ἐν ζώοις σκορπίος ἐν Κλαρίοις·
Φοῖβος ἐπεί ῥ' αὐλῶνα βαθὺν μελίαισι καλύψας
ποιηρὸν δάπεδον θῆκεν ἑκὰς δακέτων.

Ælian. de nat. an. X, 49.

XX.

In Clario luco non lædit scorpius ictu,
vipera non morsu, sed neque dira phalanx:
quæ sibi fraxinea delegit Phœbus opacum,
reptilibusque procul, fronde comante locum GESN.

XXI.

Ἠρία τ' εἰς Ἀΐδαο κατοιχομένου Κορύθοιο,
ὅντε καὶ ἁρπακτοῖσιν ὑποδμηθεῖσ' ὑμεναίοις
Τυνδαρὶς, αἶν' ἀχέουσα, κακὸν γόνον ἤρατο βούτεω.

Parthen. c. 34.

XXII.

Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν
οἶνον ἔχλησε * * * *

Athen. II. p. 35. (133. S.)

XXIII.

* * * * μῆλον, ὃ κόκκυγος καλέουσι.

Athen. II. p. 49. (290. S.)

XXIV.

* * * * κύπελλα δ' ἔνειμε συβώτης.

Athen. XI. p. 483. (289. S.)

XXV.

* * * * εὔκτιμένην Μαραθῶνα.

Porph. quæst. homer. p. 92. ed. Barnes.

XXVI.

Ἐκ τοῦ δ'.

Ἢ σκάρον ἢ κίχλην πολυώνυμον * * * *

Athen. VII. p. 305. (117. S.)

XXVII.

Ἐκ τοῦ αὐτοῦ.

Ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομέονται.

Etymol. M. v. Ἀσπάλαθος.

ΕΚ ΠΕΜΠΤΟΥ ΤΗΣ ΕΥΡΩΠΕΙΑΣ.

XXVIII.

Καί τις Ἄθω τόσον ὕψος ἰδὼν Θρῃΐκος ὑπ' ἄστροις
ἔκλυεν, οὐ δὴ θέντος ἀμετρήτῳ ὑπὸ λίμνῃ,
ὃς † ἀναποῦν † χείρεσσι δύο ῥίπτεσκε βέλεμνα
ἠλιβάτου προθέλυμνα Κανάστραίης πάρος ἀκτῆς.

Steph. Byz. v. Ἄθως. — Schol. ad Apoll. IV, 57, ex Europæ libro II narrationem de amore Selenæ memorat; Athen. VII, pag. 296 (p. 84. Schw.) alius fabulæ mentionem facit e tertio ejusdem operis libro.

ΕΚ ΤΗΣ ΣΙΚΕΛΙΑΣ.

XXIX.

Ἐκ τοῦ ι'.

Καίτοι καὶ Ζάγκλης ἐδάη Δρεπανηΐδος ἀστυ.

Steph. Byz. v. Ζάγκλη.

XXX.

Ὄμβρῳ τε κρυμῷ τε δέματ', ὅτε δάμνατο μᾶλλον.

Schol. ad Theriac. v. 382.

XXI.

Et ad tumulos Orci descendente Corytho,
quem etiam furtivis domita nuptiis [bulci.
Tyndaris, vehementer lugens, malum filium sustulit bc-

XXII.

Œneus in cavas exprimens pateras
vinum, *vino* nomen dedit * * * *

XXIII.

* * * * quod cuculi malum vocant.

XXIV.

* * * * pocula vero distribuit subulcus.

XXV.

* * * * bene - constructam Marathonem.

XXVI.

E libro 4.

Aut scarum aut turdum multis nominibus appellatum * * * *

XXVII.

Ex eodem.

In monte enim spinæ et aspalathi proveniunt.

EX LIBRO QUINTO EUROPÆ.

XXVIII.

Et quidam, Athonis Thracii tanta altitudine visa sub astris,
ei nomen dedit, non jam siti sub immensa palude
qui. . . manibus duo jactavit jacula
prope pedem excelsi Canastræi promontorii.

EX SICILIA.

XXIX.

E libro 10.

Quamvis et Zancles Drepaneidis (*Siculæ*) combussit urbem.

XXX.

Imbreque frigoreque domabatur, postquam domitus est magis.

ΕΚ ΤΡΙΤΟΥ ΑΙΤΩΛΙΚΩΝ.

XXXI.

Καὶ Νίκανδρος ἐν τρίτῃ Αἰτωλικῶν ἐκ τῆς ἐν Αἰτωλίᾳ Ὀρτυγίας φησὶ τὴν Δῆλον ὀνομασθῆναι Ὀρτυγίαν, γράφων τάδε·

Οἱ δ' ἐξ Ὀρτυγίης Τιτηνίδος ὁρμηθέντες
οἱ μὲν τὴν Ἔφεσον,
οἱ δὲ τὴν πρότερον Δῆλον καλουμένην, ἄλλοι δὲ τὴν ὁμοτέρμονα Σικελίης
νῆσον, ὅθεν πᾶσαι * * Ὀρτυγίαι βοόωνται.

Schol. ad Apollon. I, 419. — Athen. VII. p. 206 (p. 84. Schw.) ex ejusdem operis libro primo narrationem de Glauco refert.

E LIBRO TERTIO ÆTOLICORUM.

XXXI.

Ac Nicander in tertio libro Ætolicorum Delon dicit ab Ortygia Ætoliæ appellatum fuisse Ortygiam; scribit enim haec :

At ex Ortygia Titenide prorumpentes
alii Ephesum (occuparunt),
alii insulam, quae Delus prius nominata erat, alii vicinam Siciliæ
insulam, unde omnes * * Ortygiæ vocantur.

ΕΝ ΒΟΙΩΤΙΑΚΩι.

XXXII.

Ὡς δ' ὁπότ' ἀμφ' ἀγέλῃσι νεηγενέεσσιν ἰώπων
ἢ φάγροι ἢ σκῶπες ἀρείονες ἠὲ καὶ ὀρφός.

Athen. VII. p. 329. (211. S.)

IN BŒOTIACO.

XXXII.

Ut cum circa greges recens natorum iopum
sive phagri, sive fortiores scopes, sive etiam orphus.

ΕΝ ΤΩι ΤΡΙΤΩι ΤΩΝ ΘΗΒΑΙΚΩΝ.

XXXIII.

Τείχεά τε προλιπόντες ὑπὲρ Παμβωνίδας ὄχθας
ἐσσύμενοι Μεγαρῆες ἐνευνάσσαντο δόμοισι.

Schol. ad Theriac. v. 214.

XXXIV.

* * * * δι' αἰπεινήν τε κολώνην
Οἰωνοῦ Ῥύπης τε πάγον καὶ Ὀνθίδα λίμνην
στείχοντο Ναύπακτον, ἐς Ἀμφιδύμην τε πέλαζον.

Schol. ad Theriac. v. 215.

XXXV.

Βουκαῖοι ζεύγεσσιν ἀμορβεύουσιν ὀρήων.

Schol. ad Theriac. v. 349.

XXXVI.

Καὶ μὲν ὑπὸ Ζωναῖον ὄρος δρύες ἀμφί τε φηγοὶ
ῥιζόθι δινήθησαν, ἀνέστησάν τε χορείαν,
οἷά τε παρθενικαί.

Schol. ad Theriac. v. 460.

IN LIBRO TERTIO THEBAICORUM.

XXXIII.

Mœnibusque relictis super Pambonia littora
festinantes Megarenses dormiebant in domibus

XXXIV.

* * * * perque arduum collem
Œoni Rypesque rupem et Onthida paludem
ibant Naupactum, et ad Amphidymen appropinquabant.

XXXV.

Bubulci juga sequuntur mulorum.

XXXVI.

Et quidem sub Zonæo monte quercus circa fagique
in radicibus volutæ sunt institueruntque choream,
tanquam virgines.

ΕΝ ΤΑΙΣ ΓΛΩΣΣΑΙΣ.

XXXVII.

Πνεύματος ἀργαλέοιο πόνοιό τε μαλκείοντες.

Schol. ad Theriac. v. 382.

XXXVIII.

Βάκχοισι κεφαλὰς περιανθέσιν ἐστέψαντο.

Eudoc. Violar. p. 87. coll. Suid. v. Βάκχος, et Schol. ad Aristoph. Equitt. v. 406. p. 113.

IN LINGUIS.

XXXVII.

Spiritu difficili laboreque rigentes.

XXXVIII.

Coronis Bacchicis floridis capita ornarunt.

PRÆFATIO.

Ante hosce quinque annos in lucem prodierunt, curante doct. F. S. Lehrs, inter alia Marcelli Sidetæ fragmentum de medicina e piscibus et libb. III de avibus qui vulgo pro paraphrasi carminis Oppianei de aucupio habentur. Postea doct. Miller, hujus editionis merita expendens (*Journal des savants, Juillet, Août et Septembre* 1850), monuit 1° in Biblioth. olim regia exstare duos codices, qui Marcelli fragmentum exhiberent nonnullis in locis contextu edito emendatius, 2° anno 1839 doct. Cramer typis mandasse duos priores libros de avibus multis supplementis locupletiores (Anecdota græca e codd. mss. Biblioth. reg. Paris. t. I, p. 21-42); exscripserat nimirum hos libros e cod. Paris. 1843, nondum editos esse arbitratus. Subjicit doct. Miller, non adeo accurate omnes hujus codicis lectiones investigasse doct. Cramerum, ut futuro editori nihil reliquerit faciendum. His rebus auditis, strenuus hujus bibliothecæ dispensator confestim duo supra dicta opuscula denuo prelo subjicere decrevit, ne scilicet lectores fructibus defraudarentur quos forsitan e codicibus a doct. Millero indicatis decerpere liceret; placuit autem viro erudito mihi demandare provinciam hujus novæ editionis curandæ. Restat igitur, ut lectoribus exponam, quomodo hoc munere functus sim.

Marcelli codd. evolvens, mox animadverti, alterum (2633) ex altero (2408) esse transcriptum. Constitit præterea, alterutrum horum codicum fuisse prototypum editionis antiquissimæ quam Morellio debemus. Itaque in edenda denuo eadem hac carminis lacinia eum mihi finem proposui, ut omnibus locis quos olim male legerat Morellius, vel præpostere immutaverat sive idem vir doctus, sive editores recentiores, e codd. veram lectionem restituerem. Unico tantum in loco cum a codd. tum ab editis recessi, vs. 30 nimirum pro καὶ ἀνθήεσσα metro id exigente, legi κἀνθήεσσα.

De inscriptione hujus fragmenti quam exhibent cum. codd. Parisienses, tum apographum Gudianum cod. Medicei a Fabricio (Bibl. Græc. ed. vet. t. I, p. 14 sqq.) excussum, Μαρκέλλου Σιδήτου σχόλια Χείρωνος περὶ ἰχθύων τὸ πρῶτον διὰ στίχων ἡρωϊκῶν ἰατρικά, erudite disseruerunt Schneider (in sua Marcelli editione ad calcem Plutarchi de liberis educandis Argentorati 1775. 8° p. 92) et doct. Miller (*l. l. septembre* p. 569). Lectores tandem latere nolo, titulum qui in editis inter vss. 46 et 47 legitur in nostris codd. deesse, loco vero alterius inter vss. 43 et 44 inveniundi codd. Parisienses exhibere περὶ τρίγλης θέσεως (ἐπὶ) ἄνθρακος καὶ πλαγῆς θαλασσίου δράκοντος.

Quod ad libros de avibus attinet, si præfatio eorum cum clausula lib. III conferatur, procul omni dubio affirmare licet carmen, quod in pedestrem orationem ab ignoto quodam grammatico traductum exhibemus, non Oppianum, verum Dionysium quendam habuisse auctorem. Fuit autem hicce Dionysius, si Eustathio (Epist. ad Joannem Ducam Comment. in Dionysium Periegetem præmissa versus fin.) credamus, Philadelphensis, vir aliunde plane incognitus; nam recte doct. Miller (*l. l. Août,* p. 483) explosit conjecturam Fabricii (t. II, p. 800), verbo Φιλαδελφέα hic designari Dionysium, quem a Ptolemæo Philadelpho in Indiam missum esse, refert Plinius (VI, 17). Accurato autem examini submisso cod. Parisiensi, certior factus sum, eum præter supplementa ubique fere suppeditare lectiones contextui Windingiano vel Schneideriano longe anteponendas, quibus novam hanc editionem exornare non dubitavi; dolendum igitur quam maxime hunc cod. in medio capite lib. II ultimo voce γλυκύτερον subsistere. Jam monitos esse volo lectores, me tribus tantum in locis conjecturæ ope Dionysium nostrum emendare conatum esse: 1° primus invenitur cap. 23, lib. I ubi legi θηλυδριῶν βαχχευταί, cod. exhibente θηλυδρίαι βαχχεύειν· præterea duce Millero (l. l. p. 485) pro τελευτῆς l. τελετῆς. 2° Lib. I, cap. 29 legi ζηλευθείη, ubi cod. habet ζηλεύσειεν. 3° Lib. II, cap. 17 legi ἐξεώσασαι, ubi cum cod., tum edita suppeditant ἐξεῶσαι. Libenter etiam lib. I, cap. 28 pro διατεταγμένοις legissem διατεταμένοις, ita ut hoc participium non ad oculos in cauda pavonis pictos, sed ad veros hujus avis oculos referatur; sic etiam vel legisse vel emendasse videtur Gesnerus, ubi vertit *oculis lustrans*. Inveni præterea in nostro cod. lectiones aliquas

quarum dictio adeo erat insolita, ut eas in editionem nostram recipere non ausus sim, licet forsitan vel ipsius Dionysii vel saltem paraphrastæ genuina verba exhibeant : sic præf. legitur ὑπὸ τὰς θάμνους, lib. eod. cap. 2 : Διὸς σκήπτροις ἀγχοῦ τὸν κέραυνον ἐπικαθῆσθαι, et cap. 30 πότερον εἰ εἰς ὕδ. ἐμπεπτ. κ. δ. πτ. μ.· εἰ δὲ κατὰ τ. γ. ἐν., καιρὸς, κ. τ. λ.

Supplementa, e cod. Paris. desumta nova versione latina instruxi : versionem Gesnerianam, licet satis elegantem, ubi non amplius cum græcis consentire videbatur, hinc inde ad hanc normam exigere conatus sum. Monendum tamen, hanc versionem quam duce cod. Veneto contexuerat vir doctissimus (*Biblioth.* in Oppiano), sæpius magis cum nostro codice quam cum contextu Windingiano consentire. Futuro nostri Dionysii editori incumbet cura excutiendi cum cod. Vindob. cujus meminit Lambecius (Comment. de illustr. Bibl. Cæs. VI, II, cod. 5), tum cod. Escorialensem, de quo vide doct. Miller (*Manuscrits grecs de l'Escurial, Paris*, 1848, 4to, p. 188). E verbis quæ nostrum Dionysium in hoc cod. inchoant (οἱ ἀετοὶ πλεῖστον) conjicere licet, eum supplementis carere quæ e cod. Paris. exhibemus. Adnitendum denique erit, ut denuo reperiantur cod. Venetus, quo usus est Gesnerus et cod. Vaticanus, cujus apographum in condenda editione sua adhibuit Windingius (1) : frustra tamen de his codd. aliquid certi expiscari conatus sum.

Scripsi Nonis Februariis 1851.

(1) E quonam cod. transcriptum esset alterum apographum cui editionem suam superstruxit, dicere neglexit vir doctus.

ΜΑΡΚΕΛΛΟΥ ΣΙΔΗΤΟΥ

ΙΑΤΡΙΚΑ ΠΕΡΙ ΙΧΘΥΩΝ.

(ΑΠΟΣΠΑΣΜΑ.)

Εὖ δὲ καὶ εἰναλίων ἐδάην φύσιν ἰήτειραν,
ἥμασι παντοίοισιν ἐμὸν νόον ἐξερεείνων·
ὧν τοι ἐγὼ πληθὺν ἠδ' οὔνομα πᾶν ἀγορεύσω,
ὡς αὐτός τ' ἐνόησα καὶ ἄλλων μῦθον ἄκουσα.
Βένθεα κητώεντα πολυσκοπέλοιο θαλάσσης
ἰχθύες ἀμφινέμονται ἀπείριτοι, ἀργινόεντες,
παμμέλανες, περκνοί τε καὶ αἰόλον εἶδος ἔχοντες,
φάγροι τε γλαῦκοι τε, πρέποντες βούφθαλμοί τε,
καὶ κέφαλοι, θύννοι τε καὶ ἀργύφεοι λάβρακες,
θοῦροί τε σκιαδεῖς τε καὶ ἤπατοι ἀγκυλόδοντες,
καὶ σαργοὶ, γλάνιές τε καὶ ἀργινοέντες ὀνίσκοι,
χρύσαφοι ἠδ' ἔλοπες καὶ πηλαμύδες καὶ ἀχάρναι
καὶ κεστρεῖς, ἐρυθροί τε καὶ ἀκταῖοι μελάνουροι,
γόγγροι τ' ἐγχέλυές τε καὶ αἰνόμοροι σμύραινοι,
βῶκες καὶ περόναι καὶ πετρώεντες ἴουλοι
καὶ πέρκαι, τρίγλαι τε πολύστιχτοί τε χελῶναι,
μόρμυρος αἰγιαλεύς τε καὶ ὠκυπέτεια χελιδών,
κυκλοτερεῖς βόμβοι τε καὶ ἐκτάδιον βούγλωσσον,
καὶ σκάροι ἀνθεμόεντες ἐρευθήεσσά τε φυκὶς,
καὶ βατίδες, κίχλαι τε καὶ ἀργιόδους κοραχῖνος,
ἵπποι τε βράταχοί τε καὶ ὀξύκομοι κόκκυγες,
καὶ τρυγὼν, ἅρπη τε καὶ ἠϊόεις κόλλουρος,
σκορπίοι ἠδὲ λύκοι καὶ σηπίαι ἠδὲ τραγίσκοι,
καὶ σπάρος ὀξυόδους καὶ κωβιὸς ἠϋκάρηνος,
τυφλῖνοι, νάρκη τε καὶ ἠδείη ἀκαλήφη,
καὶ φθεῖρες, σμαρίδες τε καὶ ἀνθῆες βασιλίσκος,
τρηχαλέη βίνη τε καὶ ἀργινόεις ἁλιπλεύμων,
καὶ τυτθαὶ μαινῖδες, ἀτὰρ κύνες ἠδὲ λαγωοὶ,
καὶ κριοὶ συνόδοντες ἰδὲ ξιφίαι θρανίαι τε,
καὶ μύες εὐθώρηκες κἀνθήεσσά τε σάλπη,
ἠδὲ λέων, τευθίς τε καὶ ἀστακοὶ ἠϋκέρωτες,
καὶ ξανθαὶ καρῖδες ἐρευθήεις τε πάγουρος,
καὶ σαῦροι, χάνναι τε καὶ ὀρφέες ἠδὲ γαρίσκοι·
κάραβος ὀκριόεις καὶ εὐόνυχες κήρυκες,
καὶ λεπάδες, χῆμαί τε καὶ ὀξυέθειρες ἐχῖνοι,
πουλύποδές τε πολυπλόκαμοι κόχλοι τε φαεινοὶ,
ὀστρεά τε γλαφυραί τε πελωρίδες ἠδὲ γερῖνοι,
τελλῖναι, βάλανοί τε πετρηγενέες τε μυΐσκοι,
καὶ γυροὶ δελφῖνες, ἀεὶ ναύτῃσιν ἑταῖροι,
φῶκαί τε κριοί τε καὶ αἰόλα κήτεα πόντου.
Τῶν ὁπόσων ἰήματ' ἔχει φύσις, οὐδέ τι νούσων
ῥιγεδανῶν ἀλέγουσι βροτοὶ χραισμήϊ' ἔχοντες
ἕξ ἁλὸς, ἐκ γαίης τε καὶ ἠέρος εὐρυπόροιο.

MARCELLI SIDETÆ

MEDICINA EX PISCIBUS.

(FRAGMENTUM.)

Æquoreis didici medicam vim piscibus esse,
multas per luces scrutando pectoris ima :
quorum ergo numerum referam cum nomine vero,
ut me usus docuit, simul et plerique periti.
Æquoris immensos scopulosi findere campos
innumeri fuerunt pisces splendore decoro,
omninigri, percni, varia formaque notati,
et phagri glaucique, prepontes buphthalmique,
et cephali et thunni et labraces luce micantes,
præstantes umbræ ac jecorini dentibus uncis,
sargini, atque glanes, miri candoris aselli,
chrysophrysque elopesque et pelamydes et acharnæ,
mugil cum ruhris et littoreis melanuris,
læves congri, anguillæ murænæque feroces,
boces, pungentes et acus, et iulides acres,
et percæ et mulli una cum testudine picta,
littoreus murmur, pernici et hirundo volatu,
oblongi rhombi et soleæ, queis plana figura est,
florentesque scari et phucis fulgore rubenti,
et batides, turdi et coracinus dentibus albis,
ponti et equi, ranæ et cuculi pinnis peracutis,
turtur, milvago, labeo quoque littora quærens,
scorpius atque lupi, versutæ sepiæ et hirci,
dentatus sparus et præstanti gobius ore,
typhlini, torpedo lenta, urtica feroxque,
vermiculi, smarides, basiliscus corpore amœno,
et squalens squatina et candens pulmo marinus,
vertibula et mænæ, catuli, peregrina lagois;
dein aries, synodontes et gladii thraniæque,
et loricati mures et salpa venusta;
tum leo lolligoque et cornigero astacus ore,
squillaque flavescens, ruber, ambiguusque pagurus;
inde lacertorum species, coliæ atque garisci,
et carabus rudis et contorta buccina testa,
et lepades chemæque, et acutus et asper echinus,
polypus astutus crinali corpore, conchæ,
ostrea dura cavæque pelorides atque gerini,
tellinæ, glandes, mytuli, qui cautibus hærent,
delphini, comites nautarum, vertice curvo,
phocæque atque aries pontique ingentia cete.
Scilicet omnibus his tribuit natura medelas,
morbos ut nullos mortalia corda pavescant,
queis pelagus tellusque dedit medicamen et aer

ΠΕΡΙ ΤΡΙΓΛΗΣ ΕΠ' ΑΝΘΡΑΚΟΣ.

Τρίγλα μὲν ἀνθεμόεσσα πυρὸς ῥιπῇσι καεῖσα
σὺν μέλιτι ξουθῷ κυαναυγέας ἄνθρακας ἕλκει
βιζόθεν, οἳ πνείουσι φόβον κρυεροῦ θανάτοιο.

DE MULLO CONTRA CARBUNCULUM.

Purpureus mullus flammis crepitantibus assus
cum flavo melle ardentes permitigat ignes
carbonum ex imo jaculantum spicula leti.

ΠΕΡΙ ΤΡΥΓΟΝΟΣ ΚΑΙ ΑΛΛΩΝ ΕΠΙ ΠΛΗΓΗΣ ΘΑΛΑΣΣΙΟΥ ΔΡΑΚΟΝΤΟΣ.

Τύμματα δ' εἰναλίοιο πελιδνήεντα δράκοντος
τρυγόνος ὀξείης τε καὶ ἀμφιβίου σμυραίνης
ἴᾶται πυρσωπὸν ἀνελκόμενον χροὸς ἦπαρ·
τεύχει δ' ἐν γλαφυρῷ μέθυος πλήθοντι πνιγεῖσα,
κεῖνο ποτὸν βαρύθοντα τόκον σβέννυσι γυναικῶν.
Ζωμὸς ἀποσσεύει δὲ μιαιφόνα φάρμακα φώτων
δαισαμένων, βρώμη δὲ πέλει χαριεστάτη ἄλλων
εἰναλίων μερόπεσσι μετὰ σκάρον ἰχθυμέδοντα.
Τοῦ δριμεῖα χολὴ μέλιτος μέτα φάεα θέλγει,
ὀξὺ σέλας φορέουσα λιπαυγέσιν ὀφθαλμοῖσιν.
Σπληνὶ δ' ἐπ' ὀκρυόεντι πλατυνόμενον βούγλωσσον
σφιγκτῷ σὺν τελαμῶνι, νοσηφόρον αἶνυται ἄχθος.
Δευόμενον δὲ κάρηνον ἑϋγλήνου κεφάλοιο
ἁλμυροῦ ἐν χύτρῃ κεραμηΐδι καὶ λιβάδεσσι
κιρνάμενον μέλιτος λυκαβηττίου εὐκυκλον ἕδρην
ἀλθαίνει συκῇσι περίδρομον ὀφρυοέσσαις.
Πηλαμύδος χαροπῆς τε κάρη καὲν εἴκελα τεύχει·
πέρκης δ' αὖ περὶ σαρκὶ κυλινδομένην μελανῶπιν
σηπεδόνα κρατέει, πυρὸς ἄσθματι ἰσοφαρίζον.
Σὺν χλοεροῖς λαχάνοις δὲ καθεψομένου γλαύκοιο
ζωμὸς ἄγει γάλα λευκὸν ἐλδομένῃσι τιθήναις
πινόμενος, τῇθαι δὲ φίλαι τότε νηπιάχοισι
ἕλκουσιν πόμα λαρὸν ἑϋγλαγέων ἀπὸ μαζῶν.
Ἦπαρ δ' αὖτε χολή τε φιλοσκοπέλου θύννοιο
οὐκ ἐᾷ ὄρνυσθαι θαμινὰς τρίχας ἐν βλεφάροισι,
νυσσούσας εὖτ' ἄν κε τριχηλάβῳ ἐξερύσειας.
Εἰναλίου δ' ἵππoιο χολὴ ἀτάλαντος ὑαίνης.
Ζωοῦ δ' ἑψομένου μεγάλου ἐνὶ τεύχεῖ γόγγρου
παλλαδίου πλήθοντι πυρὸς καθύπερθεν ἐλαίου,
κεῖνο λίπος τρητοῦ διανεύμενον ἠθητῆρος
ἦν τις ἐλὼν τήξειεν ἐλευσινίου μετὰ κηροῦ,
ἐν δὲ πλάσας ὀθόνῃ μαλακῇ περὶ γαστέρα θείη
ἀρτιτόκοιο γυναικὸς, ἀναιδέες οὐ νύ τι ῥωχμαὶ
σάρκα διαῤῥαίουσιν, ἀεὶ δ' ἀγανῶπιν, ἄτρωτον,
οἷά τε παρθενικῆς ἀπαλόχροος αἰνήσουσι.
Καιομένη ῥίνης δὲ δορὴ τρηχεῖα φαεινοῖς
ὕδασι λειωθεῖσα φέρει φυμάτεσσιν ἀρωγήν.
Τύμμα δ' ἀκανθήεντος ἀκέσσεαι ὦκα δράκοντος,
αὐτὸν ἀνατμηγέντα βαλὼν ἐπὶ τραύματι θερμῷ.
Φθειρὸς κυανέου δὲ χολὴ μογερῇσιν ἀκουαῖς
τειρομέναις ἴαμα φέρει προφερέστατον ἄλλων.
Τρυγόνος αὖ κέντρῳ πεφρικότος ἄλγος ὀδόντος
ἐξελάσεις, ῥίζην ὀδυνηφόρον ἀμφιχαράσσων.
Μαζοὶ δ' ἀλγεινοῖο μεμυκότες ἕκ γε τόκοιο
χριόμενοι σαύροιο χολῇ γάλα κυμαίνουσι.
Σκορπίου εἰναλίου δὲ πολυσχοίνων ἀπὸ κύρτων
αὐτίκ' ἐνὶ κρητῆρσι βεβριθόσιν ἡδέος οἴνου

DE PASTINACA ET ALIIS CONTRA ICTUM MARINI DRACONIS.

Vulnera letiferi liventia tabe draconis,
letalique trygonis, simul ambiguæ murænæ
pectoribus jecur avulsum sanare putatur;
vino meraci decoctum in vase patente
si bibitur, fetus exstinguit pondera in alvo.
Jus liquidum pellit de pectore dira venena
epota in cœnis, cibus est lautissimus ejus
piscibus e cunctis, si rex scarus excipiatur.
Hujus fel melli commixtum lumina mulcet
mortalesque acuit visus, tenebrasque repellit.
At solea insignis petulanti admota lieni
vinctæ fasciolis, morbi pondus grave tollit.
Verum magnoculi cephali salsum caput olla
figlina mersum, mellisque liquore rigatum
præstantis, ficos piloso in podice natos,
et tumidas penitus poterit sanare mariscas.
Pelamydis lepidæ caput id præstabit adustum.
Offensæque adjuncta cuti cito perca coercet
nigrantem saniem, fere par afflatibus ignis.
Cærulei glauci cocti in viridantibus herbis
jus niveum cupidis nuget nutricibus amnem,
quum bibitur, gratasque suis ita reddit alumnis,
queis præbent dulci distentas lacte papillas.
At thunni jecur et nigrum fel saxa colentis
non sinit in ciliis superis succrescere pilos,
pungentes oculos, si forcipe vulseris ante.
Æquorei quoque equi fel felli compar hyænæ.
Ingentem congrum si vivum condis aheno
Palladio exundante oleo, fervente sub igne
pinguis adeps cribro aut colo transmissus aperto,
dummodo Eleusinam quis ceram temperet una,
et lini superimposito velamine, ad alvum
applicet enixæ modo, nunquam membra notabunt
informes maculæ et rugæ, formaque decora
illæsa, ut fruitur quæ virginitate, manebit.
Combustum rhinæ corium, splendentibus undis
et rite appositum sanat tubercula fœda.
Ictus æquorei facile est sanare draconis,
si sectum in partes nova supra vulnera ponas.
Felque venenatum phthiris pulicisque marini
auxilium præsens cruciatis auribus adfert.
Turturis at jaculo facile est lenire dolentes
dentes, si hoc fodias causam stirpemque dolorum.
Ubera post partum fuerint si obstrusa recentem
effundent lactis rivos felle uncta lacertæ.
Scorpius æquoreus nassa conclusus in arcta,
si subito immoritur generosi in munere Bacchi,

πνιγομένου, πόμα κεῖνο πιὼν βροτὸς, ὃν μέλαν ἦπαρ
ἢ σπλὴν ἀλγύνει πολυώδυνος, ἀτρεμὲς ἴσχει
πᾶν δέμας, ἀχθήεντος ἀναπνεύσας καμάτοιο.
Σμαρίδες αὖ λεῖαι μυρμηκώεντα κάρηνα
ῥηϊδίως θαμινάς τ' ἀκροχορδόνας ἐξακέουσι·
σὺν ῥαδινῇ χαίτῃ δὲ καθεψόμεναι μαράθοιο,
γλακτοφόρους τεύχουσι φίλην μετὰ δαῖτα τιθήνας.
Μαινίδων ἅλμη δὲ καλὸν χραισμήϊον ἄφθαις.

ΛΕΙΠΕΙ ΤΑΔΑΑ.

et bibat hunc calicem mortalis splene laborans,
aut jecore affecto, securus deinde quiescet,
libera membra dolore videns, qui torserat ante.
Callosæque cuti læves in vertice gerres,
et densis etiam verrucis rite medentur:
at si fœniculi molli cum crine coquantur,
post epulas lætæ nutrices lacte redundant.
Et mænidum salsugo aphtharum est medicamen.

RELIQUA DESIDERANTUR.

ΑΝΩΝΥΜΟΥ ΤΑ ΠΕΡΙ ΒΟΤΑΝΩΝ.

[α'. Χαμαίμηλον.]

* *
*

Τοὺς δὲ πυρέσσοντας τὸ χαμαίμηλον θεραπεύει
σὺν ῥοδίνῳ λεῖον τετριμμένον, ὠφέλιμον δὲ
τοῖς μετριάζουσιν τὸ φυτὸν, φύεται δ' ἐπὶ θιναῖς
τὸ βραχὺ καὶ κάλλιστον, ὃ βαστάζουσιν ἰητροὶ
ἀρχομένου θέρεος, μέγας ἥλιος ἡνίχ' ὁδεύῃ,
ἕβδομον ἱππεύσας τετράζυγον ἄντυγα πώλων.

[β'] Ῥάμνος.

Ῥάμνον ἔχειν πανάκειαν ἐν οἰκοισιν πανάριστον
φυομένην φραγμοῖσιν ἄκανθαν λευκοπέτηλον.
Ὥρου δ' ἐστὶ φυτόν· τὸ δὲ σύμφορόν ἐστι βροτοῖσιν,
βαστάζειν τότε ῥάμνον, ὅταν φθίνουσα σελήνη
δέρκηται πάντεσσι βροτοῖς κατὰ μακρὸν Ὄλυμπον.
Κρημναμένη δύναται γὰρ ἀποτρέψαι κακότητας
φαρμακίδων τε κακῶν καὶ βάσκανα φῦλ' ἀνθρώπων.
Πρώτη γὰρ μακάρων ἐχρήσατο τῇδε φυτείᾳ
Παλλὰς Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο,
Πάλλαντα κτείνασα μάχαις κρατερῇφι βίηφι
τῆμος ὅτ' ἀθάνατοί τε θεοὶ θνητοί τε Γίγαντες
σύμβαλον εἰς ἔριδα κρατερὴν κάρτιστοι ἐόντες.
Πανδερκὴς δ' ἄρ' ἔπειτα θεὰ Νέμεσις πολύμορφος
καὶ νηοὺς ἐκάθηρε θεῶν καὶ ἀγάλματα ῥάμνῳ. [σαι
Θρέμματα γοῦν νέποδάς τε καλὸν φυτόν ἐστι φορῆ-
πρός τε πόνον κεφαλῆς καὶ δαίμονας ἠδ' ἐπιπομπάς.
Πάντα γὰρ ἰήσαιτο βροτοφθόρα φάρμακα λυγρά.

[γ'] Ἀρτεμισία μονόκλωνος.

Ἀρτέμιδος βοτάνην δὲ συνώνυμον αἶρ', ἐπιφώσκειν
ἠελίου μέλλοντος ἐπὶ χθόνα φέγγος ἐρυθρὸν,
ἥντινα τοξότιν ἄνδρες ἐφήμισαν ἢ βοτρυῖτιν,
πασιθέην δ' ἕτεροι χαρίτων στέργηθρον ἔχουσαν·
οἱ δ' ἕτεροι λυκόφρυν φιλοπάννυχον ἀγροιῶται
ἀθανάτης καλέουσι, φυτὸν μέγα δῶρον ἔχοντες.
Λύει γὰρ κόπον ἀνδρὸς ὁδοιπόρου, ὅς κ' ἐνὶ χέρσιν
τὴν μονόκλωνον ἔχῃ· περὶ δ' αὖ ποσὶν ἕρπετα πάντα
φεύγει, ἤν τις ἔχῃ ἐν ὁδῷ, καὶ φάσματα δεινά.

ANONYMI CARMEN DE HERBIS.

1. Chamæmelum.

* *
*

Febricitantes autem chamæmelum curat
cum rosaceo minutissime tritum; emolumento est
ægrotantibus planta; nascitur autem in arenosis locis
brevis et pulcerrima, quam colligunt medici
ineunte æstate, magnus sol quando incedit,
septimum agitans quadrijugum currum equorum.

2. Rhamnus.

Rhamnum habeas panaceam domi longe optimam,
nascentem sepibus spinam foliis albis.
Est autem noctis planta; prodest vero mortalibus
colligere tum rhamnum, quum luna decrescens
videtur omnibus hominibus in magno Olympo.
Suspensa enim potest avertere malignitates
veneficarum malarum et fascinantia agmina hominum.
Prima enim deorum hac usa est planta
Pallas Minerva, filia Jovis ægidem-tenentis,
Pallantem occidens in pugnis magna vi,
tum quando immortales dii mortalesque Gigantes
concurrerunt ad acerrimam contentionem fortissimi.
Omnia videns deinde dea Nemesis multiformis
et templa lustravit deorum et signa rhamno.
Pecudes ergo infantesque convenit hanc plantam portare
et contra dolorem capitis et dæmones et incantamenta.
Omnia enim sanat venena noxia hominibus ac perniciosa.

3. Artemisia monoclonos (unipetia.)

Dianæ herbam cognominem tolle, quando missurus est
sol in terram rubrum jubar,
quam quidem toxotin homines nuncupant aut botryitin,
pasitheam vero alii gratiarum philtrum habentem:
alii lycophryn pervigilia amantem rustici
deæ (*Dianæ*) appellant, plantam magnum donum qui possident.] Solvit enim lassitudinem viatoris, si in manibus
monoclonon teneat; circum pedes vero reptilia omnia
fugat, si quæ fuerint in via, et visus horridos.

ΕΡΜΗΝΕΙΑΙ ΠΑΛΑΙΑΙ.

α'.

*
* *

β'.

Τὴν ῥάμνον ἣν τις ἀρῃ ἐν λειψοσελήνῳ καὶ βαστάζῃ, ὠφελεῖ πρὸς φάρμακα καὶ πρὸς ἀνθρώπους φαύλους. Ἁρμόζει δὲ φορεῖν αὐτὴν θρέμματα καὶ πλοίοις περιτίθεσθαι. Ὠφελεῖ δὲ καὶ ποὸς πόνον κεφαλῆς καὶ δαίμονας καὶ ἐπιπομπάς.

γ'.

Ἀρτεμισίαν τὴν βοτάνην εἴ τις ἔχει ἐν ὁδῷ, λύει τὸν κάματον. Καὶ ἐν τοῖς ποσὶν εἱλουμένη θηρία διώκει καὶ δαίμονας. Αἷμα δὲ ἐπὰν περὶ τὰ ἄρθρα σκιρρωθῇ, κλωνία λαβὼν μῖξον μετὰ ῥοδίνου· καὶ ποιήσας ζέσαι εἰς χύτραν σύγχριε τὸν πονοῦντα ὅλον ὡς ὑπάγῃ κοιμᾶσθαι. Καὶ ὑστερικαῖς γυναιξὶ πάνυ βοηθεῖ, στραγγουρίαν παύει καὶ ὀπισθοτόνου ῥῆγμα.

Αἷμα δ' ἐπισκιρρώθὲν ἐπὴν ἄρθροισιν ἐλάσσῃ,
κλῶνας ἑλῶν μίξον ῥοδίνῳ, ζέσσας ἐνὶ χύτρῃ.
Χρῖε δὲ τὸν κάμνοντα τόπον μέλλοντος ὑπνώσσειν,
καὶ θὺς ἀπαλλάξεις ἀλγήματος ἐκ μεγάλοιο.
Ὑστερικαῖς τε γυναιξὶν ἄγαν σωτήριόν ἐστιν,
στραγγουροῦντά τε παύει ὀπισθοτόνοιό τε ῥῆγμα·
πάντα δ' ἀεὶ νοσοεργὰ πάθη στέλλουσα δώκει.

[δ'] Πενταδάκτυλος.

Αὐτίκα δ' Ἑρμείαο τὸ δάκτυλον αἶρε χλοανθὲς
πενταπετὲς, διόπου δόσιν Ἑρμέω πᾶσιν ἀρωγὸν,
τὴν καὶ ὀνειροδότειραν, ἐπεὶ καὶ θέσφατα πάντα
θνητοῖς ἀνθρώποισιν ὀνείρατα καλὰ προφαίνει.
Πάντα γὰρ ἀλθήσαιο πόνον φορέων περὶ σῶμα,
ὀφθαλμῶν δέ τε πᾶσαν ἅμ' ἐξοίσειας ἀνίην.
Χοιράδας, ἀντιάδας, σταφυλὴν, οἴδημ' ὑπόγλωσσον
ἄρθρα τε καὶ νεύρων ὀδύνας καὶ ἕρκος ὀδόντων
ψώραν τ' ἐξακέσαιο βροτοφθόρον ἐκ κακότητος,
καὶ λοχίων ἔμμηνα κατασπασθέντα γυναικῶν.
Ἐν δ' ὕδατι λιαρῷ προσκλυζομένη παλάμαισι
πρός τε φόβους καὶ βασκοσύνας καὶ δαίμονας ἐχθροὺς
ἔστιν ἄκος πανάριστον· ὅθεν καὶ λάμβανε ποίην
μήνης αὐξομένης φαεσιμβρότου, ἠελίου τε
ἀντέλλειν μέλλοντος ἐπὶ χθόνα φέγγος ἐρυθρόν.

[ε'] Περιστεραί.

*
* *

πρὸς τὰ Κυθήριδος ἔργα θεᾶς κυδρῆς Ἀφροδίτης.
Τρυγόνιον τόδε πάντες ἐπιχθόνιοι καλέουσιν,
ἄλλοι δ' ἀρσενικόν τ' ἰδ' ἀριστερεῶνα τὸν ὀρθὸν,
ὕπτιον αὖθ' ἕτεροι χθαμαλὴν ἐπὶ γαῖαν ἐφέρπον.
Δοιοὶ γὰρ πεφύασιν ὁμοιότατοι πετάλοισιν.
Ὀρθὸς μὲν τείνει νεύρων φύσιν εἰς Ἀφροδίτην,
ὕπτιος εὐνάζει, δύναμις δ' αὐτοῖσι μεγίστη.
Εὖ δ' ἐθέλῃς ὁπόταν πόνον ὀφθαλμῶν ἀκέσασθαι,
ἀμματίσας περὶ σῶμα περιστερεῶνα τὸν ὀρθὸν
ἠελίου κόσμον τὸν ἀτέρμονα κυκλώσαντος,
παύσεις ὀφθαλμοῖο δυσαυγέας ἀμβλυντῆρας.
Καὶ κεφαλῆς πόνος ἐν ταύτῃ παραχρῆμα μειοῦται,
καὶ κόπον ἐξελάσαι δυνατὴ τριφθεῖσα μετ' ὄξους.
Χοιράδα δ' ἀντιάδας τε καλῶς παύει παραχρῆμα,
ἕσθ' ὅτε τοι γαῦρος χαρίτων, στέργειν τε γυναῖκας
τεύχειν τ' εἰς φιλίαν, δύναμιν κοίταις παρέχουσα.
Φρικάζῃ δ' ὁπόταν τις ἀνὴρ, βοτάνης ἀπὸ ταύτης
κλῶνας ἑλὼν κάμνοντος ἐναντίος ἵστασο μοῦνον,
καὶ θὺς ἀπαλλάξεις τὸν δαίμονα μηκέτ' ἐπελθεῖν.

δ'.

Ταύτην εἴ τις φορεῖ περὶ τὸ σῶμα, ἄπονος μένει. Καὶ ὀφθαλμοὺς ὠφελεῖ, χοιράδας, ἀντιάδας, σταφυλὴν καὶ τὰ ὑπὸ τὴν γλῶσσαν, ἄρθρα τε καὶ νεύρων ὀδύνας καὶ ὀδόντας, ψώραν ἐκ λιμοκτονίας, λοχιῶν ἔμμηνα κατασπασθέντα. Ἐν ὕδατί τε χλιαρῷ προσκλυζομένη εἰς τὰς χεῖρας, πρὸς φόβους καὶ βασκοσύνας καὶ δαίμονάς ἐστι καλή. Διὸ λάμβανε τὴν βοτάνην, ὅτε αὐξει ἡ σελήνη καὶ ἡλίου ἀνατέλλοντος.

Sanguis vero induratus ubi artubus agitatur,
ramulos sumptos misce rosaceo, fervefactos in olla.
Ungue autem dolentem locum dormituri,
et statim eum liberabis magno dolore.
Hystericisque mulieribus admodum auxilio est,
Stillicidio urinæ laborantem levat opisthotonique curvaturam;] omnes tandem semper morborum dolores sistens fugat.

4. Pentadactylus.

Illico Mercurii dactylum tolle florentem,
pentapetes, antistitis donum Mercurii omnibus auxiliare,
quam *plantam* etiam onirodoteram *vocant*, quoniam et
divina omnia] mortalibus hominibus somnia ostendit jucunda.] Omnem enim sanabis laborem ferens *eam* circum
corpus,] oculorum vero omnem simul expelles dolorem:
strumas, tonsillas, uvam jacentem, tumorem sub lingua,
articula et nervorum dolores atque septum dentium
scabiemque sanabis homines corrumpentem ob malignitatem,
et puerperarum purgationem suppressam feminarum.
In aqua autem tepida proluta manibus
contra terrores, fascinationes et genios inimicos
est medicamentum plane optimum: quare et accipe herbam
crescente luna quæ hominibus lucet, soleque
projecturo in terram jubar rubrum.

5. Verbenæ.

*
* *

ad opera almæ deæ Cytheræ Veneris.
Trygonium hoc omnes terrestres vocant,
alii autem marem nuncupant, ac verbenam rectam,
supinam vero alii humilem super terram repentem.
Duo hæc genera nascuntur simillima foliis.
Recta quidem tendit nervorum naturam ad venerem,
supina sopit, virtus autem utrique maxima *inest*.
Sin autem vis morbis oculorum bene mederi,
annectens circum corpus verbenam rectam,
sole mundum infinitum cingente,
levabis oculi tenebrosam hebetationem.
Et capitis dolor hac statim minuitur,
et ad lassitudinem abigendam efficax *est*, trita cum aceto.
Strumam autem tonsillasque bene tollit subito;
interdum tibi audax ad voluptates, et ad amandas feminas
et ad parandas ad venerem, vim coitibus præstans.
Quando autem quis febre laborat, herbæ hujus
ramulos sume atque ex adverso ægroti sta modo,
et statim avertes dæmonem, ne ultra ingruat.

ε

Ὁ περιστερεὼν ὁ μὲν ὀρθὸς τείνει τὸ αἰδοῖον, ὁ δὲ ὕπτιος ξηραντικός ἐστιν. Ὠφελεῖ δὲ ὁ ὀρθὸς περιαφθεὶς πρὸς πόνους ὀφθαλμῶν. Ποιεῖ πρὸς ἀμβλυωπίαν, καὶ κεφαλῆς πόνον καὶ κάματον παύει. Τριφθεῖσα μετ' ὄξους χοιράδας ἀντιάδας τε παραχρῆμα παύει. Ὅτε δέ τις φρικιᾷ, ἀπὸ ταύτης κλωνία λαβὼν κατέναντι στῆθι τοῦ φρικιῶντος μόνος καὶ εὐθὺς θεραπεύεται.

[ε'] Περὶ δικτάμνου μικροῦ.

Δίκταμνον βοτάνην αἴρειν ἐπιβάλλεο, κοῦρε,
φροντίδι, ἀθάνατοι τὴν αὐτοὶ θέσπισαν ἡμῖν,
ὡς εἰδῇς δύναμιν βοτάνης καὶ χρήσιμα ἔργα.
Δικτάμνου γὰρ ἐπὴν αὖον δέμας ἐν παλάμαισι
τρίψας ἀλφιτοειδὲς, ἐνιστάξῃς Διόνυσον
Κουρήτων μακάρων ὑπερασπίζοντα πρεπόντως,
καὶ νεβρῷ στολίσῃς, ἕξεις περὶ σῶμα προσάψας
νῖκος ἀμίμητον πρὸς κνώδαλα πάντα τὰ γαίης.
Ἰητροὶ δ' ἅμα πάντες, ὅσοις σωτήριόν ἐστι,
βαστάζοντες ἔχουσιν ἐν ἀγγεῖ πρὸς τὰ μαδαῖα
ἕλκη, καὶ μυσαρὰς δὲ νομὰς πληροῖ προκαθαῖρον.
Κἂν σκόλοπες θραυσθῶσιν ὑπ' ἴχνεσιν ἢ περὶ σῶμα,
πάντα τόπον κατάπλασσε καὶ αὐτόματος προφανεῖ-
καὶ σπληνὸς πόνος ἐν ταύτῃ παραχρῆμα μειοῦται [ται,
ξηρῇ κοπτομένῃ· καταπλάσσοις δ' ἅλφιτον ὥσπερ.
Καί κεν ἐνὶ κρυφίμοισιν ἀναγκαίοις τε τόποισι
φλεγμαίνοντα πάθη καταπλάσμασι τοῖσδ' ἀκέσαιο.
Εἴαρι δ' αἶρε πόην καὶ καύματι καὶ φθινοπώρῳ.

6. De dictamno minore.

Dictamnum herbam ut legas, habeas, puer,
curæ, quam immortales ipsi vaticinabantur nobis,
ut scias vim herbæ et utilia opera.
Dictamni enim ubi sicco corpori manibus
contrito, fariulento, instillaveris Bacchum (*vinum*)
Curetes beatos decenter protegentem,
et pelle hinnuli indutus fueris, habebis ad corpus aureum
medicamentum inimitabile contra omnes bestias noxias
terræ.] Medici vero simul omnes, quibus remedium-salutare
est,] ferentes in vase habent contra humida
ulcera, ac putres etiam nomas *illud* implet purgans.
Et ubi spicula fracta-hæreant sub vestigiis aut in corpore
totum locum obline, et sponte proveniet *spiculum*;
et lienis morbus hac *herba* confestim minuitur
arida contusa; insperges autem farinæ instar.
Præterea in occultis obscœnisque locis
inflammationum morbos cataplasmatis his sanabis.
Vere autem lege *hanc* herbam, et æstate et autumno.

[ζ'] Περὶ ἐλελισφάκου.

Ῥιζεῖον τόδε πάντες ἐπὶ χθόνα ναιετάοντες
ἄνθρωποι κλῄζουσ' ἐλελίσφακον, οἱ δέ τε θεῖον.
Λύει γὰρ ψυγμὸν κακοτέρμονα βῆχά τ' ἀνιγρὴν,
πάντα θ' ὅσ' ἀνθρώποις πέλεθ' ἕλκεα καὶ κακοποιὰ
μιγνύμενον ῥοδίνοιο λίπει κηρῷ τε βραχέντι
ἕλκεα, σπληνός τε πόνον λειεντερίην τε
πινόμενον μέθυος πολιοῦ πρὸς ἰσορρεπὲς ἄχθος.
Τοὺς δ' αἱμοπτυϊκοὺς προποτιζόμενον θεραπεύει,
πρὸς δὲ γυναικείους κόλπους καὶ πάντα λοχείης
μωλυθεῖσα πυρὶ σμαλερῷ ἔμμηνα καθαίρει.
Αἱ μυσαραὶ δὲ γυναῖκες ὅσαι κακὰ μηχανόωνται
πεσσοποιησάμεναί ἑ κακῶς εὐκύμονι ῥύσει
καρπὸν καλλιθέμεθλον ὑπέμβρυον ἐκβάλλουσιν.

7. De elelisphaco.

Radiculam hanc omnes in terra habitantes
homines vocant elelisphacum; nonnulli vero etiam theion.
Solvit enim perfrictionem tenacem tussimque molestam,
omniaque, quæ hominibus oriuntur, vulnera ac ulcera,
mixtus cum rosaceo oleo ac cera ferventi
curat, lienisque morbum et lævitatem intestinorum,
potus cum vini vetusti æquali pondere.
Sanguinem vero vomentibus, si propinabis, medetur;
præterea muliebres sinus et omnia puerperii,
assus igne rapido, menstrua purgat.
Detestabiles vero mulieres quotquot scelera machinantur,
pessum facientes ex eo, mala arte, felici tractu
fructum pulcre inchoatum fetum ejiciunt.

[η'] Βράθυ, κυπάρισσος, χαμαικυπάρισσος.

Φράζεο καὶ βοτάνην πατρὸς Κρόνου ἀγκυλομήτεω
ἥντε χαμαικυπάρισσον ἐπὶ ζείδωρον ἄρουραν
ἄνθρωποι κλῄζουσιν, ἐπεὶ μέγα τε σθεναρόν τε
ἐστιν ἄκος βρόγχοιο καὶ οὔατος ἀντιάδων τε.
Τοῦτο θεὸς γὰρ ἔδωκε βροτοῖς σωτήριον εἶναι
καὶ δίδοται πρὸς ὕδρωπα καὶ ἰσχιάδας θεραπεύειν.
Τὴν βοτάνην ταύτην πολυώνυμος εὗρετ' Ὄσιρις

8. Herba sabina, cupressus, chamæcyparissus,

Cognosce etiam herbam patris Saturni versuti,
quam chamæcyparissum in fructifera terra
homines vocant; quia magnum validumque
remedium est raucitatis et aurium tonsillarumque.
Hanc enim deus dedit hominibus ut sit saluti,
daturque ad hydropem et ischiades sanandum.
Hanc herbam multinominis invenit Osiris,

ε'.

Αὐτὴν τὴν δίκταμνον ξηράνας τρίψον ἐν ταῖς χερσί σου· καὶ ὡς ἅλφιτον ποιήσας καὶ βαλὼν σταλαγμένον οἶνον θίγε τοῦ σώματος. Πρὸς πάντα γὰρ τὰ ἑρπετὰ ἁρμόζει, ἕλκη δὲ καὶ τὰς σαπρὰς νομὰς πληροῖ προκαθαῖρον. Κὰν σκολοπισθῇ τις, προσκατάπλασσε καὶ εὐθέως ὠφελεῖ. Πρὸς σπλῆνα δὲ καὶ τὰ ἐν κρυφίοις τόποις πάθη φλεγμαίνοντα κατάπλασσε ὡς ἅλφιτον ποιήσας. Αἶρε δὲ τὴν βοτάνην ἐν ἔαρι καὶ ἐν τοῖς καύμασι καὶ ἐν τῷ φθινοπώρῳ.

ζ'.

Ἐλελίσφακον λύει ψυγμὸν καὶ βῆχα. Πρὸς πάντα δὲ τὰ κακὰ ἕλκη, σὺν ῥοδίνῳ καὶ κηρῷ λυθέντι ὠφελεῖ, σπληνὸς πόνον καὶ δυσεντερίαν θεραπεύει πινόμενον μετὰ οἴνου λευκοῦ. Ἐξ ἴσου τοὺς αἱμοπτυϊκοὺς προποτιζόμενον θεραπεύει. Καὶ πρὸς πάντα ποιεῖ λοχεῖα γυναικός. Αἱ κάκιστα δὲ γυναῖκες πέσσον ἐξ αὐτοῦ ποιήσασαι προστιθέασι καὶ ἐκβάλλουσι τὰ ἔμβρυα.

η'.

Κυπάρισσος βοτάνη ὠφελεῖ πρὸς βρόγχους καὶ ὠτία καὶ ἀντιάδας καὶ ὕδρωπα καὶ ἰσχιάδας θεραπεύει.

Αἰγύπτου γαίης προκαθήμενος ἠδὲ Κανώπου,
ἐξ ἀρετῆς ἕνα πρῶτον ἐφημερίων θεραπεύσας.

[θ'] Περὶ κενταυρίου μεγάλου.

Νῦν δ' ἤτοι διερῶ μάλ' ἀριφραδὲς, οὐδέ σε κεύσω
κενταύρου Κρονίδαο φερώνυμον εὕρεμα ῥίζαν
Χείρωνος σθεναροῦ, τὴν πὰρ νάπῃ εἰνοσιφύλλῳ
Πηλίου, ἢ νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ.
Ἣν βαθύρους Ἀχελῷος ἐγείνατο, καὶ φάτο πᾶσιν
ἐσθλὴν Παιήων Ἀσκληπιὸς ἠπιόδωρος
κικλήσκειν πανάκειαν, ἐπεὶ πάνθ' ὅσσα βροτοῖσι
φλεγμαίνοντα πάθη παύει καὶ κρούσματα πληγῶν,
ὑστερικαῖς τε γυναιξὶ λίην σωτήριόν ἐστι,
στραγγουροῦντά τε παύει ἐν ἤματι καὶ λιθιῶντας.
Ἣν κέλομαί σε λαβεῖν φαεσιμβρότου Ἠελίοιο
ἀντέλλειν μέλλοντος ἐπὶ χθόνα φέγγος ἐρυθρὸν
ὥρῃ ἐν εἰαρινῇ ὅτε οἱ πληροῦνται ἅπαντα·
πάντα γὰρ ἰήσαιτο πάθη πολυφάρμακος οὖσα.

[ι'] Βούφθαλμον.

Βούφθαλμόν δ' αἶρειν ἐπιβάλλεο Εἰλειθυίης
μήνης αὐξομένης φαεσιμβρότου, ἀγλαὲ κοῦρε, [θροὺς
πρός τε φόβους τοὺς γινομένους καὶ δαίμονας ἐχ-
βασκοσύνας τε κακὰς μερόπων καὶ φάρμακα λυγρά.
Ταύτην τὴν βοτάνην Διὸς ὀφρύα πᾶς ὀνομάζει

*

* *

χρυσωπὸν στίλβει παρυπεύκυκλος ἀνθεμὶς ἁβρή.
Τῆς βοτάνης τὴν ῥίζαν ἐπὴν ἀλγῇ τις ὀδόντα
λαμβανέτω, μούνην δὲ μασησάμενος παραχρῆμα
εἰθὺς ἀποπτυσάτω καὶ ἐλεύσεται ἔκτοθι ῥεῦμα.
Γαστέρα δ' εἴ τις ἔχει στεγνὴν καὶ ἀνέκκριτον οὖσαν
μωλυθεῖσα καθαίρει ἀνεγκλήτως καὶ ἀλύπως.

[ια'] Παιονία.

Πασάων βοτανέων βασιληίδα δίζεο, κοῦρε,
Σειρίου ἀντέλλοντος ὅτε σκυλακόδρομος ὥρη,
νυκτιφαὴς τ' ἄστροισι θεὰ πλήθουσα σελήνη
δέρκηται, τότε δ' ἠελίῳ μέλλουσα συνάπτειν,
πασιθέην, ἣν πάντες ἐδωρήσαντο ἄνακτες
Λητοίδῃ Παιᾶνι θεῷ κατὰ μακρὸν Ὄλυμπον.
Δῶκε δὲ παιονίην καλέσας κατ' ἀπείρονα γαῖαν
παιδὶ ἑῷ πανάκειαν ἔχειν ἀκεσίμβροτον ἄνθος.
Ἣν ποτε πεντόροβον κλήζουσι Ῥέης πολῖται
κύμβαλά τε Φρυγίης μητρὸς μακάρων βασιλείης,

θ'.

Κενταύριον ὠφελεῖ πρὸς φλεγμαινοντα πάθη καὶ κρούσματα πληγῶν. Ὑστερικαῖς γυναιξὶ βοηθεῖ στραγγουριῶντάς τε παύει καὶ λιθιῶντας. Αἶρε δὲ τὴν βοτάνην ἐν ἔαρι ἡλίου ἀνατέλλοντος.

ι'.

Ταύτην τὴν βοτάνην σελήνης αὐξανούσης λαμβάνειν δεῖ. Ποιεῖ δὲ πρὸς φόβους καὶ δαίμονας καὶ βασκοσύνας καὶ φάρμακα κακὰ ταῦτα ἀποστρέφουσα. Καὶ ὀδόντα εἴ τίς ποτε τὴν

Ægyptiæ terræ præsidens atque Canopo,
virtute *ejus* quendam principem hominum sanans.

9. De centaurio majore.

Nunc sane edisseram valde manifestum, neque te celabo
Centauri, Saturni filii, de ipso cognominatum inventum, radicem] Chironis valdi, quam in valle frondosa
Pelii, aut in nivoso inveniens animadvertit jugo.
Quam profunde fluens Achelous genuit, et edixit omnibus
utilem Pæan Æsculapius largitor [tur,
vocandam panaceam, quod omnes, quot hominibus oriuninflammationes levat et vulnera plagarum,
mulieribus utero laborantibus valde salutare est,
stillicidio urinæ laborantem uno die adjuvat et calculosos.
Quam jubeo te colligere, quando sol, qui hominibus lucet,
fusurus est super terram fulgorem rubrum
tempore verno, quum ea implentur omnia.
Omnes enim sanabit morbos, multis remediis prædita.

10. Buphthalmus.

Buphthalmum legere cura Ilithyiæ
crescente luna, quæ hominibus lucem præstat, splendide
puer,] contra terrores oborientes et dæmones inimicos
fascinationesque malas hominum et venena noxia.
Hanc herbam Jovis supercilium unusquisque nominat:

*

* *

aureo colore fulget bene orbiculata anth.mis pulcra.
Hujus herbæ radicem, quando dolet alicui dens,
accipiat, solam autem confestim mandens
sine mora exspuat, et foras exibit fluxio.
Alvum si quis habet astrictam et suppressam,
cocta *hæc herba* purgat sine molestia ac sine dolore.

11. Pæonia.

Omnium plantarum reginam investiga, puer,
Sirio exorto quando caniculares dies,
noctivagaque cum astris dea luna plena
conspicitur, tunc quidem solem conventura,
pasitheam, quam omnes donarunt principes
Latonigenæ Pæani deo in magno Olympo.
Dedit autem pæoniam vocans super universam terram
filio suo, panaceam ut habeat mortales-sanantem florem.
Quam olim pentorobon vocarunt Rheæ cives
cymbalaque Phrygiæ matris, deorum reginæ,

βίζαν μασησάμενος εὐθὺς ἀποπτύσῃ, τὸ ῥεῦμα στέλλουσα ὠφελεῖ. Λύει δὲ καὶ γαστέρα.

ια'.

Παιονία βοτάνη αἴρεται ἐν τοῖς κυνοκαύμασι πρὸ τοῦ τὸν ἥλιον ἀνατέλλειν καὶ κρεμᾶται. Καὶ ὠφελεῖ πρὸς φάρμακα καὶ βασκοσύνας καὶ φόβους καὶ δαίμονας καὶ ἐπιτομπὰς καὶ εἰς ὑπνους ἐκ φρικιάσεως νυκτερινόν τε καὶ ἡμερινὸν καὶ τεταρταῖον. Λέγεται δὲ ὅτι ποτὲ ἐν τῷ ὄρει, ἔνθα ἦσαν δαίμονες, φανέντος τούτους ἀπεδίωκε.

Κρηταέες δέ ἑ Δικταῖοι Διὸς ὑψιγενέθλου
γαμόροι ἧς κλήζουσι φερώνυμον ἀθανάτου γῆς·
ἣν πάντες καλέουσι θεοὶ μάκαρες γλυκυσίδην,
ἀμβρόσιον βλάστημα καὶ εὐανθῆ ἑκάτερθεν·
ἠελίου δ' Αἴγυπτον ὅσοι περιναιετάουσιν
ἀγλαοφώτιδα πάντες ἐπικλήζουσι βοῶντες,
φέγγεος οὕνεκα λαμπομένου πυρὸς ἄνθος ἀναίθει.
Ἣν κυνὸς ἀντέλλοντος ἀναίρεο, κοῦρε δαΐφρον,
πρὶν μέγαν ἠέλιον τὸν ἀτέρμονα κύκλον ὀδεύειν,
μή σε θεοὶ βλάψωσι νόῳ καὶ ἐχέφρονι βουλῇ
τὴν ὥρην προλιπόνθ' ἣν σε φράζεσθαι ἄνωγα.
Οὐ γὰρ ἐν ἀθανάτοισιν ἀτημελίη πεφάτισται,
οὕνεκα δὴ καλέουσι κυνόσπαστον κατ' Ὄλυμπον
ἀθάνατοι μάκαρες ἐφιαλτείαν τε βοῶσιν.
Κρημναμένη δεινὴ γὰρ ἀποτρέψαι κακότητας
φαρμακίδων φοβερῶν καὶ βάσκανα φῦλ' ἀνθρώπων,
πρός τε φόβους δυνατὴ καὶ δαίμονας ἠδ' ἐπιπομπάς,
καὶ πυρετὸν φρίκαισι καταρχόμενον στυγέοντι
νυκτερινόν τε καὶ ἡμερινὸν χαλεπόν τε τέταρτον.
Ὄντινα καὶ τηροῦσι Διὸς φύλακες μεγάλοιο
ἄγγελοι ἑξήκοντα τριηκόσιοι δ' ἐπὶ τούτοις.
Ταύτην γὰρ λέγεταί ποτ' ἐν οὔρεσι ῥιζωθεῖσαν
δαίμονας ἐξελάσαι κεῖνον τόπον οἰκήσαντας.

[ιϐ'] Περὶ πολίου.

Δεῖ δέ σε καὶ περὶ σῶμα φορεῖν πολίοιο κόρυμβον
πρὸς τὸν ἀπαυλισμὸν τὸν ἀπ' αἴθερος ὃν καλέουσιν
ἄνθρωποι χαλεπὴν ἱερὴν νόσον ἀμπλακιῶτιν,
οἱ δὲ σεληνιακὴν ἐπὶ σῶμα κακὴν ἐπιπομπήν·
καὶ κόπον ἐξελάσαι δυνατὴ τριφθεῖσα μετ' ὄξους
ἡ βοτάνη καταχειομένη πόδας ἀκροκορύμβους.

[ιγ'] Μῶλυ.

Μῶλυ δὲ ῥιζοτομηθὲν ἀρεῖς προς φαρμακα λυγρὰ
φαρμακίδων χαλεπῶν καὶ βάσκανα φῦλ' ἀνθρώπων.
Τοῦτο γὰρ Ἑρμείας Λαερτιάδῃ Ὀδυσῆϊ
δῶκε φορεῖν περὶ σῶμα προσαψάμενον φυλάκειαν,
Αἰαίην εἰς νῆσον ὅτ' εἰς κλυτὰ δώματα Κίρκης
ἦϊε, πολλὰ δέ οἱ κραδίη φρεσὶ μερμήριζεν.
Οὐδὲ γὰρ οὓς ἑτάρους ἤδει δυνατοὺς ὑπαλύξαι,
εἰ μὴ τοῦτό γ' ἔδωκε διάκτορος Ἀργειφόντης
ἐκ γαίης ἐρύσας ἐναλίγκιον ἄνθεϊ λευκῷ
ὡς γάλα λαμπόμενον καρποτρόφον, αὐτὰρ ἔνερθεν
ναρκίσσῳ ἶκελον, ῥίζῃ ζοφοειδὲς ἰδέσθαι.
Πάντα γὰρ ἐξακέσαιο βροτοφθόρα φάρμακα λυγρά.
Τὴν βοτάνην περὶ σῶμα φορῶν ἐχθροὺς ὑπαλύξεις.

[ιδ'] Ἐναλίδρυς.

Αὐτὰρ ἁλὸς κόλποισι καθεζομένην ἱερὴν δρῦν,

Cretaees autem eam Dictæi, Jovis alte nati
coloni, suæ vocant cognominem immortalis terræ.
Quam omnes dii beati nuncupant glycysiden,
immortale germen ac floribus decorum utrinque;
solis vero Ægyptum qui circumhabitant,
aglaophotin omnes cognominant vocantes,
quia splendorem fulgentis ignis flos accendit.
Quam canicula oriente tolle, puer, si sapis,
antequam magnus sol infinitum circulum pervadat,
ne dii te lædant mente et prudenti consilio
tempus prætermittentem quod a te observari jubeo.
Non enim inter immortales negligentiæ conceditur,
quapropter vocant cynospaston (*canis thalamum*) in Olympo
immortales dii ephialtiamque nuncupant.
Suspensa potens *est* ad avertendas malignitates
veneficarum terribilium et fascinantia agmina hominum,
contraque terrores efficax ac dæmones et incantamenta,
et febrem horroribus incipientem peroso
nocturnam atque diurnam molestamque quartanam.
Quam etiam custodiunt Jovis custodes magni,
nuntii sexaginta trecentique insuper.
Hanc enim sermo est olim in montibus radices agentem
dæmones fugasse illum locum habitantes.

12. De polio.

Oportet vero te etiam ad corpus ferre polii corymbum
contra apaulismon morbum a cœlo *immissum*, quem vocant
homines gravem, sacrum morbum, amplaciotin,
alii vero lunarem, corpori funestum incantamentum;
et lassitudinem exigere valet trita in aceto
hæc herba, affusa pedibus summis.

13. Moly.

Moly autem radicitus evulsum sumes contra venena noxia
veneficarum atrocium ac fascinantia agmina hominum.
Hoc enim Mercurius Ulyssi Laertis filio
dedit ut portaret corpori alligatum custodiam,
Ææam in insulam quando ad famosam domum Circes
ibat, multa vero ejus cor cum animo deliberabat.
Non enim suos socios scivisset posse liberari
nisi illud dedisset nuntius Argicida,
ex terra evulsum simile flori albo,
tanquam lac, splendidum, fructiferum, sed intus
narcisso simile, radice nigra aspectu.
Omnia enim sanabis, quæ homines perdunt, venena tristia.
Hanc herbam circa corpus portans inimicos effugies.

14. Enalidrys (quercus marina).

Sed maris sinibus insidentem sacram quercum

[ιϐ'.]

Αὕτη ἡ βοτάνη φορουμένη περὶ τὸ σῶμα ὠφελεῖ πρὸς σεληνιασμὸν καὶ κόπον. Δύναται δὲ τριφθεῖσα μετὰ ὄξους ἡ βοτάνη καὶ καταχεομένη πόδας ἀκροκορύμβους ὠφελεῖν.

ιγ'.

Αὕτη ἡ βοτάνη ῥιζ[οτο]μηθεῖσα καὶ περὶ τὸ [σῶ]μα φορου-
μένη ὠφ[ελεῖ πρὸς φάρμακα καὶ [βασ]κανίαν.

ιδ'.

Ταύτην τὴν βο[τάνην ὅταν] ἡ σελήνη λήγῃ [μῖξον] μετὰ ῥοδί-
νου ἐ[λαίου καὶ] χρῖσόν σου τὸ πρό[σωπον], ὅταν ἐπὶ πράγμα-
τ[α ἀπέλ]θῃς. Ζωογονεῖ δὲ [καὶ παι]δία ὑπὸ τὴν κο[ιλίαν] φο-
ρουμένη καὶ [πρὸς τοὺς] φόβους τοὺς γι[νομέ]νους ἔχε κατὰ
ν[ύκτα. Καὶ] πρὸς βασκανία[ν τε] καὶ πάντα τὰ [κακὰ] ὠφελεῖ
καὶ τὸ σ[ῶμα] φυλάσσει· ὅσον [γὰρ] οἱ βάσκανοι ἀφα[στεῖ,]

κύμασιν ἐν πάντεσσι τετιμένον ἔρνος ἄφυλλον
ἠδ' αὐτῷ πόντοιο Ποσειδάωνι ἄνακτι
ἀνθελετὴ, τὴν πάντες ἐπιχθόνιοι καλέουσιν,
λάμβανε τεχνήεντι νόῳ καὶ ἐχέφρονι βουλῇ,
ἣν τῆλ' Οὐλύμποιο θεὰ φθίνουσα σελήνη
δέρκηται, καὶ μίσγε ῥόδων εὐῶδες ἔλαιον,
καὶ χρίσαιο πρόσωπον ἐπὴν ἐπὶ πρᾶγμα πορεύῃ·
καὶ τότε σοι συνέριθος ἅμ' ἕψεται ἰὰ φοβεῦσα.
Τοῦτο γάρ ἐστιν ἄκος καὶ ἀλεξητήριον ἐχθρῶν
πάντων ὅσσα τε γαῖα φέρει καὶ πόντιον οἶδμα.
Ζωογονεῖ τε βρέφη [ἀλόχοις] ὑπὸ γαστρὶ φορηθέν·
πρός τε φόβους τοὺς γινομένους ἔχε μιν κατὰ νύκτα
βασκανίην τε κακὴν μερόπων καὶ πήματα λυγρὰ,
ἣ καὶ δῶμα φυλάσσει ἀπόῤῥητόν τ' ἀποπέμπει.
Ὅσσοι γὰρ φθονεροὶ μὲν ἀφεστήκασι, μέμυκεν·
ἐρχομένων δ' ἐγγὺς τούτων, τότε κάρφος ἀνοίγει.
Ταύτην παμμήτωρ φύσις εὗρετο· μηκέτι λᾶας,
μαντοσύνης ἕνεκεν δόλιχ' ἢ πτερὰ μηκύναντας
πτηνοὺς ἄνθρωποι θαυμάζετε· καὶ γὰρ ἀμείνων.

n aquis omnibus honorata stirps foliis expers
atque ipsi Neptuno maris regi
prælata, quam omnes terrestres vocant,
lege prudenti mente et sapienti consilio,
quando procul a cœlo dea occidens luna
conspicitur, et misce rosarum fragrans oleum,
et unguas faciem, ubi ad opus accedis;
et tunc te adjutrix simul sequetur venena timens.
Hæc enim est remedium ac præsidium infestarum rerum
omnium, quot et terra fert et marinus fluctus.
Et gignit fetus [uxoribus] sub ventre portata;
atque contra terrores obortos habeas eam per noctem
fascinationemque malam hominum et morbos tristes,
quæ etiam ædes custodit prohibitumque abigit.
Nam quot invidiosi quidem recedunt, claudit,
accedentibus autem prope his, tum calicem aperit.
Hanc omnium mater natura invenit. Ne amplius
aut augurii causa longas alas extendentes
volucres, homines, admiramini; namque *illa* præstantior.

[ιε'] Χρυσάνθεμον.

Ἔνδροσον ἐκ γαίης αἶρειν χρυσάνθεμον ἁγνὸν,
πρὶν μέγαν ἠέλιον τὸν ἀτέρμονα κύκλον ὀδεύειν,
καὶ περὶ σῶμα φόρει, καὶ ἔχ' εἵματος ἐντὸς ἀείρων.
Κρημναμένη δόναται γὰρ ἀποτρέψαι κατότητας
φαρμακίδων ἀλόγων καὶ βάσκανα φῦλ' ἀνθρώπων.

15. Chrysanthemum.

Roscidum e terra tolle chrysanthemum sanctum,
antequam magnus sol infinitum circulum pervadat,
et ad corpus porta, et habe in vestimento ferens.
Suspensa enim *hæc herba* potest avertere malignitates
veneficarum insanarum et fascinantia agmina hominum.

[ις'] Ἐρύσιμον.

*
* *

16. Erysimon.

*
* *

κασιν, μέμυκ[εν· ἐρ]χομένων δὲ αὐ[τῶν ἐγ]γὺς ἀνοίγει τὸ κά[ρφος.]

ε.

Τοῦτο τὸ χρυσάν[θεμον εἴπερ] αἶρεις ἐκ τῆς γῆς π[ρὸ τοῦ] τὸν ἥλιον ἀνατέ[λειν]καὶ περιάπτει[ς τῷ σώ]ματι καὶ ἐκ τοῦ

[τρα]χήλου ἀποκρημν[ᾶς], ὠφελεῖ ἀποστρέφ[ον] τὰς φασκανί δας γυ[ναῖκας] καὶ πάντας τοὺς βασ[κάνους].

ις'.

Ἐρύσιμον λεῖον μετ' οἴνου πρὸς κοιλίας πόνον πιέτω. Ἐὰν κόκκους ζ' εἰς οἰκίαν βάλῃς, ἀψιμαχία ἔσται.

ΜΑΝΟΥΗΛΟΥ ΤΟΥ ΦΙΛΗ

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ.

MANUELIS PHILÆ

VERSUS IAMBICI

DE PROPRIETATE ANIMALIUM.

COLLATIS CODICIBUS EMENDARUNT ET LATINE VERTERUNT,

F. S. LEHRS ET FR. DÜBNER.

PRÆFATIO.

Dilectissimum Lehrs quum fata non sivissent finem attingere Φιλῆ versuum *de animalibus* emendandorum et latine vertendorum, neque ultimam adhibere manum iis quæ scripserat morbo jam graviter affectus, licere mihi putavi ut in his retractandis paullo liberius versarer. Substitit autem opera Ejus in fine capitis *de monocerote*, in ipso versu 1000. Hanc partem libelli ea qua conspicuus erat diligentia et judicii sanitate tractavit, usus scriptura codicum quattuor et editionis principis, quam enotaverat Camus in *Notices et Extraits* vol. V, p. 623-667, et emendationibus Struvii, quas codices tantum non ubique confirmant. Ipse inspexi codicem qui nuper illatus est thesauro Regio (*Suppl.*), chart. sæc. XVI, τοῦ σοφωτάτου ... ἰδιότητος, ἤγουν φυσιολογία συγραφῆσα (sic) ἐκ χειρὸς παναγιώτου (sic) παλαιολόγου, paucissima habentem sibi propria Sed quum de optimo et poetæ ferme æquali codice bombycino, n. 1630, sæpius scrupulum injiceret Cami vel testimonium vel silentium, hunc iterum tractavi : quo eventu, cognoscetur infra; nam italico charactere voculæ *opt.* indicavi scripturas a Camo sive omissas sive falso relatas. Denique *Jacobsius* mihi concessit emendationes suas, quas de exemplo ipsius Pauwiano enotavi. Uncis inclusa sunt quæ ex aliis libris accesserunt codici Arseniano. Pauca ex his additamentis ad Philen auctorem referri possunt, debet fortasse nihil : nam alia sunt prorsus χυδαῖα, meliora imitatorem potius quam ipsum Philen sapiunt.

Jam igitur hos iambos *de animalium proprietate*, in Pauwiana editione multis partibus laborantes, tradimus Tibi ferme integritati restitutos scriptorum codicum beneficio. De singulis locis addo

quæ in schedis anno 1843 paullo post obitum Lehrsii exaratis inveni notata.

Versu 20 scripsi λόγῳ, ex conjectura Pauwii, pro vulg. λόγων, opt. λόγον. Jacobsius conjecit μογῶν. Idem versu 23 conjecit εὐτυχοῖς. Tenui in hoc scriptore quod dedit *opt.* εὐτυχῇς. Nimirum a pr. m. habet εὐτύχης αὐτοκράτωρ, a sec. εὐτυχῆς αὐτοκράτορ. Vulgo εὐτυχὴς αὐτ. — V. 88 *opt.* δέρην, non δέρρην. — V. 91 *opt.* a pr. m. βλέπτοι. Suppl. solus ἀετὸν λέγει. — V. 127 codd. omnes Αἰγυπτίους, « quod fortasse restituendum, suppleto γῦπας. » *Lehrs.* — V. 161 opt. solus verum servavit. Legebatur στέργουσιν. — V. 176 in *opt.* δ' post ὅταν erasum est. — V. 300. « Libri omnes [etiam Suppl.] διαπλέκοι, quod sane mirum. » *Lehrs.* In similibus locis, si Camum audias, omnes κρίνοι v. 995, θέλοι v. 344. Sed v. 300, *opt.* indicativum habet a pr. m., v. 995 intactum, v. 344 item θέλει intactum. — V. 316 θρύβεται (non θρίβεται) omnes et ipse Arsenius. Sic v. 1307 διαθρύβει. — V. 349 *opt.* θαυμάσει, v. 398 θαυμάσεις, sed in his ob usum scriptoris subjunctivos non mutavi. Aperto iotacismo v. 366 *opt.* ἀπεπνίγει. — — V. 375 *opt.* ὅνπερ præbet, non ὅπερ quod ceteri, male defensum a Phileta (Dorvillio?) in Misc. Obss. vol. VI, p. 455. — V. 581 opt. iterum solus servavit ταῖς ῥοπαῖς, quod verum esse cognoscitur ex v. 583, οὗ μηδὲν ἀγώγιμον ἡ πλάστιγξ φέρει. Ceteri ταῖς ῥοαῖς. — Versu 596 τι καὶ mutavi in νικᾷ, cujusmodi aliquid sententia postulat : nam Arsenius et codd. habent πτερόν τι καὶ χρὼς ... At latebit aliud vocabulum si librarius optimi cod. in πτερὸν δὲ καὶ χνὼς (sic Camus : sed χρὼς potius vult ille calami ductus) non aberravit ad voces his superne impositas ἐνώτιον δὲ καὶ ... : nam in hoc codice, ut in multis aliis, duarum columnarum versiculi sese excipiunt singuli, non universi. Locus haud dubie aut corrupto vocabulo aliquo aut (quod probabilius) lacuna laborat. — V. 611 ex opt. Lehrsius recepit εὐστεφής pro vulg. εὐσταθής, quod præstare videtur. Præcedens ἐρυθροβαφής puto errorem in terminatione insequentis adjectivi peperisse. — V. 624 *opt.* ἑαυτῆς. Male vulgo ἑαυτοῖς. — V. 825 *opt.* σκύλλης habet intactum. — V. 894 ῥιπτεῖ *opt.* Ceteri ῥίπτει. — V. 912 Jacobsius conjecit προβάλλει. Idem versu 950 εὖ pro οὐ, quod recepi. — V. 1159 mirum est quod legitur καὶ μητροπάτωρ οὐκ οἶδ' ὅπως γίνεται, correpto vocabulo οἶδ'. Hoc equidem excidisse puto Philæ per consuetudinem politicorum versuum, in quibus vocabula in unam phrasin arcte conjuncta uno et proprio accentu proferuntur tanquam vocabulum unum, οὐκοιδόππως. Struvii con-

jecturam Lehrsius in margine indicavit : οὐκ οἶδ' ὅπως, καὶ μητροπάτωρ γίνεται. — V. 1174 singularis error effugerat omnes : Ἴαινα δὲ τίκτουσα τὰς κύνας δόλῳ. Scripseram κτανοῦσα quum viderem in *opt.* exstare κτείνουσα.— V. 1247 recepi egregiam conjecturam Jacobsii αὖοι pro αὖθις. Οἶδεν, *solet*, pro εἶδεν idem conjecerat v. 1284, et præbuit opt. — V. 1282 ex *opt.* ὑφερπύσῃ pro vulg. ἐφερπ. — V. 1388 ἔξαμμα scripsi cum Kuhnio pro ἔξαλμα. Sic v. 1194 in omnibus, etiam opt., est ἰταλῶν pro ἰταμῶν. — V. 1414 κνησμονὴν pro κνησμὸν legendum esse viderat Jacobsius, et præbet *opt.*, cujus compendium non intellexit Camus. — V. 1428 opt. solus πικρόφυλλος, quod notandum. — V. 1433 δῆγμα, quod Bersmannus verterat, recepi ex opt. pro δεῖγμα, sed quærendum unde hæc duxerit Philes. Jacobsius δεῖμα, eo sensu quem Pauwius exponit. — V. 1441 βρόχοις ex *opt.* Vulgo male βρόχον. — V. 1461 omnes præter unum cod. 2526 μακρόπους. — V. 1543 edebatur εἰ δή τι μικρὸν καὶ καθεύδει τὴν φύσιν, sed in codicibus est καθεύδειν, apud Ælianum ὕπνου δεόμενος. Scripsi igitur εἰ δεῖ τι, et vidi δεῖ esse etiam in *opt.* — V. 1591 πραγμάτων quod conjectura assecutus fuerat Jacobsius, pro τραυμάτων, est in codd. Idem v. 1634 conjecit τῆς θύρας. — V. 1657 πεφυρμένης, quod Bersmannus expresserat, ex *opt.* Vulgo πεφρυγμένης. — V. 1664 *opt.* προσπέσοι a pr. m., προσπέσῃ a sec. — V. 1746 κλῶν scribere debebam ob auctoritatem opt. — V. 1791 *opt.* λανθάνων, non λανθάνον. — V. 1796 προκείμενος et 1798 τριβῇ ex *opt.* Sic locus sanatus. — V. 1810 codd. omnes εἰς ἕρμα, et 1872 μικροῖς. — V. 1889 ξανθοῖς πλοκαμοῖς etiam *opt.* — V. 1905 καὶ πυκνὰς ἐκ Jacobsius ad Ælian. p. 327, secundum Oppian. Hal. I, 174. Scripsi nonis Septembribus, MDCCCXLV.

FR. DÜBNER.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΥΡΟΥ

ΜΑΝΟΥΗΛΟΥ ΤΟΥ ΦΙΛΗ

ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ

ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ

ΜΙΧΑΗΛ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ.

ΤΩι ΕΥΣΕΒΕΣΤΑΤΩι ΚΑΙ ΘΕΟΣΕΠΤΩι ΒΑΣΙΛΕΙ

ΚΑΡΟΛΩ ΑΡΣΕΝΙΟΣ

Ο ΜΟΝΕΜΒΑΣΙΑΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ,
ΑΙΡΕΙΝ ΑΕΙ ΤΡΟΠΑΙΑ ΚΑΤΑ ΒΑΡΒΑΡΩΝ.

Ὀππιανὸς μὲν πάλαι, γαληνότατε Βασιλεῦ, Ἁλιευτικὰ καὶ Κυνηγετικὰ συγγραψάμενος, τῷ βασιλεῖ Ἀντωνίνῳ ἀφωσιώσατο, οἷς ἐκεῖνος ὑπερησθείς, τὸν μὲν ἐκείνων πατέρα μεγαλοπρεπῶς τε ἅμα καὶ ἐλευθερίως ἐδεξιώσατο, τὸν δὲ πάππον ἐξόριστον ὄντα, τῷ υἱῷ φίλα φέρων, τῇ πατρίδι κατήγαγε. Φιλῆς δέ τις τῶν μεταγενεστέρων, ἔν τε ἄλλοις, κἀν τῷ ἰαμβοπλοκεῖν θαυμαζόμενος, ἐν δυσὶ χιλιάσιν ἰάμβων ἐγγὺς, περὶ ζώων ἰδιότητος βιβλίον συνέθετο, ὃ δὴ Μιχαήλῳ τῷ Αὐτοκράτορι προσεφώνησε, φιλοτιμηθεὶς καὶ αὐτὸς παρὰ τοῦ βασιλέως τὰ μάλιστα. Ἀλλὰ τὰ μὲν τοῦ Ὀππιανοῦ, καὶ πρὶν τυπωθῆναι, εὑρίσκετο δήπου παρὰ πολλοῖς, τὸ τοῦ Φιλῆ δὲ τοῦτο καὶ μόνον ὡς λέγουσι τὸ πρωτότυπον παρ' ἐμοὶ, πλήν γε καταπεπατημένον καὶ εἰς πολλὰς διερρηγμένον τομὰς, εἱρμὸν ἀνάρμοστον ἔχον, τῶν φύλλων μετατιθεμένων καὶ ἐναλλάγδην διερβαμμένων, καὶ ὡς ἄλλος Πελίας πρὸς ἀνακαινισμὸν ἑτέρας Μηδείας δεόμενον. Ἀλλ' οὖν ἐγὼ τὸ βιβλίον ἀνατεμὼν καὶ τὰ φύλλα κατὰ τάξιν συνθείς τε καὶ ἁρμολογησάμενος, εἴς τε τὴν προτέραν ἀποκατάστασιν ἐπιμελείας ζέσει συναγαγὼν, ἔγνων ἐντυπῶσαι καὶ ἀφιερῶσαι τῇ βασιλείᾳ σου. Ὃ δὴ, συναιρομένου Θεοῦ, καὶ πεποίηκα, δῶρον ἐπωφελές τε καὶ χάριεν νομίσας προσκομίσαι τῷ κράτει σου. Ἐνταῦθα γὰρ ἂν ἴδοις τὰ ζῶα, θειότατε βασιλεῦ, ὅπως τῷ κοινῷ νόμῳ τῆς φύσεως χρώμενα, ἄνευ προσταγμάτων καὶ διαγραμμάτων βασιλικῶν τῆς ἑαυτῶν σωτηρίας ἐπιμελοῦνται, καὶ προαιροῦνται μὲν τὴν ἀφωρισμένην αὐτοῖς παρὰ τῆς φύσεως δίαιταν, ἐκφεύγουσι δὲ τὰ φευκτὰ καὶ προσκολλῶνται τοῖς κρείττοσι, τῶν λογικῶν μᾶλλον, οἳ λόγῳ καὶ νόμῳ καὶ παιδείᾳ κοσμούμεθα. Θεάσῃ δ' αὖ τὴν εἰς τοὺς γονεῖς φιλοστοργίαν τῶν πελαργῶν, ὅπως τε ἐπιδημοῦσι καὶ ἀποδημοῦσιν, ὡς ἐξ ἑνὸς συνθήματος. Καὶ αὖθις τὰς κορώνας, ὅπως αὐτοῖς τὸ συμπαθὲς ἐνδεικνύμεναι, καὶ ὥσπερ τινὰ συμμαχίαν

SAPIENTISSIMI AC ERUDITISSIMI DOMINI

MANUELIS PHILÆ

VERSUS IAMBICI

AD IMPERATOREM

MICHAELEM PALÆOLOGUM

DE ANIMALIUM PROPRIETATE.

RELIGIOSISSIMO ET AUGUSTISSIMO REGI

CAROLO ARSENIUS

MONEMBASIÆ ARCHIEPISCOPUS,
TROPHÆORUM SEMPER CONTRA BARBAROS
ERECTIONEM.

Oppianus quondam, Auguste Rex, Piscatoria Venatoriaque quum scripsisset, Antonino Regi dicavit; quibus ille mirum in modum delectatus, eorum quidem parentem magnifice simul ac liberaliter accepit, avum vero exulem, filio gratificatus, patriæ reddidit. At Philes posterius genitorum quidam, cum in aliis, tum in iambis texendis, admirationi habitus, ad duo fere iamborum millia, de Animalium Proprietate librum condidit. Quod Michaeli utique Imperatori nuncupavit, honoratus et ipse a Rege inprimis. Verum Oppiani quidem scripta, et priusquam imprimerentur, penes multos inveniri erat; Philæ vero id, unicumque ut perhibent, exemplar penes me, veruntamen conculcatum atque in multa fragmenta discissum, incoibili serie, foliis ab invicem dissutis, et, ut ita dixerim, velut alius Pelias ad instaurationem alia Medea indigens. Codicem igitur recidens, ac folia seriatim componens, perque artus coagmentans, in priorem statum studii ardore quum coegissem, imprimendum statui tuæque dicandum Majestati. Quod cum Deo et feci, gratum munus atque utile ratus adferre Potentiæ Tuæ. Hic enim videas, Divine Rex, quomodo animalia communi naturæ lege utentia sine jussis et præscriptis Regiis propriam salutem curent, et appetant quidem præfixam ipsis a natura vivendi rationem, ac fugienda devitent, adhæreantque iis, quæ meliora sunt, rationalibus magis, qui sermone legeque ac disciplina ornamur. Contempleris ciconiarum in parentes charitatem, quomodoque accedant recedantque veluti ex compacto. Rursum cornices, quomodo erga illos affectum ostendentes

αὐτοῖς παραχόμεναι πρὸς ἀλλοτρίους ὄρνιθας παραπέμπουσι. Θαυμάσῃς ἔτι τὸ προφυλακτικὸν τῶν γεράνων, ὅπερ ἔν τε τῷ καθεύδειν, κἀν τῇ πτήσει φυλάττουσιν. Ἡ μὲν γὰρ ἡγεῖται πρὸς ὥραν, εἶτα πάλιν κατόπιν ἐλθοῦσα τὴν ὁδηγίαν τῇ μεθ' ἑαυτὴν παραδίδωσι. Γνώσῃ τὴν κατὰ τοὺς σῆρας μεταβολὴν, κἀκ τούτων προσέτι μνησθεὶς τῆς ἀναστάσεως τὴν ἀσφάλειαν, καταφρονήσεις τῶν ἀθετούντων αὐτῆς τὸ ἀπόῤῥητον δόγμα. Ἀποβλέψῃς πάλιν τοὺς γύπας, πῶς ἀσυνδυάστως τίκτουσι, καὶ καταπτύσεις τῶν καταγελώντων τὸ τῆς ἐνσάρκου οἰκονομίας μέγα μυστήριον, ἀδύνατον καὶ ἔξω τῆς φύσεως εἶναι ληρούντων παρθένον τεκεῖν, τῆς παρθενίας αὐτῇ φυλαττομένης ἀχράντου, ἣν Χριστιανοῖς ὑμνητέον εἶναι, ἐπαινετέον τε, καὶ δοξαστέον, μετὰ τὸν ἐξ αὐτῆς σάρκωθέντα Θεὸν ἡμῶν νενόμισται. Ἀγασθείης δὲ πάλιν τὴν τῶν ἰχθύων καὶ τῶν λοιπῶν ζώων τὴν σοφὴν καὶ εὔτακτον διακόσμησιν· πῶς τὰς μεταβολὰς τῶν καιρῶν, τῇ φυσικῇ αἰσθήσει προκατανοοῦσι καὶ προγινώσκουσιν· ὅπως τε τοῖς Ἱπποκράτους εἰπόντες χάριν ἀφορισμοῖς, ἄλλα ἄλλῳ χρώμενα τῶν φαρμάκων, ἑαυτὰ ἐξιῶνται. Καὶ ἄρκτος μὲν τῷ φλώμῳ τὰς ὠτειλὰς παραβύεται· χελώνη δὲ δι' ὀριγάνου τὴν τοῦ ἰοβόλου λύμην ἐκκρούεται· ἀλώπηξ τῷ δακρύῳ τῆς πίτυος ἑαυτὴν ἰατρεύει· ὄφις ἐμφορηθεὶς μαράθῳ τὴν ὀφθαλμίαν ἀποβάλλεται. Τούτων καὶ τῶν λοιπῶν ζώων, πτηνῶν, πεζῶν, ἑρπυστικῶν τε καὶ νηκτῶν, τῇδε θεάσῃ τὴν ἔμφυτον φύσιν καὶ ἰδιότητα. Ἥδιστον οὖν, ὡς ἔφην, καὶ ἐπωφελὲς διὰ ταῦτα νενόμικα τὸ βιβλίον γενέσθαι τῇ βασιλείᾳ σου. Πέπεισμαι δὲ τήνδε τὴν δευτέραν ἔκδοσιν τούτου τῆς προτέρας τὴν εὐδαιμονίαν γε ὑπερακοντίσασθαι, ἐπείπερ ἀνατίθεται βασιλεῖ ἅπασι τούτοις τὴν βασιλείαν κοσμοῦντι, οἷς ἐκείνη σεμνύεται τῶν προτέρων βασιλέων ἐπέκεινα. Ἔῤῥωσο

Οὕτω σε τανῦν ἑστιῶ τὸν κράτιστον
νηκτοῖς, πετεινοῖς, κτήνεσιν, ἑρπυστοῖς τε.
Αὖθις δέ σοι τράπεζαν, εἰ δοίης, θήσω,
εἰς ἐκτύπωσιν πορισμὸν τὸν ἀρκοῦντα,
λαμπροῖς στρατηγήμασι τοῦ Πολυαίνου,
οἷς κεῖνος εἱστίασε τὼ βασιλῆε
πάλαι, τὸν Οὔῆρόν τε καὶ Ἀντωνῖνον.

Κύων ἐγὼ σὸς, καὶ γλυκὺς σὺ δεσπότης·
οὐκοῦν ὑλακτῶ, καὶ φαγεῖν ζητῶ βρῶμα.
Ἄναξ λεοντόθυμε τὸν κύνα τρέφε.
Θρέμματα γὰρ θηρῶν σε βλέπω Βαρβάρων.

velutque subsidium quoddam ipsis præbentes adversus externas aves exeant. Mireris gruum præcautionem, quam cum inter dormiendum, tum inter volandum servant. Alia quidem ad horam præit, tum retrofacta, ducatum sequenti se tradit. Agnoscas in seribus vermiculis transmutationem, et ex iis amplius eruditus Resurrectionis certitudinem, despicies reprobantium ipsam nefarium dogma. Respicias vultures, quomodo citra copulam pariant, et despues qui derident magnum in carne dispensationis Mysterium, impossibile ac præter naturam esse nugantes, Virginem parere, virginitate ei impolluta servata, quam Christianis celebrandum esse, laudandumque et glorificandum post ex ipsa incarnatum Deum Nostrum sancitum est. Admireris præterea piscium, aliorumque animalium sapientem compositamque dispositionem; quomodo temporum instabilitates naturali sensu præintelligant præcognoscantque; quomodoque jussis valere Hippocratis Aphorismis, alia aliis Pharmacorum usa, se ipsa curent. Et ursus quidem phlomo vulnera obturat. Testudo origano venenati labem repellit. Vulpes pinus lacrima se ipsam medicatur. Serpens fœniculo pastus oculorum morbum excutit. Horum reliquorumque animalium, volucrium, pedestriumque, reptiliumque, et natatilium hic genuinam speculeris naturam proprietatesque. Igitur jucundissimum, ut dixi, atque utilem, ob hæc hujusmodique, arbitratus sum librum fore Imperio Tuo. Persuasus autem sum secundam hujus emissionem prioris felicitatem superaturam, quia Regi dicatur omnibus his regnum exornanti, quibus supra priores Reges honestatur. Vale.

Sic te, quod ad præsens spectat, Potentissimum pasco
Natatilibus, volucribus, jumentis, reptilibusque.
Mox tibi rursum mensam apponam, si dederis
In impressionem facultatem sufficientem,
Celebribus consiliis Polyæni,
Quibus ille reges pavit
Quondam, Verum Antoninumque.

Canis ego tuus, et dulcis tu dominus.
Igitur allatro, et comedere cibum quæro.
Rex leoninæ generositatis, canem ale.
Armenta enim venari te Barbarorum aspicio

ΦΙΛΗ

ΣΤΙΧΟΙ ΠΕΡΙ ΖΩΩΝ ΙΔΙΟΤΗΤΟΣ.

Ἐχρῆν μὲν Ἀδὰμ τὸν γενάρχην τὸν μέγαν,
τὴν δεσποτικὴν ἐντολὴν δεδεγμένον,
τηρεῖν καθαρὰν τῆς ψυχῆς τὴν ἀξίαν,
καὶ θηρίων ἄρχοντα παντοίων μένειν.
Ἐπεὶ δὲ φαγὼν τοῦ ξύλου τῆς γνώσεως,
ἔγνω παρευθὺς τὴν τιμὴν καθυβρίσας,
ἤμειψε καὶ τὸ σχῆμα τῆς ἐξουσίας,
καὶ θῆρες αἰδοῦς ἀγνοήσαντες νόμους,
ὡς δυσμενῆ φεύγουσι τὸν πρὶν δεσπότην·
καὶ τὸν χαλινὸν ἐνδακόντες τοῦ κράτους,
ῥήσσουσιν οὓς ἔστεργον εὐνοίας βρόχους,
καὶ ζῶσι λοιπὸν εἰς ἐρήμους γῆς τόπους.
Ἐγὼ δέ σοι θήρατρον εὐνοίας πλέκων,
ἤνεγκα τοὺς φυγάδας ἐξ ἐρημίας.
Σοῦ γὰρ ἀνατέλλοντος ἡλίου δίκην,
ὡς εἶπε Δαυὶδ ζωγραφήσας τὴν κτίσιν,
εἰς μάνδραν ἐχρῆν συνδραμεῖν τούτους λόγων·
καὶ λῖνα ῥυθμοῦ τεχνικῶς ὑφαρμόσας,
πολλῶν πετεινῶν οὐ παρέδραμον φύσεις·
καὶ πάντα βυθὸν ἐξερευνήσας λόγῳ,
συνέσχον ἰχθῦς τῇ πλοκῇ τῆς λέξεως·
ὡς ἂν ἔχοις καὶ ταῦτα, κἀκεῖνα βλέποις,
καὶ τἄλλα μαθὼν εὐτυχῆς αὐτοκράτωρ.
Ποῖος γὰρ ἄλλος προσφυὴς μᾶλλον φόρος
ἄνακτι, πατρὸς Αὐσονάρχου φιλτάτῳ;
οὗ τὴν ὑπερφυῆ τε καὶ ξένην φύσιν,
καὶ τὸν γλυκασμὸν, καὶ τὸ πρὸς πάντα κράτος,
καὶ τὸν πλατυσμὸν τῆς ψυχῆς, καὶ τὸν τρόπον,
ὀκνοῦσιν ὑμνεῖν οἱ κατ' ἄνθρωπον λόγοι.
Νικᾷ γὰρ αὐτοὺς, κἂν παρὼν φράζοι Πλάτων
ὡς αἰγυπιὸς τοῖς πτεροῖς τὰς ἐμπίδας.
Μᾶλλον δὲ κἂν ἓν εὑρεθῇ πάντα στόμα,
καὶ πρὸς λόγων ἅπασαν ἀρκέσῃ χάριν,
προσῆκον οὐδὲν τῷ τεκόντι σε φράσει.
Τῇ γὰρ σιωπῇ τοῦτον ὑμνήσει πλέον,
εἰ μὴ θρασυνθὲν εἰς κενοὺς ᾄδει κτύπους.
Πλὴν εἴ τι καινὸν ἡ διήγησις φέροι,
τῆς φύσεως καὶ τοῦτο τῆς πολυτρόπου·
ἧς οἶδε σαφῶς τοὺς ἀποκρύφους λόγους
ὁ καὶ προμηθῶς καὶ σοφῶς πάντα κτίσας.
Ὅσον γε μὴν ἔνεστι τοῖς λόγοις τέρας,
τῆς τῶν παλαιῶν τοῦτο φιλοτιμίας·
ἐξ ὧνπερ εὑρὼν τὰς ἀφορμὰς τῶν λόγων,
τὸν εἱρμὸν ὠργάνωσα τῆς εὐρυθμίας.
Ἕλλησι μὲν γὰρ τοῖς σοφοῖς, καὶ βαρβάροις,
ὡς δημιουργοῖς καὶ βραβεῦσι τῶν μύθων,
οὐ φορτικὸν τὸ ψεῦδος, ἀλλ' ἀνεύθυνον·
ἡμῖν δὲ δεινὸν τοῖς τιμῶσι τὸν λόγον,
ὃς ἔστι φῶς ἄνωθεν ὠθοῦν τὸ σκότος.

Oportebat quidem Adamum generis humani magnum sato-
Domini mandato accepto, [rem,
servare integram animi dignitatem,
et animalium omnigenorum regem manere.
Postquam vero gustavit de arbore scientiæ
cognovitque statim honorem se suum proculcasse
mutavit etiam naturam suæ potestatis,
et feræ pudoris leges non jam agnoscentes
velut hostem fugiunt pristinum dominum;
et frenum roboris mordentes
rumpunt benevolentiæ vincula, quæ amaverant,
et vivunt in posterum in desertis terræ regionibus.
Ego autem tibi rete benevolentiæ nectens
reduxi fugaces ex deserto.
Te enim oriente solis instar,
ut dixit David pingens creationem,
in septum verborum oportebat eas concurrere:
et lina numeri affabre texens
multarum avium diligenter notavi naturam;
et totum fundum investigans mente,
pisces coegi in rete orationis:
ut habeas et hæc, et illa videas,
et reliqua per doctrinam assequaris, Imperator.
Quod enim aliud tributum magis conveniat
regi, patris in Ausonia regnantis *filio* carissimo?
cujus eximiam ac raram naturam,
et suavitatem, et omnium rerum dominationem,
et animi magnitudinem, et mores
canere humana verba dubitant.
Vincit enim ea, etiamsi præsens Plato loqueretur,
velut vultur volatu culices:
immo si vel cuncta *ora* unum esse invenirentur os,
quod ad omnem verborum gratiam sufficeret,
nihil tuo genitore dignum proferet.
Silentio enim hunc dicet melius,
si nihil canit elatum temere in vanos clamores.
Ceterum si quid novi hæc narratio ferat,
naturæ id etiam multifariæ *munus est;*
cujus occultas causas bene novit
qui et prudenter et sapienter omnia condidit.
Quantum sane miri inest his sermonibus,
id studio veterum debetur;
e quibus sumpto argumento orationis
nexum concinnavi decentis metri.
Græcis enim sapientibus, et barbaris,
ut conditoribus et arbitris fabularum,
non dedecori est mendacium, sed impunitum;
nobis autem turpe, reverentibus Verbum,
quod est lux desuper tollens caliginem.

ΠΕΡΙ ΑΕΤΩΝ.

Τοὺς ἀετοὺς, κράτιστε, τοὺς ὑψιδρόμους,
ποτοῦ θεωρῶν ἀκριβῶς ὑπερτέρους,
τέθηπα τὸν κτίσαντα τὴν τούτων φύσιν.
Ἐχρῆν γὰρ αὐτοὺς ὡς κρατίστους ὀρνίθων,
παθῶν ἐπαχθῶν εὑρεθῆναι κρείττονας.
Πλὴν ὀξυδερκής ἐστιν ὁ πτηνοκράτωρ,
καὶ μέχρι σητὸς, ἐκ νεφῶν πάντα βλέπει.
Τούτου δὲ καὶ τὸν ῥοῖζον ἀκούσας δράκων
ἔπτηξε παραχρῆμα, καὶ συνεστάλη,
καὶ τοὺς μυχοὺς ὑπῆλθε τοὺς ἀποκρύφους,
μὴ θᾶττον αὐτὸν συλλαβὼν διασπάσῃ.
Θηρᾷ δὲ καὶ τὸν χῆνα, καὶ τὴν δορκάδα
καὶ τὸν λαγωὸν, καὶ τὸ τῶν ταύρων γένος.
Ὃς τοὺς νεοττοὺς ὄντας ἀπτῆνας τέως
ἐπὶ ξένην βάσανον ὡς νόθους ἄγων,
ποιεῖ δικαστὴν πρακτικὸν τὸν φωσφόρον.
Ὁ μὲν γὰρ αὐτοῦ ταῖς βολαῖς ἀντιβλέπων
τῶν φιλτάτων εἷς ἐστι, καὶ τῶν ἐκκρίτων,
ὀφθεὶς καθαρὸς δυσγενοῦς ὑποψίας.
Ὁ δὲ πρὸς αὐτὸν σκαρδαμύξας, εὐθέως
ἀλλοτρίου σπέρματος εὑρέθη τόκος,
καὶ τῆς καλιᾶς δυστυχῶς ἀπεκρίθη.
Εἶναι δέ που λέγει τις ἀετοῦ γένος
κρεῶν ἀφεστὸς, καὶ σιτούμενον χλόης.
Θήρας γε μὴν ἐκεῖνος ὁ κρεωβόρος
οὐκ ἂν ὅλως ἅψαιτο τῆς ἀλλοτρίας.
Ἐν ἅσθματι δὲ φυσικῆς δυσοδμίας,
τὰ τῆς τροφῆς λείψανα τηρῶν ὡς λέων,
παντὸς πετεινοῦ δυσμενοῦς εἴργει θράσος,
ὡς ἂν ἐπ' αὐτὰ δυστυχῶν ὑποστρέφοι.
Πτερὸν δὲ πᾶν ἔφθειρεν ἡ τούτου πτέρυξ,
ἂν ὁ πτερωτὴς τῶν βελῶν τοῦ τοξότου
λαθοῦσαν αὐτὴν εἰς φαρέτραν ἐμβάλῃ.
Τούτου, βασιλεῦ, τὸν πολὺν ζώοις βίον,
ἀεὶ νεουργῶν καὶ κρατύνων τὴν φύσιν.

1. DE AQUILIS.

Aquilas, Potentissime, altivolantes
videns potus planissime contemptrices,
admiror illum qui condidit harum naturam.
Oportebat enim eas, ut validissimas avium,
doloribus molestis inveniri superiores.
Præterea acri visu præditus est rex alitum,
et tinea non excepta, e nubibus omnia videt.
Ejus vero clangore tantum audito draco
statim horrescit, et refugit,
et latebras subit absconditas,
ne ocius captum se dilaceret.
Venatur vero etiam anserem, et capream,
et leporem, et taurorum genus.
Qui pullos, dum implumes sunt,
ad novam obrussam, quasi nothos, ducit
et facit judicem idoneum Luciferum (*solem*).
Is enim qui hujus radios ex adverso adspicit,
carissimorum unus est, et selectorum,
visus purus a suspicione adulterini generis.
Is autem qui adversus illum connivet, statim
alieni seminis invenitur proles,
et ex nido misere relegatur.
Esse autem uspiam, ait quidam, aquilæ genus
carne abstinens, ac se nutriens gramine.
At illa quidem carnivora pastum
omnino non tetigerit alienum.
In anhelitu naturalis fœtoris
alimenti reliquias servans, uti leo,
cujusvis avis infestæ propulsat audaciam,
ut ad ipsas infortunata revertatur.
Pennas vero omnes consumit hujus penna,
si opifex qui pennis instruit tela sagittarii,
occultam ipsam in pharetram injecerit.
Hujus, rex, longam vivas vitam,
semper renovans et confirmans naturam.

ΠΕΡΙ ΓΡΥΠΟΣ.

Γρὺψ ὁ πτερωτὸς, καὶ πολὺς, καὶ τετράπους
ὄνυχας ὀξεῖς τῶν ποδῶν ὑπεκφύει,
καὶ πορφυροῦς μέν ἐστι τοῖς ἐμπροσθίοις,
τὰ δ' ἄλλα λευκὸς, τήν γε μὴν δέρην μέλας·
καὶ πῦρ χέων ἀντικρυς ἐκ τῶν ὀμμάτων.
Οὗ τὴν κεφαλὴν, βασιλεῦ, καὶ τὸ στόμα
κἂν μακρόθεν βλέπῃ τις, ἀετὸς λέγει.
[Ἀσπάζεται μὲν τοὺς ἐρημαίους τόπους,
δεινοὺς ἰδεῖν τε καὶ τραχεῖς ὑπὲρ φύσιν·
οὗ καὶ χρυσοῦ μέταλλον ἡ γῆ ἐκφύει,
ἐξ οὗ ἑαυτῷ καὶ καλιὰς ἐντύνειν
ἐν ἠλιβάτοις τῶν ὀρῶν θ' ὑπερτάτοις.
Τῷ καὶ λαβεῖν τέλειον οὐκ ἔστι γρύπα,

2. DE GRYPHO.

Gryphus alatus, et magnus, et quadrupes
ungues acutos e pedibus procreat,
et purpureus quidem est in antica parte,
reliqua autem candidus, collo tamen niger;
et ignem fundens adversus ex oculis.
Cujus caput, rex, et os
si quidem procul quis spectet, aquilam *esse* dicit.
[Diligit quidem locos desertos,
terribiles aspectu et asperos supra modum:
ubi et auri metallum terra emittit,
ex quo sibi et nidos parare *dicitur*
in inaccessis montiumque summis.
Quare et capere adultum non licet gryphum,

ἀλλὰ νεοσσοὺς ὄντας αἱρεῖσθαι ἔτι.
(15) Τοῖς δ' εἰς χρυσοῦ ἄθροισιν Ἰνδοῖς αὐτόθι
δεινῶς μάχεσθαί φασι τοῖς ἀφιγμένοις,
ὑποψίᾳ γε μὴ ὑπὲρ τοῦ τὰ βρέφη
ἥκοιεν αὐτῶν συλλαβεῖν ἀμωσγέπως.
Δεδοικότες δ' οὖν τὴν ἄγαν τῶν θηρίων
(20) ἀλκήν, μετ' ἦμαρ ἠρεμοῦσιν ἐν λόχμαις,
νύκτωρ δ' ἐπ' αὐτὰ τοῦ χρυσοῦ τὰ χωρία
χωρεῖν μεθ' ὅπλων πλὴν ταραχῆς καὶ ψόφου.
Κἀκεῖσε φειδοῖ κατορύττοντες τάχος,
τὸ ψῆγμά γ' αὐτὸ λαμβάνουσι σὺν πόνῳ·
(25) καὶ εἴγε πως λάθωσι τοὺς γρύπας τότε,
ὄλεθρον ὥστε τὸν πρὸς αὐτῶν ἐκφυγεῖν
καὶ κῆρα τὴν μέλαιναν, εὖγε τῆς τύχης.

sed pullos adhuc prehendere.
Cum Indis vero ibi ad auri collectionem
advenientibus acriter eos pugnare aiunt
metu quidem, ne tu pullos ipsorum
comprehendant quodammodo, accesserint.
Extimescentes igitur nimium ferarum
robur, interdiu quiescunt in dumetis,
noctu vero ad ipsa auri loca *dicuntur*
accedere cum armis sine tumultu et strepitu.
Et ibi cum cura fodientes celeriter,
ramentum ipsum sumunt cum labore.
Et si quidem lateant tunc gryphes,
sic ut perniciem ab illis effugiant
et mortem nigram, euge boni eventus ergo.

ΠΕΡΙ ΓΥΠΟΣ.

Ὁ γὺψ μαχητὴς τοῖς νεκροῖς ὢν τυγχάνει.
Καὶ γάρ ποτ' αὐτοὺς ἤ τ' ἂν εὐκαίρως λάχῃ,
τρυφᾷ βεβρωκὼς ὡς βραβευτὴς γεννάδας.]
Πλὴν μαντικὴν ἔχουσιν οἱ γύπες φύσιν.
(5) Καὶ γὰρ συνεκδημοῦσι τοῖς μαχουμένοις,
τῶν σωμάτων ἐλπίδι τῶν πεσουμένων.
Μεμήνασι δὲ τῇ βορᾷ τῶν λειψάνων,
ὡς ὀξυπεῖναι, καὶ σπαράκται, καὶ βλάκες,
οἳ τῷ μύρῳ θνήσκουσι, κανθάρων δίκην.
(10) Θῆλυς δὲ πᾶς γὺψ, καὶ σπορᾶς ἄνευ κύει.
Χαίνων γὰρ ἀντίπρωρος ὑψοῦ πρὸς νότον,
συλλαμβάνει τὸ πνεῦμα, καὶ τρίτου χρόνου,
στρουθοὺς πτερωτοὺς ἀπὸ μήτρας ἐξάγει.
Οἳ ζῶσιν εὐθὺς ἐξ ὀνύχων ἁρπάγων,
(15) πνίγους καλιῶν εὑρεθέντες κρείττονες.
Τοὐναντίον δέ φασι τοὺς αἰγυπιοὺς
τίκτοντας ὠὰ τῇ σπορᾷ τῶν ἀῤῥένων,
εἰς τὰς καλιὰς τοὺς νεοττοὺς ἐκλύφειν,
ῥώμης ἀγαθῆς καὶ πτερῶν ἀλλοτρίους·
(20) εἶναι δὲ καὶ μέλανας ὡς Αἰγυπτίους.
[Τούτων γε, φασί, τὸ πτερὸν θυμιάσας,
ὄφεις ἐλάσεις χωρίου οὗ ἂν θέλῃς.]

3. DE VULTURE.

Vultur pugnator est in hominum cadavera.
Etenim ea ubicunque nactus fuerit opportune,
exsultat manducans, ut victor generosus.]
Præterea divinatricem habent vultures naturam.
Etenim proficiscuntur cum pugnaturis,
spe cadaverum eorum qui occisi fuerint.
Indulgent autem pabulo reliquiarum
ut famelici, et rapaces, et ignavi,
qui unguento moriuntur, cantharorum instar.
Femininus vero quivis vultur, et sine coitu concipit.
Hians enim in alto aere adversus notum,
recipit flatum, et tertio anno
pullos plumatos ex utero emittit.
Qui vivunt statim unguibus rapacibus,
nidorum angustiarum inventi impatientes.
Contra vero dicunt ægypios (*aliam vulturum speciem*).
edentes ova maris initu,
in nidis pullos excludere,
roboris boni et pennarum expertes;
nigros vero etiam esse instar Ægyptiorum.
[Horum quidem, aiunt, pennam suffiens,
serpentes abiges quo velis loco.]

ΠΕΡΙ ΤΗΣ ΜΕΓΑΛΗΣ ΣΤΡΟΥΘΟΥ.

Στρουθὸν δέ φασι τὴν μεγάλην οἱ Φρύγες,
οὖσαν πτερωτὴν, τοῖς ποσὶ χρῆσθαι πλέον.
Ὠκιστα γὰρ θέουσαν εἰς ἄρσιν μέσην
κολποῦν ἑαυτῆς τὰ πτερὰ πρὸς τοὺς δρόμους,
(5) ὡς λαῖφος οἰδοῦν ἐκ πνοῆς πλησιστίου.
Ὧν δὲ συχνῶν εὑρεθεῖσαν ἐργάτιν,
τὰ μὴ καθαρὰ τῆς γονῆς ἀποκρίνειν.
Ὅσους γὰρ ἐξέλιψεν ἡ ζέσις τόκους,
ἐν τοῖς ἀποῤῥεύσασι κυλίνδροις τρέφειν·
(10) καὶ τῶν διωκτῶν γειτνιώντων ἀθρόον,
ῥιπτεῖν κατ' αὐτῶν τοὺς ὀπισθίους λίθους

5. DE MAGNO STRUTHIONE.

Struthionem autem magnum aiunt Phryges,
quamvis pennatum, pedibus uti magis.
Celerrime enim currentem, ad sublationem mediam
sinuare alas suas ad cursum,
sicut velum tumens vento, qui carbasa implet.
Ovorum autem permultorum genitricem
ea, quæ non vacua sint fœtu, segregare.
Quotquot enim pullos excluserit calor,
ovis defluentibus (*rejectis in deiectu*) nutrire;
et insectatoribus confertim appropinquantibus,
conjicere in ipsos lapides a tergo

τοῖς ἐκτιναγμοῖς τῶν ποδῶν τοῖς εὐστόχοις·
καὶ τὴν καλιὰν τοῖς ποσὶ διαγλύφειν
εἰς ἀνέχουσαν ψάμμον ἐν τῷ δαπέδῳ
Ἧς καὶ τὰ νευρὰ, βασιλεῦ, καὶ τὸ στέαρ,
πολλῶν ὀδυνῶν εὑρεθῆναι φάρμακα.
Ταύτην ἀνατεμών τις εὑρήσει λίθους,
οἳ τοὺς πόνους παύουσι τῆς ὀφθαλμίας.

jaculationibus pedum bene directis;
et nidum eos pedibus fodere
in arenam eminentem in solo.
Hujus etiam nervos, rex, et adipem
multorum dolorum inventos esse medicamina.
Hoc dissecto aliquis inveniet calculos,
qui tormenta levant infirmitatis oculorum.

ΠΕΡΙ ΕΡΩΔΙΩΝ.

Ἐρωδιοὺς νῆσός τις Ἕλλησι τρέφει·
οἳ τὴν ἑαυτῶν εὐγενίζοντες φύσιν,
ὅσους μὲν ἂν ἴδωσι δεῦρο βαρβάρους,
μισοῦσι καὶ φεύγουσιν ὡς πτηνὸν γένος.
Ὅταν δὲ κατάρῃ τις ἐκ τῆς Ἀτθίδος,
εἰσὶ προσηνεῖς καὶ φιλέλληνες πάλιν.
Εὐθὺς γὰρ αὐτῷ προσδραμόντες ἀθρόοι,
τείνουσι τὰς πτέρυγας, ὡς χεῖρας φίλοι.
Κἂν οὗτος αὐτοῖς ὡς ἐθὰς προσεγγίσῃ,
στέγουσιν ἁφὴν εὐμενοῦς ἀλλοτρίου.
Οὕτω πτερωτοὺς τοῦ φιλεῖν διδασκάλους
τοῖς ἀπτέροις δίδωσιν ἡ νῆσος ξένοις.

5. DE ARDEIS.

Ardeas insula quædam Græca nutrit;
quæ natura sua generosæ,
quotquot vident illuc venientes barbaros
oderunt et fugiunt ut alatum genus.
Quando autem aliquis appellit ex Attica,
rursus blandi sunt et Græcorum amici.
Statim enim ad eum accurrentes conferti,
alas tendunt, ut amici manus.
Et ubi is ipsis ut familiaris appropinquavit,
sustinent tactum benevoli peregrini.
Sic alatos amoris magistros
implumibus advenis hæc insula dat.

ΠΕΡΙ ΚΟΡΑΚΟΣ.

Διψῆν δὲ τὸν κόρακα φασὶν ἐκτόπως,
θέρους ἐν ἀκμῇ δυστυχῶς πεφρυγμένον,
ὡς καὶ τραγῳδεῖν ἐξ ἀνάγκης τὸν πόνον,
καὶ μαντικὸν τὸ φθέγμα πολλάκις ἔχειν.
Πλὴν τοῦτο πιστὸν, ὡς μελαίνει τὰς τρίχας
κόρακος ὠὸν συντεθὲν τῇ μυρσίνῃ.
Χρὴ γοῦν, βασιλεῦ, τὸν δολοῦντα τὴν κόμην,
μύσαντα τῷ στόματι συνέχειν στέαρ,
μὴ καὶ τὸ λευκὸν τῶν ὀδόντων αὐτίκα
τραπὲν μελανθῇ, τῆς βαφῆς προηγμένης.
Κόραξ δὲ κακῶς τοὺς κακοὺς τόκους τρέφων,
οὓς αὐτὸς ἐξέλεψε τοῦ γένους χάριν,
ὅταν ἐπιστῇ καὶ βραχὺς πείνης χρόνος,
βορὰν ἑαυτὸν ταῖς γοναῖς ἀντεισφέρει.

6. DE CORVO.

Corvum erunt vehementer sitire,
æstatisque ardore summo misere torreri,
ut adeo necessitatis causa mœste canat tormentum suum
et fatidicum cantum sæpe habeat.
Præterea id certum est, quod pilos nigrat
corvi ovum unguento admixtum.
Oportet tamen, rex, qui adulterat comam,
clauso ore teneat adipem,
ne etiam dentium candor statim
mutatus nigrescat, pigmento latius serpente.
Corvus autem male malos pullos pascens,
quos ipse exclusit propaginis causa,
quando vel breve famis tempus ingruit,
pabulum se ipsum liberis contra præbet.

ΠΕΡΙ ΠΕΛΑΡΓΩΝ.

Ἀλλ' οἱ πελαργοὶ τοὺς ἑαυτῶν φιλτάτους
ἐν ἀφθόνοις τρέφουσι ταῖς χορηγίαις
καθὼς ἐρωδιοί τε καὶ πελεκάνες.
Οἱ φίλτατοι δὲ τοὺς γονεῖς μετὰ χρόνον
ἀντιτρέφουσιν αὖθις, ὡς εὐεργέτας.
Τροφὴν δὲ τὴν χθὲς ἀνειμοῦσι τήμερον,
πρόσφατον οὐκ ἔχοντες, εἰ τύχοι, τρύφος·
καὶ δευτέραν τράπεζαν ἐξερασμάτων
ἡ φύσις αὐτοῖς ἐξ ἀνάγκης ἀρτύει.

7. DE CICONIIS.

Verum ciconiæ carissimos suos *pullos*
abundantibus nutriunt alimentis,
sicut ardeæ et pelecani.
Carissimi autem *pulli* parentes postea
vicissim alunt, ut beneficos.
Victum vero hesternum vomunt hodie,
novum non habentes, si ita accidit, frustum;
ac secundam mensam vomitionum
natura illis necessitatis causa struit.

ΠΕΡΙ ΤΑΩΝΟΣ.

Πτεροῖς ὁ ταὼς γαυριῶν πολυχρόοις,
λοξῶς ἀνακλᾷ καὶ σοβεῖ τὸν αὐχένα·
καὶ τοὺς θεατὰς ἐκφοβῶν ἀκινδύνως,
κτυπεῖ μεταξὺ τοῖς πτεροῖς, ὡς ὁπλίτης,
ὅτε κρεμαστὸν γωρυτὸν φέρων τρέχει.
Καὶ πάλιν αὐτοὺς ἑστιῶν ἐκ τῆς θέας
τὴν κατόπιν πτέρωσιν ὑπανιστάνει·
ἣν σφαιροποιῶν καὶ σοφῶς ἐπικλίνων,
ἀκμὴν θερινῆς φλεγμονῆς ἀποστέγει·
καὶ πνεῦμα λεπτὸν τοῖς πτεροῖς διαῤῥέον
ἀναψύχει τὸν ὄρνιν ἐξ ὀπισθίου.
Ἀλλ', ὦ βασιλεῦ, μὴ παρέλθῃς τὴν θέαν.
Λειμὼν γάρ ἐστιν ἡ γραφὴ τῶν ἀνθέων,
χρυσὸς δὲ λεπτὸς ἐγχεθεὶς τῇ πορφύρᾳ,
σμάραγδον ἁγνὸν ἐμφυτεύει τῇ κράσει,
καὶ σύνθετον φῶς, καὶ πτερωτὴν αἰθρίαν,
ἐκ τῶν φυσικῶν μειδιῶσαν ἀκτίνων.
Τοῖς δὲ πτεροῖς καί τινας ἀθρήσεις τύπους
εἰς ὀμμάτων μίμησιν ἐκπεπταμένων·
οἷς κλέπτεται τὸ χρῶμα τῆς ποικιλίας,
κινοῦν ἑαυτὸ πρὸς λαβὰς ἐνδαλμάτων.
Συστέλλεται δὲ καὶ κατασπᾷ τὸν τύφον,
ὁρῶν δυσειδεῖς ἐκ ῥυτίδων τοὺς πόδας,
ταὼς ὁ θερμὸς καὶ θρασὺς ὄρνις τέως.
Αἰσθάνεται δὲ τῆς τιμῆς καὶ τῶν κρότων,
οὓς ἄν τις αὐτῷ προσφυῶς διαπλέκοι.
Ἔτους δὲ συντίθησι τὴν ὥραν τρίτου
τῇ καταμικρὸν τῶν πτερῶν καταστάσει.

8. DE PAVONE.

Pennis multicoloribus superbiens pavo
oblique torquet et concutit cervicem;
et spectantes exterrens sine periculo,
crepat interea alis, ut miles armatus,
ubi suspensam pharetram ferens currit.
Et denuo eos invitans post hoc spectaculum,
posticas pennas erigit,
quas in gyrum agens et prudenter reflectens
æstivi fervoris vim depellit:
ac lenis aura pennas perflans
avem a tergo refrigerat.
Verum, o rex, ne prætereas hoc spectaculum.
Pratum enim est illa pictura florum,
aurumque tenue infusum purpuræ
smaragdum purum mixturâ gignit,
et compositam lucem, et pennatum æthera
ex naturalibus radiis subridentem.
In pennis vero etiam videbis imagines quasdam
ad imitationem oculorum patentium;
a quibus arripitur color varietatis,
movens se ad prehensiones imaginum.
At animum demittit et comprimit superbiam,
pedes spectans rugis deformes,
pavo, fervida audaxque avis eatenus.
Intelligit autem laudem ac plausus
quos quis ipsi convenienter composuerit.
Tertio autem anno pulchritudinem suam colligit
pennis sensim accrescentibus.

—

ΠΕΡΙ ΠΕΛΕΚΑΝΟΣ.

Κόγχην πελεκὰν ἐμβαλὼν τοῖς ἐγκάτοις,
καὶ πάλιν αὐτὴν ἐξενεγκὼν, ὀστράκοις
τὸ σαρκίον βέβρωκε λῃφθὲν εὐστόχως.
Τοῦ γὰρ τόνου θλάπασα τὰς κλεῖς ἡ ζέσις
ἔλυσεν, ἃς ἔσφιγξεν ἡ κόγχη, πτύχας.
Ἐρωδιῷ δὲ κατὰ παντὸς ὀστρέου
τοῦτ' ἔργον ἐστὶ, συντελοῦν εἰς τὸν βίον.

9. DE PELECANO.

Concha pelecanus visceribus immissa
iterumque ejecta ea, ex testis
dextre sumptam carnem comedit.
Nervi enim clavibus fractis concoctio
plicas solvit, quas concha constrinxit.
Ardeæ autem in omnes ostreas
id negotii est, conferens ad victum.

—

ΠΕΡΙ ΚΥΚΝΟΥ.

Κύκνος θανατῶν ἐμμελεῖς φθόγγους πλέκει,
καὶ τῆς τελευτῆς δεξιοῦται τὸν χρόνον,
τοῦ ζῆν τὸ θανεῖν ἀσφαλέστερον κρίνων.
Ἀνίσταται γὰρ τῶν πτερῶν ἡ πυκνότης,
νευρῶν τάσιν ἔντεχνον ἐκμιμουμένη·
καὶ πλῆκτρον εὐθὺς ὁ ζέφυρος γίνεται.
Καὶ τῷ φυσικῷ τοῦ τραχήλου βαρβίτῳ
κινεῖ τὸν εἱρμὸν τῶν μελῶν ὁ τεχνίτης
πανηγυριστὴς εὑρεθεὶς τῆς ἐξόδου.

10. DE CYGNO.

Cygnus moriturus suaves cantus serit,
et vitæ finis tempus salutat,
mortem vita tutiorem judicans.
Surgit enim pennarum densitas,
chordarum intensionem artificiosam imitans:
ac zephyrus statim fit plectrum.
Et nativo colli barbito
movet modorum seriem artifex,
prædicator inventus exitus vitæ.

Βακχεύεται δὲ ταῖς ἀπίστοις ἐλπίσι,
ποθῶν ἀτεχνῶς τὴν φθορὰν ἐπιτρέχειν.
Ἄνθρωπε φιλόψυχε, τὸν κύκνον βλέπων,
πρὸς τὴν τελευτήν, εἰ φρονεῖς, μὴ στυγνάσῃς

Bacchatur autem incerta spe,
plane cupiens in interitum incurrere.
Homo vitæ amans, cygnum adspiciens,
ad finem vitæ, si sapis, ne mœreas.

—

ΠΕΡΙ ΓΕΡΑΝΩΝ.

Τίς τὴν στρατιὰν τῶν γεράνων ὁπλίσας
θεσμοῖς φυσικοῖς, καὶ πτεροῖς ὀξυδρόμοις,
ἐπὶ τὰ κατ' Αἴγυπτον ἐξάγει μέρη,
τὸ τοῦ ψύχους φεύγουσαν εὐτέχνως βέλος;
ὃ κρύπτεται μὲν ὡς φαρέτρᾳ, τῇ Θράκῃ,
λυμαίνεται δὲ τὴν ὑπόπτερον φύσιν,
ὑπαιθρίοις πνεύμασιν ἐστομωμένον.
Τίς ἔρμα ποιεῖ ταῖς γεράνοις τὰς λίθους,
ἃς ἐγκαθειργνύουσι τοῖς παρισθμίοις,
πρὸς τὰς ὑπὲρ γῆς ἐμβολὰς τῶν πνευμάτων·
Δεδοίκασι γὰρ ἐκ τροπῆς ἀταξίαν,
ὅταν ὁ ταρσὸς τῶν πτερῶν τοῖς ὀρνέοις
ἔρημον ἰχνῶν παταγῶν τέμνῃ τρίβον,
εἰς ὁρμαθὸν τρίστοιχον ὀξυγωνίου.
Τίς αὖθις αὐτῶν ἐκδοθείσας τὰς λίθους,
ὅταν ὁ μακρὸς τοῦ πτεροῦ λήξῃ δρόμος,
ποιεῖ κριτικὰς τοῦ χρυσοῦ τοῖς ἐμπόροις;
Ὅταν δὲ καθεύδωσι ῥαστώνης χάριν,
ποίου στρατηγοῦ τακτικοῦ γνοῦσαι νόμους,
εἴργουσι πᾶν ἔξωθεν εἰσπίπτον δέος
σωτῆρσι πιστοῖς καὶ σκοποῖς ἀνεσπέροις;
οὓς τίς πάλιν ἔπεισε παρ' ἄλλοις λίθοις
ἀσκωλιάζειν εἰς ἀκάματον στάσιν;

11. DE GRUIBUS.

Quis exercitum gruum armans
legibus naturalibus, et alis velocibus,
ad Ægypti regiones educit,
sollerter fugientem frigoris telum?
quod quidem reconditum est, tanquam in pharetra, in Thra-
lædit autem volatilem progeniem, [cia,
ventis acuminatum sub divo flantibus.
Quis saburram gruibus facit lapides
quos in tonsillis includunt,
contra ventorum supra terram impetus?
Metuunt enim a tergis versis perturbationem,
quandoquidem his avibus ala expansa
strepens desertam vestigiis viam cædit,
volantibus in ordinem triquetrum *qui est* acutis angulis.
Quis porro harum lapides editos,
quando longus alæ cursus finitus est,
auri judices fecit mercatoribus?
Quando autem dormiunt remissionis causa,
cujus ducis bellicæ artis periti leges edoctæ
propulsant omnem metum foris ingruentem
propugnatoribus fidelibus et speculatoribus exsomnibus?
quas quis porro docuit apud alios lapides
uni pedi inniti ad indefessum statum?

—

ΠΕΡΙ ΠΕΡΔΙΚΩΝ.

Λάγνον τὸ φιλόθηλυ περδίκων γένος·
τὰ γὰρ ἐν ᾠοῖς ὀργανούμενα βρέφη
συγκλῶν ὁ πατὴρ τῇ στροφῇ τῶν ὀστράκων,
κτείνει πρὸ καιροῦ δυσμενῶς καὶ συγχέει·
καὶ τὴν φυσικὴν ὁ φθορεὺς λύει σχέσιν,
ὡς ἂν ἐπ' αὐτῆς εὐθυμῇ τῆς συζύγου,
τὸ μητρικὸν τύρβασμα τιθεὶς ἐκ μέσου.
Εἰσὶ δὲ πολλαὶ φιλότεκνοι μητέρες,
αἳ τοὺς τόκους κλέπτουσι τοῦ γένους χάριν,
καὶ τῶν πτερῶν θάλπουσι τῇ ζέσει κρύφα,
καὶ τοὺς ἑαυτῶν εὐτυχοῦσι φιλτάτους.
Εἰ γὰρ ἐπεκράτησαν οἱ παιδοκτόνοι,
τῶν περδίκων ἔρημος ἦν ἂν ἡ κτίσις.
Εἰσὶ δὲ τινὲς καὶ γλυκεῖς φυτοσπόροι,
οἳ καὶ συνωδίνουσι ταῖς θηλυτέραις,
καὶ συνεπωάζουσιν ἐξ εὐσπλαγχνίας,
καὶ συνδιατρίβουσιν ἐξ ἀπληστίας,
καὶ τοὺς νεοττοὺς ἑστιῶσιν ἀφθόνως,
ἂν τῶν πνιγηρῶν ἐκραγῶσιν ὀστράκων.

12. DE PERDICIBUS.

Libidinosum *est* perdicum mulierosum genus:
fetus enim in ovis qui formantur
pater confringens conversione testarum,
infeste necat ante tempus et confundit,
ac naturalem habitum corruptor solvit,
ut in ipsa delectetur conjuge,
matris impedimento ex medio sublato.
Sunt tamen multæ matres liberorum amantes,
quæ fetus subtrahunt generationis causa,
et pennarum calore clam fovent,
et pullos suos feliciter obtinent.
Nam si infanticidæ prævalerent,
perdicum procreatio deserta esset.
Sunt vero etiam quidam genitores mites,
qui et in parturitione feminas adjuvant,
et cum eis ovis incubant ex animo bene nato,
et cum eis commorantur ex amore inexplebili,
et pullos abundanter pascunt,
quando ex angustis putaminibus eruperunt.

(50) Ἔτι δὲ καὶ πτήσσοντας ὡς μικροψύχους,
εἴ τις ὅλως θόρυβος αὐτοῖς ἐμπέσῃ,
καὶ τῷ ψύχει κάμνοντας, ὡς βραχυπτέρους,
ἁπλοῦντες εὐθὺς τὴν κατάπτερον στέγην,
σφίγγουσι καὶ θάλπουσιν ὡς ἐρασμίους.
(55) Κἂν ὀρνιθευτὴς ἐκταράξῃ τὰ βρέφη,
τέχνῃ σοφῇ νικῶσιν οἱ φυτοσπόροι,
τῶν μητέρων τὸ φίλτρον ἐκμιμούμενοι.
Χαλῶσι μὲν γὰρ τὸ πτερὸν παραυτίκα,
εἰλούμενοι δὲ παρὰ τοὺς τούτου πόδας,
(60) δοκοῦσι μικροῦ συμπατεῖσθαι ταῖς τρίβοις,
καὶ τὴν φυγὴν κλέπτουσι τῶν ζητουμένων,
τοὺς ἀπατηλοὺς ἐξελίττοντες δρόμους·
καὶ τοὺς ἀπαγεῖς οὐκ ἐῶσι φιλτάτους
εἰς χεῖρας ἐχθροῦ συμπεσεῖν, ὡς ἀπτέρους.
(65) Ὁ γὰρ ἐφιστὰς εἰς κενὸν τὰς ἐλπίδας,
ἀφεὶς τὰ μικρὰ, πρὸς τὰ μείζονα τρέχει.
Μόλις γε μὴν φεύγουσι τὴν τυραννίδα,
μᾶλλον δὲ τὴν ὕποπτον ἐντεῦθεν βλάβην.
Μετὰ δὲ μικρὸν, ἐν καλῷ στάντες τόπου,
(70) τὰ στικτὰ συλλέγουσι μακρόθεν βρέφη
τῇ τῶν ἐφολκῶν μουσικῇ προσφθεγμάτων.
Καὶ τὴν καλιὰν τὴν καλουμένην ἅλω,
πέρδιξ, βασιλεῦ, ταῖς γοναῖς διαπλέκει,
θαυμάσιόν τι χρῆμα, καὶ τέχνης γέμον.
(75) Ξύλοις γὰρ αὐτὴν μαλθακοῖς ὁφαρμόσας,
θάλαμον ἀπέφηνε μικροῦ τὴν στέγην·
κἀνταῦθα λαβὼν ἐγκαθίζει τοὺς τόκους·
οἷς καὶ κόνιν μᾶλισσα λεπτὴν ἐγχέων,
τῆς φύσεως τὸ κάλλος ἀναφαιδρύνει.
(80) Καὶ γῆν παραθεὶς πορφυρὰν πρὸ τοῦ τρύφους,
ὡς ἡ πελειὰς ἁλμυρίδα τοῖς τόκοις,
τοὺς κακοσίτους εὐσίτους εἰργάσατο.
Πλὴν οὐκ ἀναμένουσι τὰς λοχευτρίας
πρὸς τὴν ποθεινὴν ἐκγλυφὴν τὰ νήπια,
(85) ἀλλὰ περιῤῥήσσουσι τὴν ἔξω σκέπην
ἐν τοῖς ὑποκρούμασι τῶν σφαδασμάτων
Ἐπείγεται γὰρ ἐκδραμεῖν πρὸ τοῦ χρόνου,
καὶ μικρὸν ἐκκύπτοντα κινεῖται πλέον·
καὶ θρύπτεται μὲν εὐχερῶς τὸ θριγγίον,
(90) ἐξίπταται δὲ, καὶ βαδίζει, καὶ τρέχει
ἰσχνῶς τὰ λεπτὰ κακκαβάζοντα βρέφη.
Τῶν θήλεων δὲ μὴ παρόντων εἰς γάμον,
χωρεῖ πρὸς ὀργὴν ὁ στρατὸς τῶν ἀῤῥένων·
ἐμφύλιον δὲ συγκροτήσαντες μάχην,
(95) οὕτως ἐνυβρίζουσι τοῖς νικωμένοις.
Ἐν ἡμέραις δέ φασιν ἑπτὰ μὲν κύειν,
καὶ τοὺς νεοττοὺς ἐν τοσαύταις ἐξάγειν,
καὶ πάλιν αὐτοὺς ἐν τοσαύταις ἐκτρέφειν,
καὶ τὴν καλιὰν ἐν τοσαύταις ἐμπλέκειν,
(100) οἱ θηρατικοὶ τὰς γονὰς τῶν περδίκων·
εἶναι δὲ πειθοῦς δεκτικὰς χειροτρόφου,
καὶ ζῆν ἐν εἱρκταῖς, καὶ τρυφᾶν ἀφ' ἑστίας·
οὐ πείθεται δὲ συροπέρδιξ ἐνθάδε.

Adhæc eos et paventes, utpote qui pusillanimes sunt,
si quis denique tumultus ipsis ingruat,
et frigore laborantes, quippe brevibus tectos pennis,
expandentes statim alarum tegmen
amplectuntur et fovent, tanquam delicias.
Quodsi auceps exterret pullos,
arte prudenti *eum* genitores vincunt,
matrum amorem imitantes.
Laxant enim extemplo alas,
et provoluti ante illius pedes
videntur fere calcari una cum semitis;
et fugam eorum qui quæruntur occultant,
fallaces cursus volventes,
nec sinunt carissimos infirmos
in manus inimici incidere, ut implumes.
Ille enim in vanum posita spe,
relictis parvulis, ad majores currit.
Enimvero ægre effugiunt crudelitatem,
aut potius perniciem inde imminentem.
Paulo autem post, in securo loco stantes,
varios maculis pullos e longinquo colligunt
allicientium cantuum musica.
Et nidum, quam aream vocant,
perdix, rex, parvulis struit,
miram quandam rem, et artis plenam.
Lignis enim teneris illo compacto,
thalamum fere reddit hoc tectum;
ibique collocat prehensos pullos,
quibus etiam pulverem tenuissimum inspergens
nativam pulchritudinem nitidiorem reddit.
Ac terram rubram apponens ante cibum,
ut columba muriam pullis suis,
fastidiosos cibi appetentes reddit.
Præterea puerperas non exspectant
parvuli ad desideratam pullationem,
sed circum frangunt externum tegmen
percussionibus palpitationum.
Properant enim excurrere ante tempus,
et paululum prospicientes moventur amplius;
ac facile quidem frangitur murus,
prosiliunt autem, et ingrediuntur et currunt
tenuiter parvi pulli caccabantes.
Feminis autem non præsentibus ad nuptias,
in iram transit masculorum agmen:
domesticam autem ubi commiserunt pugnam,
tum exsultant insolentia contra victos.
Septem vero dies partum gestare,
et pullos totidem post dies excludere,
et porro eos per totidem dies educare,
et nidum totidem diebus construere
sobolem perdicum, aucupes tradunt;
dociles autem esse educationis domesticæ,
et in septis vivere, et opimari de foco:
nec vero syroperdix apud nos mansuefit.

Βραχύτερος γάρ ἐστι καὶ πάντως μέλας
καὶ ζῇ περιττοὺς ἐστιώμενος λίθους.
Τὸ δὲ δριμὺ σκόροδον εἰ πέρδιξ φάγοι,
βιβρώσκεται μὲν παρὰ τοῖς βορωτέροις,
νοσεῖν δὲ ποιεῖ ναυτιῶσαν τὴν φύσιν.
Ἄρρην δὲ πέρδιξ τὴν δμόζυγον βλέπων
ἑστῶσαν ἀγχοῦ τοῦ θεάτρου τῆς μάχης,
ὅταν ἐναθλῇ, συντονώτερος μένει·
αἰσχύνεται γὰρ μὴ κρατῶν, ὡς αὐθάδης.

Brevior enim est et prorsus niger,
et abundantes lapillos comedens vivit.
Sin autem perdix acre allium comedat,
gustatur quidem a voracioribus,
ægrotare autem facit nauseantem naturam.
Masculus vero perdix conjugem conspiciens
stantem prope spectaculum pugnæ,
quando certat, majore contentione sustinet;
nam pudet eum non vincere, quippe ambitiosum.

ΠΕΡΙ ΑΛΕΚΤΡΥΟΝΟΣ.

Ἀλεκτρυὼν μέντοι γε νικῶν τὴν μάχην,
σφριγᾷ καθαρῶς, καὶ σοβεῖ, καὶ τέρπεται·
νικώμενος δὲ μετριάζει σωφρόνως,
καὶ ζῇ σιωπῶν εὐαρίθμητον χρόνον.
Νοσεῖ γὰρ εὐθὺς, καὶ θανεῖν θᾶσσον θέλει.
Πύλην δὲ μακρὰν αὐθαδῶς ὑποτρέχων,
αὐτοκράτορ μέγιστε, τὸν λόφον κλίνει·
δοκεῖ γὰρ αὐτὸν, εἰ προσεγγίσει μόνον,
εἰς θραῦσιν ἐλθεῖν, καὶ ῥυῆναι τὸν τύφον.

13. DE GALLINACEO.

Gallinaceus vero victor pugnæ
turget planissime, et superbit, et exsultat;
victus autem, pudenter se continet,
et silens vivit breve tempus.
Ægrotat enim confestim, et ocius mori vult.
Altam vero portam superbe subiens,
Imperator maxime, cristam inclinat;
Opinatur enim hanc, si modo appropinquasset,
fractum iri, et defluxurum sibi fastum.

ΠΕΡΙ ΝΗΤΤΗΣ.

Τίς νῆτταν ἰδὼν, βασιλεῦ, μὴ θαυμάσῃ;
ἣ νήχεται μὲν εἰς ὕδωρ πηδήσασα,
πρὶν τοῦτο μαθεῖν ἐν σχολῇ διδασκάλου·
καταδύνει δὲ καὶ πάλιν ἀναδύνει,
καὶ τὴν κεφαλὴν δαψιλῶς διαβρέχει.
Νηττοκτόνος δὲ κίρκος εἰ ταύτην ἴδοι,
κάτεισιν εὐθὺς ἐκ νεφῶν, ὡς ἁρπάσων
Ἡ δὲ σκέπην τὸ ῥεῖθρον εὑρίσκει ξένην,
καὶ γίνεται μὲν εὐφυὴς βυθοδρόμος,
τὴν ζωτικὴν εἴργουσα τῆς πνοῆς χύσιν·
ἀλλαχόθι δὲ τῆς ῥοῆς ἐκκύψασα,
πάλιν ἐκεῖνον εἶδεν, εἶτα κατέδυ.
Χρόνῳ δὲ τῆς ἐνταῦθα λυθείσης μάχης,
ὁ μὲν πάλιν ἀπῆλθεν, ἡ δὲ νήχεται,
πλουτοῦσα λουτρὸν εὐκραῶν καθαρσίων.
Ἔστι δὲ κίρκος ἄλλος, Αὐσονοκράτορ,
ὃς νῆτταν ἰδὼν, καὶ καταπτὰς ὑψόθεν,
καὶ συγκαταδὺς αὐθαδῶς, ἀπεπνίγη.

14. DE ANATE.

Quis anatem videns, rex, non miretur?
quæ quidem natat in aquam prosiliens,
antequam id didicit in magistri schola;
immergitur autem et iterum emergit,
et caput abunde permadefacit.
Anaticida autem milvus si eam conspiciat,
descendit statim e nubibus, quippe rapturus.
Illa vero novum tectum reperit fluvium,
et optima fit urinatrix,
vitalem spiritus effusionem cohibens;
alibi autem ex flumine prospiciens
iterum illum videt, tum submergitur.
Sed tempore hac ibi lucta finita,
alter quidem recedit, altera natat,
abunde utens lavacro temperatarum lotionum.
Est autem alius milvus, Ausoniæ rex,
qui anate visa, devolans ex alto,
et una se immergens temere, suffocatur.

ΠΕΡΙ ΧΗΝΟΣ.

Ὁ χὴν δὲ θερμὸς καὶ διάπυρος φύσει,
καὶ φιλόλουτρός ἐστιν ἐν ταῖς νήξεσι.
Πόας δὲ καὶ θρίδακας ὑγρὰς ἐσθίων,
ποιεῖ διαῤῥεῖν εὐμαρῶς τὴν γαστέρα.
Καὶ πλὴν ἰατρῶν καὶ διαίτης βιβλίου,
δάφνης τὸ φύλλον οὐδὲ πεινῶν ἂν φάγοι·
φθερεῖ γὰρ αὐτὸν ἡ τροφὴ παραυτίκα.

15. DE ANSERE.

Anser autem calidus et fervidus natura
et lavacrorum amans est in natationibus.
Herbas vero et lactucas humidas edens
facile fluere facit alvum.
Ac sine medicis et diætæ libro
lauri folium, ne esuriens quidem, gustarit;
hoc enim alimentum confestim eum interficiet.

Λίθον δὲ τῷ στόματι μὴ κλάγξῃ στέγων,
ὄντερ καλοῦσι Ταῦρον, ἀμείβει πάγον.
Τοὺς ἀετοὺς γάρ φασι τοὺς χηνοσκόπους,
ἐκεῖσε δεινῶς ἐλλοχᾷν πρὸ τοῦ ψύχους.

Lapidem autem ore occultans, ne clangat,
montem, quem Taurum vocant, transmittit.
Aquilas enim ferunt, anserum speculatrices,
vehementer ibi insidiari ante hiemem.

ΠΕΡΙ ΙΒΕΩΣ.

Ἶβις ἐν ἀκταῖς τὴν τροφὴν παρεκλέγει.
Καὶ πίμπλαται μὲν ἡ στροφὴ τῶν ἐντέρων,
ἐμφράττεται δὲ τὸ στενὸν τῆς ἐξόδου.
Καὶ φρύγεται μὲν τῇ παρὰ φύσιν ζέσει,
λύει δὲ τὴν ἔμφραξιν ἐξ ὀπισθίου,
κλυστῆρα λοξὸν ὀργανοῦσα τὸ στόμα.
Ἅλμην γὰρ ἐγχέασα ῥευστὴν εἰς βάθος,
ἀφῆκεν ὑγρὰς τῆς πυγῆς τὰς ἐκκρίσεις,
καὶ πλὴν ἰατρῶν, καὶ γραῶν, καὶ φαρμάκων,
δύσοιστον ἀπέῤῥιψε κοπρίας βάρος.
Καὶ τῶν Λιβυκῶν ἐμφαγοῦσα σκορπίων,
ἀνεῖλε γοργῶς τοὺς ὑποπτέρους ὄφεις,
ἥκοντας εἰς Αἴγυπτον ἐξ Ἀραβίας.
Αὕτη νεοττεύουσα φοινίκων μέσον,
ὕποπτον ἐκπέφευγεν αἰλούρου θράσος.
Καὶ τῆς σελήνης οὐ παρῆλθε τοὺς δρόμους
μειουμένης, κράτιστε, καὶ πληρουμένης.

16. DE IBI.

Ibis in littoribus cibum conquirit.
Et impletur quidem tortus intestinorum,
obstruuntur autem angustiæ exitus:
et torretur quidem eo qui est præter naturam calore
solvit autem obstructionem a tergo,
clysterem faciens recurvum rostrum.
Salsuginem enim liquidam infundens in profundum,
humidas ani dejectiones emittit,
ac sine medicis et aniculis et medicaminibus
intolerabile stercoris pondus abjicit.
Et Libycis vescens scorpionibus
acriter interimit alatos angues
in Ægyptum venientes ex Arabia.
Hæc fœtans inter palmas
suspectam felis audaciam effugit.
Ac lunæ cursus non negligit
decrescentis, Potentissime, et crescentis.

ΠΕΡΙ ΣΑΛΑΜΑΝΔΡΑΣ.

Τὴν σαλαμάνδραν κἂν ἀὴρ, κἂν γῆ τρέφῃ,
ἐν ὀστέοις γάρ ἐστιν ἰσχνὸν σαρκίον,
καὶ δέρμα λιτὸν, καὶ πτερῶν ἔχει σκέπην,
ἀλλ' οὖν συνιδὼν, Αὐσονάρχα, θαυμάσῃς·
τὸ πῦρ γὰρ αὐτὴν οὐ φοβεῖ τὸ παμφάγον,
ἐφίπταται δὲ, καὶ δώκει τὴν ζέσιν.
Καὶ σβέννυσι μὲν τῆς καμίνου τὴν φλόγα,
κινεῖ δὲ πυκνὴν τοῖς βαναύσοις ἀσβόλην,
ψυχρός τις αὐτοῖς ἀνθρακεὺς δεδειγμένη.
Καὶ ζῇ μεταξὺ τῆς πυρᾶς καὶ τοῦ βρόμου
καὶ σπῶσα καπνοῦ καὶ δριμύτητος πνέει,
τῆς αἰθάλης πρὸς ὕψος ἠρεθισμένης.

17. DE SALAMANDRA.

Salamandram sive aer, sive terra alat,
in ossibus enim est exilis caro,
et pellem tenuem et alarum habet tegmen,
sed conspectam, Ausoniæ rex, miraberis;
ignis enim omnivorus hanc non terret,
involat vero et sequitur ardorem.
Et exstinguit camini flammam,
densamque fuliginem fabris suscitat,
frigidus aliquis carbonarius ipsis facta.
Et vivit inter rogum et fremitum,
et sorbens fumum atque acrimoniam respirat,
favilla sursum excitata.

ΠΕΡΙ ΑΗΔΟΝΟΣ.

Ὅταν ἀηδὼν ἀκροώμενον βλέπῃ,
μελῶν ἀγαθῶν ἐξερεύγεται κτύπους.
Ἀγχίστροφον γὰρ τὴν βοὴν διαπλέκει,
καὶ γαργαλισμοὺς ὀργανοῖ κεκλασμένους
ἐκ τῆς ἐν ἁκμῇ τακερᾶς μουσουργίας.
Καὶ μακρὸν ἂν δήπουθεν εὐφραίνοι χρόνον,
εἰ μή τις αὐτὴν ἐκταράττοι συγχέων.
Ὅταν δὲ γῆν ἄβατον ἀνθρώποις ἴδοι,
τὸν φθόγγον ἁπλοῦν καὶ βραχὺν παραπτύει
Μελῶν δὲ ῥυθμοὺς ἐκδιδάσκει τὰ βρέφη,

18. DE LUSCINIA.

Quando luscinia auscultantem conspicit,
modorum pulchrorum sonos eructat.
Versatilem enim vocem texit,
et titillationes efficit fractas
musica eximie molli.
Et per longum profecto tempus delectet,
nisi quis eam perturbet confundens.
Quando autem terram non tritam hominibus vidit,
vocem simplicem et brevem fundit.
Carminum vero numeros pullos docet,

τὸν πυκνὸν ἐγκόπτουσα τοῦ φθόγγου δρόμον.
Ἀηδόνος δέ πού τις εἰ φάγοι κρέας,
ἄγευστον ὕπνου τὴν φύσιν ἐργάζεται.
Ταύτην κατασχὼν, ἆφες ἐκπτῆναι πάλιν·
(15) οἰχήσεται γὰρ ἐν σιγῇ παραυτίκα,
τὸν ἐκ λύπης θάνατον ἁρμοσαμένη.

crebrum vocis cursum inhibens.
Luscinïæ vero carnem si quis forte edat,
naturam somni expertem reddit.
Hanc captam evolare rursus sinas;
tabescet enim statim in silentio,
mortem præ mœrore sibi struens.

[ΠΕΡΙ ΑΚΑΝΘΙΔΟΣ Η ΑΚΑΝΘΥΛΙΔΟΣ.

Τέρπει δ' ἀκανθὶς ἡ πανεύμορφος μάλα
τοὺς εἰσακούειν ποικιλότραυλα μέλη
ὀρεκτικῶς ἔχοντας ᾠδῶν ὀρνέων.
Μέλπει γὰρ ἡδὺ καὶ λιγύφθογγον μέλος,
(5) ἐπὶ τραχέσι τῶν ἀκανθῶν ἡμένη·
αἷς ἐνδιατρίβουσα τὸν βίου χρόνον,
τροφὴν παρ' αὐτῶν λαμβάνει ὁσημέραι.
Ὅθεν φασὶν (καὶ) τοὔνομ' ἐκ τούτου γ' ἔχειν,
τοῦ τῶν ἀκανθῶν ἐκτρέφεσθαι εἰκότως.
(10) Ταύτης δ' ὁμοῦ τὸ αἷμα καὶ τοῦ ὀρνέου
τοῦ αἰγιθαλοῦ, φησὶν ὁ Σταγειρίτης,
εἴ μέν τις ἀμφω ταῦτα συμμίξαι θέλοι
ἐς ταὐτὸ ἀγγεῖόν τε καὶ ἓν, οὐκ ἴδοι
ὅλως ἑνοῦσθαι ταῦτά γ' εἰς κράσιν μίαν·
(15) ἀλλ' ὄψεται μὲν θάτερον τοῦ θατέρου
χωρὶς θ' ὑπάρχειν καὶ μένειν ἀσυγχύτως,
λόγῳ ἀποῤῥήτῳ τε τῆς πολυτρόπου,
καὶ θαυματουργοῦ φύσεως τῶν πραγμάτων.]

[19. DE CARDUELE.

Carduelis autem formosissima valde delectat
eos qui multisonos modos audire
cantuum avium cupidi sunt.
Cantat enim suavem et acutum modum,
spinis carduorum insidens:
in quibus degens vitæ tempus,
cibum ex ipsis capit quotidie.
Unde dicunt etiam nomen eam ex eo habere,
quod carduis plerumque vescitur.
Hujus autem simul sanguinem et alitis
pari, ait Stagirita,
si quis ambos illos *sanguines* miscere velit
in idem vas et unum, non videat
omnino conjungi eos in unam mixturam:
sed videbit quidem alterum ab altero
sejunctim consistere et separatim manere,
ratione arcana multiplicis
et miraculosæ rerum naturæ.]

ΠΕΡΙ ΧΕΛΙΔΟΝΟΣ.

Ἔχει τι καινὸν ἡ χελιδόνος φύσις.
Εἴ γάρ τις αὐτῆς εὐπραγοῦσι τοῖς τόκοις
φθορεὺς ἀκερδὴς ἐξορύξει τὰς κόρας,
λαβοῦσα σεπτὴν ἡ σοφὴ μήτηρ πόαν,
πρὸς ἣν ἰατρῶν ἀσθενεῖ τέχνη βλέπειν,
αὖθις τὸν ἐσμὸν ὀμματοῖ τῶν φιλτάτων.
Ἃ καὶ κρόκῳ βαφέντα λευκαίνει πάλιν,
πρὸ τῆς πτερωτῆς, Αὐσοναχράτορ, σκέπης,
ἄλλῃ πόᾳ σμήχουσα τὴν ἀμορφίαν.
Πηλοῦ δὲ μὴ παρόντος εἰ κτίζειν θέλοι,
ψεκάσι πυκναῖς τὸ πτερὸν διαβρέχει,
καὶ χοῦν ἐπ' αὐτοῦ συντεθέντα λαμβάνει,
καὶ τὴν καλιὰν ὀργανοῖ πρὸ τῶν τόκων.
Ἐναντίαν δέ φασι τῇ τῶν ὀρνέων,
τὴν μίξιν αὐτῶν εὑρεθῆναι καὶ ξένην.

20 (19). DE HIRUNDINE.

Habet aliquid novi hirundinis natura.
Nam si quis pullis ejus bene habentibus
eversor noxius oculos effoderit,
prudens mater sacram capiens herbam
ad quam medicorum ars spectare non valet,
statim pullorum examen visu remuneratur.
Quos etiam croco tinctos dealbat iterum,
Ausoniæ rex, ante pennarum indutum,
alia herba abstergens deformitatem.
Luto autem non suppetente, si nidificare velit,
guttis crebris pennas madefacit
et limum in ipsis conglomeratum capit,
et nidum fabricat infantibus.
Contrarium autem ferunt avium aliarum coitui
harum coitum inveniri et mirum.

ΠΕΡΙ ΦΑΤΤΩΝ.

Σῶφρον τὸ φαττῶν, Αὐσοναχράτορ, γένος·
ἀλλότριον γάρ ἐστιν ὀθνείου λέχους.
Κἄν τις τὸ σεμνὸν τοῦ γένους ἀτιμάσῃ,
θνήσκει παρευθὺς ὑπὸ τῶν ἀνευθύνων,
αἳ ζῆν μόλις κρίνουσι τὴν μοιχαλίδα.

21 (20). DE PALUMBIBUS.

Castum, Ausoniæ rex, palumbium genus.
Alienum enim est ab adultero toro.
Sin autem quis generis integritatem maculet,
interficitur confestim ab innocentibus,
qui vivere vix sinunt adulteram.

ΠΕΡΙ ΤΡΥΓΟΝΩΝ.

Ὀρχούμενοι δέ τινες ἀπάτης χάριν,
τὰς τρυγόνας θηρῶσιν ἐκ τῶν ᾀσμάτων.
Κηλοῖ γὰρ αὐτὰς ἡδονή τις ἐνθάδε,
κἂν σωφρόνως φεύγωσι τοὺς νόθους γάμους.
Ὥστε σκοπεῖν δεῖ τὰς παρ' ἡμῖν παρθένους
μή τις μελουργὸς πορνικῶν ἐπᾳσμάτων
εἰς ἡδονῆς θήρατρον αἰσχρῶς ἑλκύσῃ.

ΠΕΡΙ ΓΛΑΥΚΟΣ.

Αἰμύλον ἡ γλαυξ ἡ φιλέσπερος φύσει.
Σκοπεῖν γὰρ εἰκὸς τῆς πανούργου τὸν δόλον
Μωκωμένη τὰς ὄρνις ἡμέρας ὅλης,
καὶ ποικίλῃ στρέφουσα μορφῇ τὴν θέαν,
(5) σαίνει τὰ μικρὰ τῶν ὑποπτέρων γένη;
ἃ καὶ παραμένοντα μέχρις ἑσπέρας,
ὅταν ἔχῃ τὴν ὄψιν ἀσφαλεστέραν,
τῆς νυκτερινῆς εἰσρυείσης ἰκμάδος,
θηρᾷ παρευθὺς, καὶ τρυφᾷ χωρὶς πόνων,
(10) τὸν μισθὸν ἀπέχουσα τῶν ἀθυρμάτων.

ΠΕΡΙ ΚΟΚΚΥΓΟΣ.

Κόκκυξ παρελθὼν εἰς καλιὰς ὀρνέων,
οἷς ἔστιν αὐτὸς ἐμφερὴς ἐκ τῶν τόκων,
τίκτει μεταξὺ τὰς γονὰς τῶν ὀστράκων·
τῶν γὰρ καλιῶν τὰς κενὰς παρατρέχει.
(5) Καὶ τοὺς περιττοὺς τῶν κυλίνδρων συγκλάσας,
οὓς εὗρεν αὐτοῦ συντεθέντας ὁ πλάνος,
ὡς ἂν ὁμαλῶς ἀντιτάξῃ τοὺς τόκους,
καὶ πᾶσαν αὐτῶν ἐξελὼν ὑποψίαν,
τὰς εἰσαγωγὰς τῆς κλοπῆς μὴ φαυλίσῃ,
(10) κοῦφος λαθὼν ἔξεισι τῶν ἀλλοτρίων.
Τὸ γὰρ πετεινὸν ὡς κρυμῶδες τὴν κράσιν,
νεοττοποιεῖν ἐκ πυρᾶς οὐκ ἰσχύει.
Ὅταν δὲ τὴν ἔκλεψιν ὁ χρόνος δράσῃ,
κόκκυξ ἐπελθὼν συγκομίζει τὰ βρέφη.
(1) Τοιαῦτα φασὶ μηχανᾶσθαι τοῖς τόκοις
καὶ κίγκλον αὐτὸν, ὡς ἀνίσχυρον φύσει.

ΠΕΡΙ ΠΥΡΙΓΟΝΩΝ.

Τὸ πῦρ δὲ γεννῶν τοὺς πυριγόνους τρέφει.
Οἳ κἂν μετ' αὐτὸ, βασιλεῦ, τὸ παμφάγον,
(5) τὸν ἀέρα πνεύσωσι τὸν ζωηφόρον,
θνήσκουσιν εὐθὺς, ἐκ φθορᾶς ἀντιστρόφου.

22 (21). DE TURTURIBUS.

Saltantes autem quidam fraudis causa,
turtures venantur cantibus.
Voluptas enim quædam eos ibi fascinat,
etiamsi caste fugiant illegitimas nuptias.
Quare observare nos oportet virgines nostras,
ne quis cantor meretriciorum carminum
in libidinis rete eas turpiter trahat.

23 (22). DE NOCTUA.

Captiosa est noctua vesperæ amans natura.
Observare enim convenit callidæ dolum.
Illudens avibus totam diem,
et varia specie mutans faciem,
permulcet parva volucrum genera:
quæ etiam commorantia usque ad vesperam,
ipsa quando visum habet certiorem,
nocturno humore ingruente,
venatur statim, et pascitur sine laboribus,
præmium suorum reportans lusuum.

24 (23). DE CUCULO.

Cuculus clam ingressus in nidos avium,
quibus ipse similis est ovorum natura,
edit in mediis ovis ova sua:
vacuos enim nidos prætervolat.
Et *suis additis* numerum excedentia ubi fregit ova,
quæ ibi composita invenerat planus,
ut pari numero exæquet ova,
et omni suspicione illis exempta
furti illationem ne irritam reddat,
levis clam exit ex alienis *nidis*.
Hæc enim avis, utpote frigida temperatura,
fœtus excludere *suo* calore non potest.
Quando autem tempus pullationem perfecit,
cuculus accedens pullos suos abducit.
Talia dicunt machinari fœtibus
etiam cinclum ipsum, quippe infirmum natura.

25 (24). DE PYRIGONIS.

Ignis autem pyrigonos gignit et alit.
Qui adeo, rex, si post hunc omnivorum,
aerem spiritu ducant vitalem,
confestim moriuntur, interitu inverso.

ΠΕΡΙ ΤΕΤΤΙΓΩΝ.

Τοὺς ἄῤῥενας δὲ τῆς γονῆς τῶν τεττίγων
ποιεῖ φιλῳδοὺς ἡ μαγὰς τῆς ἰξύος.
Οἳ νυκτερινῆς ἐμφορούμενοι δρόσου,
τὸν ῥυθμὸν ἐντείνουσιν εἰς μεσημβρίαν,
ὅταν τὸ θερμὸν τὰς νοτίδας ἁρπάσῃ,
καὶ τοὺς ἀγωγοὺς τῶν μελῶν ἐξικμάσῃ.
Θῆλυς δὲ σιγῶν εὐπρεποῦς νύμφης τρόπον,
καὶ τῶν γυναικῶν σωφρονίζει τὰς λάλους,
αἰδοῦς νόμων ἄῤῥητον ὠδίνων μέλος.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΘΡΑΚΩΝ ΘΗΡΑΣ ΚΑΙ ΤΩΝ ΚΝΩΔΑΛΩΝ.

Πολυπλόκους τείναντες ἐς θήραν βρόχους
Θρᾷκες μὲν ἠρεμοῦσιν, ὥστε λανθάνειν·
κίρκοι δὲ συμμαχοῦντες αὐτοῖς ὑψόθεν,
ἐκδειματοῦσι τὰ πτερωτὰ κνώδαλα·
τὰ δὲ πρὸς αὐτοὺς ὑποφεύγει τοὺς βρόχους.
Ἐν ταῖς περιβολαῖς δὲ συνωθουμένους
αἱροῦσι γοργῶς τοὺς φυγάδας ἀθρόους,
καὶ μισθὸν εἰσφέρουσι τοῖς ὑπερμάχοις,
ἐκ τῶν δι' αὐτοὺς εὐχερῶς εἰλημμένων.
Εἰ δ' οὖν, ἀγαθῶν ἐστερήθησαν φίλων,
εἰς δευτέρους ἥκοντες οἱ Θρᾷκες βρόχους.

ΠΕΡΙ ΚΙΝΝΑΜΩΜΟΥ.

Ὄρνις ὁ κιννάμωμος ὠνομασμένος
τὸ κιννάμωμον εὗρεν ἀγνοούμενον,
ὅφ' οὗ καλιὰν ὀργανοῖ τοῖς φιλτάτοις,
μᾶλλον δὲ τοῖς μέλασιν Ἰνδοῖς, αὐτάναξ,
ἁρωματικὴν ἡδονὴν διαπλέκει.

ΠΕΡΙ ΜΕΛΙΣΣΩΝ.

Ἐγὼ δὲ τιμῶν τῶν μελισσῶν τοὺς νόμους
φιλῶ μὲν αὐτῶν, Αὐσονάρχα, τὴν φύσιν,
μισῶ δὲ τοὺς κηφῆνας ὡς νωθεῖς φάγους.
Μέλισσα μὲν γὰρ ἡ φιλεργὸς τεχνίτις
ἕλυσε τὰς πτέρυγας εὐθὺς ἡμέρας
εἰς τὴν ποθεινὴν συλλογὴν τῶν ἀνθέων,
κηφὴν δὲ λαθὼν εἰς τὸ σίμβλον ἐκρύβη·
τέως γε μὴν ἔμεινεν αὐτοῦ που τρέμων,
ὁ κλὼψ ὁ δειλὸς, ὁ θρασὺς θηλυδρίας·
ἐπεὶ δὲ νὺξ ἦν καὶ βαθὺς ἤδη γνόφος,
τὴν μὲν φιλεργὸν ὕπνος εἶλε νήδυμος,
αὐτὸς δὲ τὰς σύριγγας ἐνδὺς ἀτρέμας,
ἥδιστον ἐτρύγησεν ἐκ τούτων μέλι.
Ἡ σύντομος δ' οὖν, καὶ σοφὴ, καὶ τεχνίτις,
τὸν κρυπτὸν ὑπώπτευσεν αὐτίκα δόλον·

26 (25). DE CICADIS.

Mares autem generis cicadarum
cantores facit lyra lumborum.
Qui nocturnum haurientes rorem
rhythmum intendunt usque ad meridiem,
quando calor humores abstulit
et carminum canales exsiccavit.
Femina autem silens modestæ sponsæ more,
etiam mulieres loquaces sapere docet,
pudoris legum tacitum carmen parturiens.

27 (26). DE THRACUM VENATIONE ET DE BELLUIS.

Multinoda tendentes retia ad venationem
Thraces quidem silentium tenent, ut lateant;
circi autem pugnæ socii ipsis ex alto
territant volucres belluas:
hæ vero ad ipsos suffugiunt laqueos.
In retibus autem implicatos
profugos alacriter capiunt frequentes,
et præmium offerunt sociis suis
ex illis horum ope dextre captis.
Sin autem, bonis amicis privati sunt
Thraces ad secundam capturam euntes.

28 (27). DE CINNAMOMO.

Avis quæ cinnamomus vocatur,
cinnamomum invenit ignotum,
quo nidum fabricat carissimis *pullis*
imo potius nigris Indis, Imperator,
fragrantes delicias texit.

29 (28). DE APIBUS.

Ego autem honorans apum leges,
amo quidem earum naturam, Ausoniæ rex,
odi autem fucos, pigros edones.
Nam apis quidem, laboris amans artifex,
solvit alas simul cum aurora
ad desideratam collectionem florum;
fucus autem clam in alvearium se abdit:
aliquantum temporis sane ibi manet tremens,
fur timidus, audax effeminatus;
quando autem nox est et profunda jam caligo,
laboriosam somnus tenet suavis,
ipse autem in cellas secure ingressus
mel dulcissimum ex illis legit.
Parva vero *apis* ac prudens et artifex
occultum dolum statim suspicatur;

καὶ συλλαβοῦσα τῆς τρύγης τὸν ἐργάτην,
ἔμπικρον ἀπέφηνε τὸ βρωθὲν μέλι.
Τοῖς γὰρ πτίλοις παίσασα τῶν μεταφρένων
ἐξεῖλεν αὐτὸν τῆς κλοπῆς τετυμμένον.
Μετὰ δὲ μικρὸν εἰσρυεὶς αὖθις χρόνον,
τὴν ἐσχάτην ἔδωκεν ὁ φθορεὺς δίκην.
Ἐχρῆν γὰρ αὐτὸν, ὡς ὑπόπτερον λύκον,
τοῖς τῶν μελισσῶν ἐμπεσεῖν ἀκοντίοις·
ἢ μᾶλλον ἐχρῆν μὴ πονεῖν εἰθισμένον,
τοῖς τῶν φιλεργῶν ἐκτριβῆναι κεντρίοις.

et deprehenso messis perceptore,
amarum reddit mel comesum.
Alis enim tergi percutiens
a furto avertit illum verberatum.
Post breve autem tempus denuo irruens
extremam pœnam dat corruptor.
Oportebat enim ipsum, ut alatum lupum,
apum aculeis incidere;
aut potius oportebat eum non assuetum ad laborandum
apum laboriosarum aculeis confici.

ΠΕΡΙ ΑΡΓΩΝ ΜΕΛΙΣΣΩΝ.

Ἀργὸν δὲ ταύταις ἄλλο συμβιοῦν γένος
ἐφίπταται μὲν τῇ χλιδῇ τῶν ἀνθέων,
οὐ δύναται δὲ καὶ γλυκὺ πλάττειν μέλι.
Συναίρεται δ' οὖν ἐξ ἀμίσθου φροντίδος
τῇ τῶν φιλεργῶν πανταχῇ περιστάσει.
Ἡ μὲν γὰρ αὐτῶν ὑδραγωγὸς εὑρέθη,
τὸν αὐλὸν ἐντείνασα τοῖς παρισθμίοις,
ὡς ἂν ἐπ' αὐτῆς εὐπραγῶν τῆς παστάδος
ὁ τοῦ γένους ἔξαρχος ἀφθόνως πίνοι·
ἡ δὲ προβομβεῖ, καὶ προπέμπει τὰ στίφη,
καὶ δημαγωγεῖ τακτικῶς ἐν τοῖς πόροις.
ἡ δὲ πρὸ παντὸς εὐμαθοῦς Ἱπποκράτους,
νεκρῶν μελισσῶν ἐκκομίζει φορτία,
μήπως ἔχῃ τὰ σίμβλα τῇ σήψει φθόην.
Ἄλλη δέ τις ἄγρυπνον εἰσφέρει πόνον,
τῇ τῆς φυλακῆς ἀκριβεῖ παραστάσει·
μὴ τὰς φιλεργοὺς ἡσυχαζούσας τέως
λαθών τις ἐχθρὸς εἰσφθαρῇ πρὸς ἑσπέραν,
καὶ τὸν τοσοῦτον ὄλβον αὐτῶν ἁρπάσῃ·
Τίς οὖν, βασιλεῦ, τῆς μελίσσης τὴν φύσιν
προγνωστικὴν ἔδειξεν εἰς ὄμβρων χύσιν;
Ναρκᾷν γὰρ ἂν εἴποι τις, εἰ παρὼν βλέποι,
τὴν πρὶν φιλεργὸν τὸν κρυμὸν σκοπουμένην
ὡς καὶ γεωργοῖς, καὶ νομεῦσιν ἀγρόταις
χειμῶνα δεινὸν ζωγραφεῖν εἰς αἴθριαν
ἐκ τῶν ἀτεχνῶς μαντικῶν πετασμάτων.
Καὶ γὰρ παρ' αὐτὸν ἐγχρονίζει τὸν πόνον,
καὶ μικρὸν ἐκκύψασα τοῦ σίμβλου χρόνον,
ὅταν ὁ καιρὸς τῆς νομῆς ἀναγκάσῃ,
πάλιν θυραυλεῖ συντεμοῦσα τὸν δρόμον.
Ἐξίπταται δὲ ταῖς πνοαῖς ἀντιστρόφως,
ὑπερφέρουσα τινὰ τοῖς ποσὶ λίθον,
ὡς ἔρμα ληφθὲν ἐμβριθῶς πρὸς τὸν πόρον,
μὴ παρασυρῇ ταῖς ῥοπαῖς ἡ λεπτότης.
Ἥκιστα γὰρ ἂν εὐπλοήσοι καὶ σκάφος,
οὗ μηδὲν ἀγώγιμον ἡ πλάστιγξ φέρει.
Καὶ ζῇ μὲν ἁγνὸν ἡ σοφὴ σχεδὸν βίον,
ἄγευστος οὖσα νεκρικῶν σπαραγμάτων.
Ζώου δὲ παντὸς οὐχ ὑποπτήσσει θράσος.
Ὁπλίζεται γὰρ ἀσφαλῶς τῷ κεντρίῳ,

30 (29). DE APIBUS INERTIBUS.

Aliud autem genus iners cum his una vivens
involat quidem splendori florum,
non potest vero etiam fingere dulce mel.
Cura tamen gratuita opitulatur
apum operosarum circumfuso agmini.
Alia enim illarum aquæ gerula invenitur,
canalem intendens glandulis,
ut in ipso thalamo bene habens
generis princeps abunde bibat.
Alia in fronte bombum facit et emittit examina,
et agmen ducit cum arte militari in itineribus.
Alia præ quovis erudito Hippocrate
mortuarum apum onera exportat,
ne alvearia tabem habeant ex putredine.
Alia vero quædam insomnem contribuit laborem,
custodiæ diligenti assiduitate,
ne laboriosas, dum dormiunt,
latens aliquis inimicus incidat de nocte,
et tantas divitias ipsarum rapiat.
Quisnam, rex, apum naturam
præsagam reddidit ad descensum imbrium
Torpere enim dicat aliquis, qui præsens viderit,
apem antea laboriosam, frigus præsentientem;
ut etiam agricolis ac pastoribus rusticis
gravem tempestatem pingat per cœli serenitatem
patefactionibus suis prorsus fatidicis.
Nam *tum* in ipso opere tarda est
et breve tempus progressa ex alveario,
quando pabuli hora coegerit,
rursus domi excubat præcidens cursum.
Evolat autem adversus ventos
portans pedibus lapillum quendam,
tanquam saburram cum pondere sumptam ad navigationem.
ne levitas sua auferatur *ventorum* momentis.
Minime enim etiam scapha bene navigarit,
cujus lanx non fert quod momentum faciat.
Et vivit quidem sapiens sanctam fere vitam,
se abstinens ab esu morticinorum.
At vivi cujuslibet fortitudinem non metuit.
Firmiter enim armatur aculeo

καὶ τῇ φυσικῇ τῆς ψυχῆς εὐτολμίᾳ.
Καὶ φιλόμουσός ἐστιν, ὡς ὄρνις τάχα·
σκιρτήσασαν γὰρ εἰς φυγὴν τὴν ἐργάτιν
ποιεῖ συριγμὸς ἐμμελὴς ὑποστρέφειν.
Θρύψις μὲν οὖν, καὶ μύρα, καὶ χλιδῶν βίος,
οὐδὲν παρ' αὐτῇ, σωφρονεῖ γὰρ ἐκ πόνων.
Ἐνώτιον δὲ καὶ λιθόστρωτον στέφος
ἐν ἱματισμῷ νυμφικῆς εὐκοσμίας,
πτερῶν νικᾷ χρὼς, εἰ κονίσαλον φέροι.
Οὕτως τὸ βιοῦν εὐτελῶς ἐν τοῖς πόνοις
καὶ τῶν γυναικῶν εὐγενίζει τὸν τρόπον·
ἃς τὸ πρὸς ἁβρότητα καὶ θρύψιν βλέπειν
ἄλλως φιλεργοὺς, Αὐσονάρχα, δεικνύει.
Κινεῖ γὰρ αὐτὰς τὸ πτερὸν τῶν ὀμμάτων
εἰς τὴν πονηρὰν ἐκλογὴν τῶν ἀῤῥένων.
Ἐρωτικὸν δέ τινα βομβοῦσι κρότον
ἐκ τῶν μελιχρῶν τῆς βοῆς πετασμάτων,
ὅτε προσιζάνουσιν αὐτοῖς ὡς πόαις,
οἳ καὶ τὸ πικρὸν τῆς ἁμαρτίας μέλι
τρυγῶσιν αἰσχρῶς ἐλλοχῶντες τοὺς γάμους.
Πλήττουσι δ' οὖν τὰ κέντρα τοῦ συνειδότος
κηφῆνας αὐτοὺς τῇ κλοπῇ δεδειγμένους.

et naturali animi audacia.
Ac musicæ amica est, ut fere avis;
nam quæ in fugam se conjecerit operariàm
fistulæ cantus sonorus reverti facit.
Ac mollities quidem, et unguenta, et luxurians vita
nihili *sunt* apud illam, modesta est enim ex laboribus.
Inaurem vero et gemmis constratam coronam
in vestiario mundi nuptialis
alarum vincit color, quando pulverem ferunt.
Ita simpliciter vivere in laboribus,
mulierum etiam illustrat mores:
quas luxuriæ ac voluptatis cura
male amantes laborum reddit, Ausoniæ rex.
Movet enim ipsas ala oculorum
ad pravam virorum optionem.
Atque amatorium quendam bombum faciunt
e vocis mellitis effusionibus,
ubi, tanquam plantis, illis assident,
qui amarum etiam culpæ mel
legunt turpiter insidiantes nuptiis.
Attamen stimuli conscientiæ pungunt
eos, quos furtum convicit esse fucos.

[ΠΕΡΙ ΤΩΝ ΜΕΛΙΣΣΩΝ ΒΑΣΙΛΕΩΣ.]

Πρᾶος δέ τις ἀκεντρος, εὔζωνος, μέγας,
ἐρυθροβαφὴς, εὐστερφὴς, καὶ γεννάδας,
θεσμοῖς φυσικοῖς τὸν στρατὸν διεξάγει.
Κἂν ἀγαναχτῶν πρὸς τὸν ὄχλον ἐκφύγῃ,
ῥινηλατεῖ τὸ σμῆνος αὐτοῦ τὸν δρόμον·
καὶ πάλιν αὐτοῖς εὑρεθεὶς, ὑποστρέφει,
καὶ τὴν πρὸ μικροῦ βλαπτικὴν ἀναρχίαν
λύει παρευθὺς ἐξορίζων τὴν στάσιν.
Αἱ πλάστιδες γοῦν, καὶ τὸ σειρήνων γένος
αἳ τὸ γλυκὺ κτίζουσι τοῖς σίμβλοις μέλι,
τὴν βασιλικὴν ἐξυφαίνουσι στέγην,
ἐπὶ σκοπιᾶς ὀργανοῦσαι τὰς βάσεις.
Περιβόλοις δέ τισι καὶ προαυλίοις
κοσμοῦσιν αὐτὴν ἀσφαλῶς ἡδρασμένην·
ἐν οἷς ἑαυτῆς ἐκδιώκει τοὺς πόνους
ἡ πρεσβυτικὴ πᾶσα τοῦ σμήνους φάλαγξ.
Καὶ πάλιν αὐτὴν ἄλλο κυκλοῖ θριγγίον,
ὃ τὰς ἐν ἀκμῇ καὶ πρὸ τῆς ἥβης ἔχει,
φρουροὺς ἀτεχνῶς τῶν γραῶν δορυφόρων.
Κλίνει δὲ καὶ τὸ κέντρον αἰδοῖ τοῦ κράτους,
ὅταν ἴδῃ μέλισσα τὸν βασιλέα.
Ὅς ἐν μὲν ἀκμῇ τῶν μελῶν καὶ τῶν πτίλων,
ὅταν πετασθῇ, τὰς φυλὰς συνεξάγει·
καὶ γὰρ ὁμαρτεῖ πανταχοῦ τῷ δεσπότῃ
παρεμβολὴ, τηροῦσα τακτικοὺς νόμους·
ἂν δὲ τρυχωθῇ τῇ παρακμῇ τοῦ χρόνου,
καὶ τοῦ πτεροῦ τριβέντος ὀκνῇ τὸν δρόμον,
τὸ σμῆνος εὐθὺς δίφρον ὀξὺ δεικνύει,
δι' οὗ φοράδην ὡς γέρων κομίζεται.

[DE APUM REGE.]

Mitis vero quidam, sine aculeo, bene cinctus, magnus,
rubro colore tinctus, bene coronatus, et generosus,
legibus naturalibus exercitum semper ducit.
Et siquando iratus in multitudinem aufugit,
examen cursum ejus odore indagat;
ac rursum repertus ab ipsis, revertitur,
imperiique absentiam, quæ modo erat, damnosam
confestim terminat, eliminans seditionem.
Jam fabricatrices et sirenum genus,
quæ dulce mel in alveariis condunt,
regium domicilium pertexunt,
in specula fundamenta fingentes.
Mœnibus vero quibusdam ac vestibulis
adornant ipsum firmiter fundatum:
in quibus suos labores persequitur
grandior tota examinis phalanx.
Ac rursus illud alius circumdat murus,
qui eas continet, quæ in juventutis flore et ante pubertatem
custodes plane senum satellitum. [sunt,
Inclinat vero etiam aculeum potestatis reverentia,
quando apis regem videt.
Qui quidem, in vigore membrorum atque alarum
quando evolat, tribus secum educit;
etenim ubique regem comitatur
exercitus, observans militares leges;
sin autem ævi infirmitate extenuatur
et tritis alis retardatur in cursu,
examen sellam agilem statim facit,
qua portatu, utpote senex, vehitur.

Ὅταν δὲ σαλπίσῃ τις ἐκ βασιλέως,
ὡς ἀπὸ συνθήματος ὑπνοῖ τὰ στίφη.
Καὶ κανόνος δέ τινος ἢ τέχνης δίχα
μέλιττα ποιεῖ γραμμικὰς διαπλάσεις.
Ταῖς γὰρ κάτω σύριγξιν ἐστηριγμέναις
ἀνωτέρας πήγνυσιν ἀντισυνθέτους.
Καὶ δημιουργεῖ τὰς ὀπὰς τὰς ἐν μέσῳ
σχήμασιν ἢ λήμμασιν ὀρθογωνίοις.
Φραγμοὺς δὲ λεπτοὺς ἐμβιβάζει τοῖς πόροις,
ὡς ἂν ὁ κηρὸς ἐγχεθεὶς ὑφιζάνῃ,
καὶ συνέχῃ τὸ ῥεῦσαν ἡ πῆξις μέλι.

Quando vero quis e regis *domo* tuba canit,
tanquam ex conventu, agmina consopit,
Verum etiam sine regula ulla aut arte
apis normales structuras facit.
Inferioribus enim cellis firmiter constitutis
superiores æqualiter compositas superstruunt.
Et spatia media ædificat
figuris vel formis æquangulis.
Septa autem tenuia interponit cellulis,
ut cera infusa subsidat,
et coagulatio mel fluens contineat.

ΠΕΡΙ ΤΩΝ ΤΑ ΖΩΑ ΦΘΕΙΡΟΝΤΩΝ.

Ὄφις δὲ καὶ σφὴξ, καὶ χελιδὼν, καὶ φρύνος,
μύρμηξ τε καὶ σὴς, αἰγιθαλὴς καὶ φάλαγξ,
καὶ σαῦρος ὠχρὸς, καὶ φαγεῖν δεινὸς μέροψ,
σμήνει μελισσῶν δυσμενεῖς ὁδοστάται.
Νιφὰς δὲ πυκνὴ, καὶ πνοὴ πεφυρμένη,
δριμύς τε καπνὸς, καὶ νεφῶν ἔτι γνόφος,
σοβοῦσιν αὐτὰς ἐκτροπῇ καὶ συγχύσει.
Κίρκος δὲ, λάρος, γὺψ, τρυγὼν, καὶ κόσσυφος,
σίδην φαγόντες, εὐθὺς ἀπολώλασιν.
Θνήσκει δὲ καὶ κάνθαρος ἐγγίσας μύρῳ·
καὶ ψὰρ φαγὼν σκόροδον, οὐκέτι πνέει.
Καὶ τὸν μελαγκόρυφον ἄγνος ἐκτρίβει·
κορυδαλὸν δὲ τὸ δριμὺ φθείρει νάπυ.
Κέδρου δὲ φύλλον εἰ λαθὼν δή που φάγοι
καλαμοδύτης, οὐ βλέπει τὸν ἥλιον.
Κεῖται δὲ νεκρὰ καὶ πνοῆς ἀλλοτρία,
εἰ τῆς ὑαίνης τὴν χολὴν ἴβις πίοι.
Φθίσις δὲ τοῖς ἔποψι δορκάδων στέαρ.
Τὸν ἀετὸν δὲ τῶν ἐτῶν ὑπεξάγει
βρωθὲν παρ' αὐτοῦ δυστυχῶς τὸ σύμφυτον.
Κόραξ δὲ τὴν εὔζωμον οὐ στέγει πόαν·
καὶ τῶν κορωνῶν τὸν πολὺν τέμνει χρόνον
πτῶμα προληφθὲν εἰς βορὸν λύκου στόμα.
Πίπτει χαραδριὸς δὲ τιτάνου σπάσας·
κτείνει δὲ λιβὰς τὰς γεράνους ἀμπέλου.

31 (30). DE IIS QUÆ ANIMALIA PERDUNT.

Serpens autem, et vespa, et hirundo, et rubeta,
formicaque et tinea, parus et phalangium,
ac viridis lacerta, et merops edacissimus,
apum examini inimici insidiatores.
Nives autem densæ, et ventus turbidus,
acerque fumus, et nubium præterea caligo
fugant illas repulsu ac perturbatione.
Circus vero, larus, vultur, turtur et merula,
malo punico comeso, statim pereunt.
Moritur vero etiam scarabæus unguento propinquans;
et sturnus, allio comeso, non amplius spiritum ducit.
Et atricapillam vitex conficit;
alaudam vero acre sinapi interimit.
Cedri autem folium si forte nescius comederit
calamodytes, non respicit solem.
Jacet etiam mortua spirituque destituta,
si hyænæ fel ibis biberit.
Pernicies autem upupis *est* caprearum adeps.
Aquilam porro annis *vitæ* expellit
symphyton infeliciter ab ipsa devoratum.
Corvus erucam herbam non tolerat;
et cornicibus multum vitæ tempus præcidit
cadaver ante captum in lupi os vorax.
Cadit charadrius gypso vulso;
vitis autem gutta grues interficit.

[ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΖΩΩΝ ΕΝ ΑΛΛΗΛΟΙΣ ΕΧΘΡΑΣ.]

Στυγεῖ μὲν οὖν μύραινα τοὺς πολύποδας·
μεμήνασι δὲ καράβῳ πολύποδες·
ὁ κάραβος δὲ ταῖς μυραίναις ἄχθεται·
καὶ ταῖς χελώναις ἀντίκεινται πέρδικες,
καὶ τοῖς ἐχίνοις οἱ ποταμογείτονες.
Ἔχθος γε μὴν ἔχουσιν αἰθυίαις μέγα
μακροὶ πελαργοὶ, καὶ βραδύπτεροι κρέκες.
Ἐρωδιὸς μισεῖ δὲ τοὺς λευκοὺς λάρους·
κορυδαλὸς δὲ πᾶσαν ἀκανθυλίδα·
καὶ πελεκὰν ὄρτυγα, καὶ πτῶκες κύνας,
τρυγὼν δὲ πύῤῥαν· τῆς δὲ κερδοῦς ἡ φύσις
ἐχῖνον ἐχθρὸν οἶδεν, ὃν χέρσος τρέφει.

[DE ANIMALIUM INTER SE INIMICITIA.]

Atque odit quidem muræna polypos;
sæviunt autem contra locustam polypi;
locusta contra murænis irata est;
et testudinibus perdices adversantur,
et echinis potamogitones.
Profecto magnam inimicitiam habent in mergos
longæ ciconiæ crecesque tardis alis.
Ardea autem odit laros candidos;
alauda porro quamcunque acanthylida;
et pelecanus coturnicem, et lepores canes;
turtur autem pyrrham; vulpis vero natura
echinum, quem terra nutrit, hostem novit.

Πάλιν κορῶναι δυσμενεῖς γλαυκῶν γένει.
Κόραξ δὲ μισεῖ τὴν γονὴν τῶν ἰκτίνων,
πάγρον τε βρένθος, καὶ τρυγὼν πυραλλίδα,
τὴν τρυγόνα χλωρεὺς δὲ, καὶ τοῦτον κόραξ·
δράκων δὲ κύκνον· ἀετὸν δὲ τὸν μέγαν
αἰγυπιὸς δέδοικε· τὸν δὲ, τρωγλίτης.
Κτείνει δὲ βουβαλίδα καὶ ταῦρον λέων,
ὡς Ἰνδὸν ἐλέφαντα πυρίπνους δράκων.
Ὠτὶς δὲ κυνὸς ἁρπαγὴν φυλάσσεται.
Καὶ τοὺς ὄνους αἴγιθος ἐχθροὺς ἂν κρίνοι.
Οἱ μὲν γὰρ ὠγκήσαντο, τοῦ δὲ τοὺς τόκους,
ὅσους ἐν ὠοῖς εὗρεν ἐσπειραμένους,
ἀφῆκε νεκροὺς ἐκπεσόντας ὁ κτύπος.
Ὄφεις δὲ πεφρίκασι κέντρα σκορπίων.
Ἰχνεύμονες δὲ δειματοῦσιν ἀσπίδας,
ἀλέκτορες δὲ τῶν λεόντων τὴν φύσιν,
τούτους δὲ γαλῆ, μυγαλῆ δὲ παρδάλεις.
Πάλιν ἀλώπηξ δυσμενῆ κίρκον κρίνει,
κόρακα ταῦρος, ἵππον ἰχθὺς ἀνθίας,
δελφὶς φάλαιναν, καὶ λάβραξ τὸν κεστρέα·
μύραινα γόγγρον, ἡ δ' ὕαινα πάρδαλιν,
καὶ σκαλαβώτην ὁ φθορεὺς κλὼψ σκορπίος,
νάρκη δὲ τοῦτον, ἀστακὸς πολύποδα.
Λέων δὲ πῦρ δέδοικεν ἐκτόπως τρέμων.
Ἁλίσκεται δ' οὖν εὐχερῶς ὄϊς λύκοις,
ἔποψιν ἡ μέλιττα, καὶ χελιδόσι
τέττιξ φιλῳδὸς, ταῖς δὲ δορκάσιν ὄφις,
καὶ παρδάλει πίθηκος, ὃν μίμον βλέπεις.
Τῆς ἴβεως δὲ τὸ πτερὸν μόνον βλέπων
ἅπας ὄφις δέδοικεν· οὗπερ ἂν θίγοι,
ναρκῶν ὄφις ἐκεῖνος· ἂν δὲ καὶ φάγοι,
τέθνηκε ῥαγεὶς ὁ φθορεὺς τὴν γαστέρα.
Κύων δὲ σιγᾷ, κἂν ὑλακτῆσαι θέλοι,
δαλὸν θεωρῶν ἐκ πυρᾶς φθισιμβρότου.

Porro cornices infestæ noctuarum generi.
Corvus autem odit gentem milvorum,
pagrumque brenthus, et turtur pyralidem,
turturem autem chloreus, et hunc corvus;
draco porro cycnum; aquilam autem magnam
vultur metuit, hunc troglites.
Interficit vero bubalidem taurumque leo,
ut Indicum elephantum ignivomus draco.
Tarda autem canis capturam cavet.
Et asinos ægithus hostes judicaverit.
Illi enim rudunt, hujus autem fœtus,
quotquot in ovis invenit satos,
sonitus ille mortuos ejectos dimittit.
Angues autem scorpiorum aculeos exhorrescunt.
Ichneumones etiam perterrent aspidas,
galli autem leonum naturam,
hos vero mustela, et mus araneus pardales.
Porro vulpes circum sibi inimicum judicarit,
corvum taurus, equum piscis anthias,
delphin balænam, et lupus marinus mugilem;
muræna congrum, at hyæna pardalin,
et stellionem scorpius, corruptor furtivus,
torpedo autem hunc, astacus polypum.
Leo autem ignem timet vehementer tremens.
Jam vero ovis facile capitur a lupis,
ab upupis apis, et ab hirundinibus
cicada canora, et a capreis anguis,
et a pardali simia, quam imitatricem vides.
Ibis autem alam conspiciens tantum
unusquisque anguis horret; quam si attigerit,
torpore anguis ille *moritur;* sin autem adeo comederit,
ventre dirupto moritur pestis.
Canis vero, etiamsi latrare velit, tacet
conspiciens torrem ex rogo mortifero.

ΠΕΡΙ ΤΩΝ ΑΛΕΞΗΤΗΡΙΩΝ ΕΙΣ ΤΑΣ ΒΑΣΚΑΝΙΑΣ.

Ἀνθίσταται δὲ πρὸς τὸ βάσκανον πάθος
δάφνην φαγοῦσα φάττα, κίρκος πικρίδα,
πέρδιξ καλάμου, κίχλα μυρσίνης κόμην,
ἐρωδιὸς καρκῖνον, ἄγρωστιν ἔποψ',
φύλλα δρυὸς κόρυδος, ἴκτινος θρύον,
ῥάμνον κορώνη, κίρκος ἀνθοῦντα κρόκον,
ἄγνον κόραξ ἔγκαρπον, ἡ τρυγὼν ἶριν.
Λίνον δὲ ταὼς τοῖς πτεροῖς βύσας φέρει,
ἅρπη δὲ κιττὸν, καὶ πελαργὸς πλάτανον·
ᾧ μᾶλλόν ἐστι δυσμενὴς ἡ νυκτάλωψ·
καὶ γὰρ ἐν ὠοῖς τὴν σπορὰν πεπηγμένην
ποιεῖ διαῤῥεῖν, κἂν πτεροῖς ἄκροις θίγοι·
ἡ πλάτανος δὲ τὴν φιλέσπερον πάλιν
εἴργει πρὸ καιροῦ προσπελάζειν τοῖς τόκοις·
ναρκᾷ γὰρ εὐθὺς ἐμπεσοῦσα τῷ κλάδῳ.
Φθορᾶς δὲ τηρεῖ τὰς γονὰς ὑπερτέρας

DE REMEDIIS CONTRA FASCINATIONES.

Resistit vero fascinationis malo
laurum comedens palumbes, circus cichorium
perdix arundinis, turdus myrti comam,
ardea cancrum, gramen upupa,
quercus folia alauda cristata, milvus juncum,
rhamnum cornix, circus florentem crocum,
viticem fructiferam corvus, turtur irim.
Linum autem pennis infarctum pavo fert,
harpe vero hederam, et ciconia platanum;
cui magis inimicus est vespertilio:
etenim fœturam in ovis conditam
effluere facit, si vel extremis pennis contingat;
platanus autem vesperæ amicum contra
ante tempus prohibet ad fœtus appropinquare:
torpet enim confestim ramo incidens.
Contra perniciem pullos præstantiores tuetur

εἰς τὴν καλιὰν ἀετὸς κρύψας λίθον,
ὡς ἡ χελιδὼν τοῦ σελίνου τὴν κόμην.
(90) Ἐξάψασα δὲ τοῦ τραχήλου τὸν λίθον
740 κύουσα γυνὴ κερδανεῖ ζῶν τὸ βρέφος.

ΠΕΡΙ ΜΥΙΑΣ.

Μυῖαν δὲ λαβὼν ἐκ ῥοῆς πεπνιγμένην,
καὶ τέφραν αὐτῆς ἐκ πυρᾶς ὑπερχέας,
τὸν νεκρὸν ὑπόθαλψον αὐγαῖς ἡλίου·
(95) καὶ γὰρ ἀναζῇ, καὶ τροφαῖς ἐπιτρέχει.

ΠΕΡΙ ΦΡΥΝΗΣ.

746 Φρύνην δέ τις, κράτιστε, τὸ ζῶον βλέπων,
κἂν ἡ φύσις ἔγραψεν αὐτὸν ὡς ῥόδον,
καθάπερ ἀλγῶν ὠχριᾷ πλεῖν ἰκτέρου.
Χαραδριῷ δὲ τῷ Γαληνῷ προσβλέπων,
(5) αὖθις νεουργεῖ τοῦ προσώπου τὴν χρόαν.
750 Ἐκτρίβεται γὰρ τῆς βαφῆς ἡ πυκνότης,
ὡς τοῦ νόθου φθίνοντος ἡρέμα κρόκου.
Ὄντοιν δὲ δυοῖν τῇ φρύνῃ τοῖν ἡπάτοιν,
(10) τὸ μὲν φθορὰν ἤνεγκε τοῖς γεγευμένοις,
τὸ δὲ ξένον φάρμακον αὐτοῖς εὑρέθη.
755 [Ἀλλ' εἴ τις αὖ μιν τὴν ἐπάρατον λάβοι
καὶ συνθλάσειεν, ὥς φασι, τρίψας μαλα,
εἶτ' ἀπομάξας, ἐκβάλοι τ' εὐφυέως
ταύτης τὸ αἷμα καὶ δόσειέ τῳ λάθρα
πίνειν ἐν οἴνῳ ἢτ' ἐν ἄλλῳ τῳ πόμα,
760 παρευθὺς ἀπέκτεινε τὸν πεπωκότα.]

[ΠΕΡΙ ΤΟΥ ΟΡΝΙΘΟΣ ΤΟΥ ΚΑΛΟΥΜΕΝΟΥ ΔΙΚΑΙΡΟΥ.]

[Γένος τί φασιν ὀρνέων βραχυτάτων
εἶναι παρ' Ἰνδοῖς· μεῖζον οὐκ ἄν τις λέγοι
πέρδικος ὠοῦ, οὐδ' ἔλαττον αὖ πάλιν·
καί οἱ τὸ χρῶμα οἷάπερ σανδαράκη,
765 ἐν τοῖς πάγοις δὲ τοῖς ὑπερτέροις λίαν,
(6) καὶ ταῖς γε πέτραις, ἃς καλοῦσι λισσάδας,
φιλεῖ νεοττοῖς τὰς καλιὰς ἐμπλέκειν.
Δίκαιρον Ἰνδοὺς αὐτό φασι καλέειν,
Ἕλληνας αὖθις, ὡς ἐγωγ' ἐπυθόμην,
770 δίκαιον αὐδᾶν τῇ γε οἰκείᾳ φράσει.
Τούτου τὸ ἀφόδευμα ὅστις ἂν λάβῃ
(12) ἅπαξ, βασιλεῦ, ὅσσον ἂν κέγχρου βάρος,
πόσεσσι λυθὲν τεχνηέντως ᾗ δέον,
οὐκ εἰς μακρὰν τέθνηκεν αὐτὸς ἡδέως,
775 [ἄνευ πόνου τε καὶ λύπης βροτοκτόνου,
ὡς ἂν ὕπνον νήδυμον εἴη καδεύδων].
(16) Τῷ καὶ φιλοῦσι καὶ σέβονται ἐκτόπως
Ἰνδῶν ἄναχτες, εὐγενεῖς καὶ σατράπαι

aquila lapidem in nido occultans,
sicut hirundo apii comam.
Ex collo vero suspensum portans lapidem illum
mulier gravida vivum consequetur partum.

DE MUSCA.

Musca suffocata ex aqua retracta
et cinere ex ipso foco insperso,
cadaver solis radiis calefacias;
etenim reviviscit et ad pabulum accurrit.

32 (31). DE RUBETA.

Rubetam vero animal adspiciens aliquis, Potentissime,
etiamsi natura ut rosam eum pinxit,
quasi morbo correptus pallescit plus ictero.
Charadrium autem *tanquam* Galenum *medicum* intuens
denuo restituit vultus colorem.
Extergetur enim tincturæ densitas,
tanquam adulterino croco sensim evanescente.
Duobus autem jecoribus rubetæ datis,
alterum interitum affert gustantibus,
alterum mirum medicamen ipsis inventum est.
[Sed si quis detestatam illam capiat
et contundat, ut ferunt, bene co.terens,
tum abstergens, ejiciatque dextre
ex eo sanguinem, et clam præbeat alicui
bibendum in vino vel in alio quo *tanquam* potum,
confestim interficit eum qui biberit.]

[33 (32). DE AVE DICTA DICÆRO.]

[Genus quoddam aiunt avium minimarum
esse apud Indos : majus nemo quis dixerit
perdicis ovo, neque rursum minus;
et illi color *est* qualis sandaraca,
in collibus autem excelsis admodum,
et petris quidem, quas vocant læves,
amat pullis nidos suos contexere.
Dicærum Indos id perhibent vocare,
Græcos rursus, ut ego audivi,
Dicæum appellare domestica dictione.
Hujus stercus quicumque ceperit
semel, o rex, quantum est milii pondus,
potione dissolutum sollerter ut oportet,
non diu post moritur ille suaviter,
[sine tormento ac mœrore mortifero,
ac si somnum dulcem dormiret].
Quare et amant et venerantur mirum in modum
Indorum reges *illud*, nobiles et satrapæ

Περσῶν τε Μήδων θ', ὡς κακῶν ἀνιάτων
πεφυκὸς ἀντίπαλον οἰκτίστου βίου.
Εἰ γὰρ ἀνάγκη τῷ θανεῖν τούτων βίᾳ,
εὖ γ' ἀπολύει τοῦ βίου ἄνευ λύπης.
Τῷ καί τιν' ἄλλον οὐκ ἔνεστι κατέχειν,
εἰ μὴ βασιλεῖς, τοῦτό γ' ἐν κειμηλίοις,
ὅπως ὅταν δεῖ, ἄν γε βούλωνται ῥᾷον
ταύτης λυθῆναι τῆς βίου συμφυΐας,
ἔχωσιν αὐτὸ ὡς ὑπουργὸν τοῦ πάθους.]

Persarumque Medorumque, ut malorum miseribilium
vitæ miserrim natura sua adversarium.
Si enim necessitas alicui horum *est* moriendi violenter
pulchre discedit e vita sine dolore.
Quare et ullum alium non licet habere
nisi reges, id quidem in thesauris,
ut quando opus est, si velint facilius
solvi ex hoc vitæ vinculo,
habeant id tanquam ministrum rei patiendæ.]

ΠΕΡΙ ΛΕΟΝΤΟΣ.

Θηρῶν βασιλεὺς ὁ θρασὺς ἄναξ λέων,
ᾧ τὴν φυσικὴν μαρτυρεῖ μοναρχίαν
καὶ στέρνα, καὶ γόνατα, καὶ σφυρῶν βάσεις,
καὶ βλέμμα, καὶ θριξ, καὶ κατάφρακτον στόμα,
ῥώμη τε πλευρῶν, καὶ βέβηκὸς ἰσχίον,
καὶ νεῦρα πυκνὰ, καὶ ποδῶν μέγας ὄνυξ,
καὶ βῆμα, καὶ σκίρτημα, καὶ δρόμου τάχος.
Αὐχὴν δὲ παγεὶς ἐξ ἀνάρθρων ὀστέων,
πρὸς τὰς ἀγωγὰς τῶν σκελῶν οὐ κάμπτεται·
συνέλκεται γὰρ τῇ στροφῇ τῶν ἁλμάτων,
εἰ κατὰ θηρῶν γαυριῶν ἐπιτρέχει.
Καὶ κοῖλον ὀστοῦν οὐκ ἔχει τὸ θηρίον.
Ῥοφεῖ δὲ νεβρὸν εὐχερῶς ὅλον βρύχον·
ἀδδηφάγον γάρ ἐστι, κἂν ἧττον πίνοι·
καὶ θυμοειδὲς, εἰ λιμός ποτε θλίβοι.
Ἐθὰς δὲ μικροῦ τοῖς παροῦσιν εὑρέθη,
τροφῆς κορεσθεὶς δαψιλοῦς ὁ γεννάδας.
Ὅταν δὲ γηρᾷ καὶ τροφῆς χρείαν ἔχῃ,
ἐπεὶ τὸ θαρρεῖν εἰς τὸ θηρᾶν οὐκ ἔχει,
φοιτᾷ πρὸς ἀγροὺς καὶ νομὰς ἐναυλίους.

34 (33). DE LEONE.

Ferarum rex *est* audax dominus leo,
cui innatum imperium testantur
et pectus, et genua, et malleolorum fulcra,
et vultus, et juba, et armatum os,
roburque laterum, et firmus lumbus,
et nervi spissi, et pedum magnus unguis,
et gressus, et saltus, et cursus velocitas.
Cervix autem ex ossibus inarticulatis compacta,
ad crurum motus non inflectitur:
una enim trahitur cum saltuum flexu,
si in feras superbiens irruit.
Nec cavum os hæc fera habet.
Deglutit vero frendens facile hinnulum totum,
edacissima enim est, etiamsi minus bibat;
ac sæva, si forte fames eam opprimat.
Mansuetus autem propemodum erga præsentes invenitur
generosus ille, quando satiatus est copioso cibo.
Quando vero senescit, cibique inopiam habet,
quia strenuitatem ad venandum non habet,
accedit ad pascua et pastus in stabulis.

[ΠΕΡΙ ΛΕΑΙΝΗΣ.]

Λέαινα δὲ, κράτιστε, πεντάκις κύει·
καὶ πέντε μὲν τὸ πρῶτον, εἶτα δὶς δύο,
καὶ τρεῖς ἐφεξῆς, τῷ τετάρτῳ δ' αὖ δύο,
καὶ σκύμνον ἁπλοῦν εἰς τὸ πέμπτον ἐξάγει.
Καὶ τίθεται κλεὶς τῆς γονῆς ταῖς ἐξόδοις,
τῆς φύσεως τὸν ἕκτον εἰργούσης τόκον.
Δυοῖν δὲ μηνῶν τὰ βρέφη προέρχεται,
σκύλαξι τυφλοῖς ἐμφερῆ καὶ μετρίοις,
καὶ λευκὸν ἐμπίπτοντα μαστεύει γάλα·
δυοῖν δὲ μηνῶν καὶ βαδίζει, καὶ τρέχει,
καὶ τὴν γεννικὴν ἀρετὴν προδεικνύει.

[35 (34). DE LEÆNA.]

Leæna vero, Potentissime, quinquies concipit:
et quinque quidem primum, tum bis duos,
et tres deinde, quartum vero duos,
et catulum singulum quintum edit.
Et pessulus partus exitibus obditur,
natura sextum partum impediente.
Duobus autem mensibus fœtus proveniunt,
canum catulis cæcis ac modicis similes,
et irruentes album lac quærunt.
Post duos vero etiam menses et ambulant, et *currunt*,
et generosam virtutem produnt.

[ΠΕΡΙ ΝΑΡΚΗΣ.]

Ναρκᾷ μὲν οὖν ἄνθρωπος οὐκ ὄντος ψύχους,
νάρκην τὸν ἰχθῦν εἴπερ εἰς χεῖρας λάβοι.

[36 (35). DE TORPEDINE.]

Torpet quidem homo, quamvis frigus nullum sit;
si torpedinem piscem in manus capiat.

Καὶ πήγνυται ναῦς ἐντυχοῦσα ναυκράτῃ·
καὶ ῥοῦς θαλασσῶν, ἁλκυὼν εἴπερ τέκοι.
Ἵππον δὲ ταχὺν ἴχνος ἀμβλύνει λύκου,
καὶ δίφρον ὀξὺν τὸ σφυρὸν τούτου στρέφει.
Σκίλλης δὲ φύλλοις ἀνθυποκλάζει λύκος.
Λέων δὲ χαυνοῖ τοῦ δρόμου τὸ σύντονον,
ὦ θαῦμα καινὸν, τοῖς πετήλοις τοῦ πρίνου·
ζώων δὲ πᾶν πόρρωθεν ἐκφοβῶν γένος
αὐτὸς τὸ πῦρ δέδοικεν ὡς φύσει ζέων.
Κλοπῆς δὲ τηρεῖ τὰς γονὰς ἐλευθέρας
τῷ καταγωγὰς εὐτυχεῖν ἀποκρύφους.
Προέρχεται γὰρ ἐξαμείβων τὰς τρίβους
ὑπὸ τροχιαῖς καὶ στροφαῖς πεφυρμέναις,
καὶ δρῶν ἀσαφεῖς τῶν ποδῶν τὰς ἐμβάσεις
κέρκου σπαραγμοῖς ἐκ τριχῶν ἐσταλμένης,
ἣν οἶδε κινεῖν οὐ πρὸ τῆς μάχης μόνον,
τὸ θυμοειδὲς τῆς ψυχῆς παροξύνων
ἐκ τῶν κατὰ βούλησιν ἐν χρῷ μαστίγων,
ἀλλὰ τὸ καινότατον, Αὐσονοκράτορ,
εἴ καί τις αὐτὸν ὕπνος ἐκ πόνου λάβοι·
καὶ γὰρ βασιλεὺς εὑρεθεὶς θηροκράτωρ,
καὶ τοῦ καθεύδειν ὑπερόπτης γίνεται.
Θηρῶν δὲ καὶ σπῶν τῶν κρεῶν τῶν προσφάτων,
ὅταν κορεσθῇ τῆς τροφῆς τῆς ἀφθόνου,
ἐᾷ τὰ λοιπὰ νεκρικῶς ἐψυγμένα,
καὶ πνεῖ τι δεινὸν ἐγχανὼν τοῖς λειψάνοις,
καὶ γίνεται τὸ πνεῦμα φυλακὴ ξένη,
δυσωδίας χάρακας ἱδρυσαμένη·
τηρεῖ γὰρ αὐτὰ, κἂν θρασὺς θὴρ ἐγγίσῃ.
Λέων γε μὴν ἕξεισιν εἰς θήραν πάλιν,
καθάπερ εἰς πῦρ τῆς τροφῆς πεπεμμένης·
κἂν μὲν τύχῃ βρώματος ἐξ εὐερμίας,
τὸ χθὲς προληφθὲν εὐγενῶς διαπτύει·
τὸ γὰρ δόωδὸς οὐχ ἑκὼν ἂν τις φάγοι.
Εἰ δ' οὖν, κατ' αὐτῶν εὐδρομεῖ τῶν λειψάνων,
καὶ τὴν πάλαι τράπεζαν εὑρὼν ἐσθίει.
Πιέζεται δὲ τῷ τεταρταίῳ τρόμῳ,
νόσων ὑγιὴς εὑρεθεὶς εἰς τὸν βίον.
Εἰ μὴ γὰρ ἡ φλέγουσα μικροῦ ψυχρότης
ἐπεῖχεν αὐτοῦ τὴν φορὰν καὶ τὸ θράσος,
ὕποπτος ἂν ὅλεθρος ἡμᾶς ἐστρόβει.
Καὶ πᾶν μὲν αὐτὸν ἁρπαγὲν τέρπει κρέας,
εἰ δ' ἐσθίει κάμηλον, εὖγε τῆς τύχης.

Et navis sistitur remoræ incidens,
fluctusque marium, quando halcyon parit.
Equum autem velocem lupi vestigium languefacit,
ejusque calx currum agilem retorquet.
Scillæ autem ad folia lupus in genua concidit.
Leo vero relaxat cursus incitationem
(o novum miraculum!) foliis ilicis.
Animalium autem omne genus exterrens procul
ipse ignem timet ut natura fervens.
A furto autem defendit catulos ingenuos
eo, quod nanciscitur occulta latibula:
progreditur enim commutans semitas
per circuitus et anfractus confusos,
et obscura reddens pedum vestigia
conturbationibus caudæ pilis vestitæ,
quam movere novit non solum ante pugnam,
iracundiam animi exacuens
flagellationibus pro lubitu suo in cute,
sed, quod maxime novum est, Ausonum rex,
etiam, si quis eum somnus ex labore capiat.
Etenim rex inventus ferarum dominator,
soporis etiam contemptor est.
Venans autem et hauriens carnes recentes,
postquam pabulo copioso satiatus est,
sinit reliqua morte refrigerata,
et terribile spirat afflans reliquias,
fitque hic afflatus nova custodia,
fœtoris *tanquam* valles exstruens:
tuetur enim *hæc* illas, etiamsi audax fera appropinquarit.
Leo vero iterum ad venationem proficiscitur
tanquam ad ignem cocto cibo,
ac si casu felici in pabulum incidit,
id, quod heri ceperat, generose despicit;
fœtidum enim nemo lubens ederit.
Sin autem (*infelici venatione*), ad ipsas reliquias illas re-
et priori mensa reperta vescitur. [currit
Laborat autem quartana febri,
a *ceteris* morbis sanus inventus, dum vivit.
Nisi enim illud propemodum fervens frigus
cohiberet ejus violentiam atque audaciam,
haud dubia pernicies nos persequeretur.
Et omnis quidem caro rapta eum oblectat,
sin autem camelum comedit, o casum fortunatum!

[ΠΕΡΙ ΠΑΡΔΑΛΕΩΣ Η ΠΑΝΘΗΡΟΣ.]

[Πανοῦργον ἡ πάρδαλις ἐστὶ θηρίον,
φύσει πονηρὸν, οἷα κερδῶ, τοὺς τρόπους·
πλὴν τοῦτο φασὶν, ὥς τινα εὐοδμίαν
ὄζουσα πανθαύμαστον, ἀῤῥήτῳ λόγῳ
ἅπαντα θέλγει τοῦ δρυμοῦ τὰ θηρία·
συνήδεται γὰρ τῇ πνοῇ ταύτῃ σφόδρα.
Καὶ ταῦτ' ἀγρεύει τόνδε ῥᾷστα τὸν τρόπον·

[37 (36). DE PARDALI VEL PANTHERA.]

[Versutum pardalis est animal,
natura improbum, vulpeculæ moribus simile.
At hoc dicunt, quandam fragrantiam
spirans valde admirabilem, occulta ratione
omnes mulcere silvæ feras:
delectantur enim spiritu hoc valde.
Et has capit *illa* facillime hunc in modum:

τροφῆς ποτε χρήζουσα ἡ ἀδδηφάγος
κρύπτει ἑαυτὴν ἐν λόχμαισι συσκίοις,
ὥστ' ἐντυχεῖν ἐργῶδες αὐτῇ τυγχάνει·
κἀκεῖ λιγυρὸν ἐκπνέουσα τοῦ δόλου,
τὰ δυστυχῆ μὲν ζῶα, αἶγας ἀγρίους,
νεβροὺς, συάγρους, καὶ λαγὼς, καὶ δορκάδας,
καὶ ταῦλ', ὅσα οἱ παρέχει εὐωχίαν,
ἕλκει δι' αὐτοῦ πρός γ' ἑαυτὴν ῥᾳδίως,
καθάπερ αὐταὶ αἱ ἰύγγες τῶν μάγων
τοὺς τλήμονας σύρουσιν ἡδέως νέους
ἐς πῦρ τὸ τοῦ ἔρωτος οὐλοόφρονος·
κἀπειδὰν αὐτῇ προσπελάσσουσιν, ἅφαρ
ἡ θὴρ ἀποθρώσκουσα ἠγριωμένη,
ὡς πειρατής τις, ὡς ἀνὴρ θηροσκόπος,
[ὥσπερ κυνηγέτης τε ἄκρος τὴν τέχνην,]
θηρᾷ μὲν ἤδη καὶ τρυφᾷ χωρὶς πόνου.]

cibi aliquando indigens multivorans haec
occultat sese in dumetis umbrosis,
adeo ut incidere difficile sit in eam
Et ibi suave illud exspirans doli,
infelicia quidem animalia, capras silvestres,
hinnulos, apros, et lepores, et capreas,
et alia, quotquot ei præbent victum,
trahit illo *suavi* facile ad se,
sicuti ipsæ illecebræ magorum
miseros trabunt suaviter juvenes
in ignem amoris animum corrumpentis :
et postquam ad eam appropinquaverint, statim
fera exsiliens efferata,
ut aliquis pirata, ut vir feris insidians,
[ut venator præcellens arte sua,]
capit *ea* protinus et vescitur sine labore.]

ΠΕΡΙ ΚΥΝΟΣ ΙΝΔΙΚΟΥ.

Παντὸς κυνὸς μέγιστος Ἰνδὸς πᾶς κύων,
ὃς οὐδὲ τὸν λέοντα παρόντα τρέμει,
ἀνθίσταται δὲ, καὶ σφριγᾷ πρὸς τὴν μάχην,
καὶ τοῖς βρυχηθμοῖς ἀνθυλακτεῖ συντόνως,
ἐγκείμενον δὲ καρτερεῖ τὸν αὐθάδη·
καὶ δάκνεται μὲν, ἀντιδάκνει δὲ πλέον.
Τέλος δὲ τοῦ τένοντος αὐτὸν ἁρπάσας,
ῥιπτεῖ κατὰ γῆς, καὶ σπαράττει, καὶ θλίβει.
Κἄν τις ἐπελθὼν ἀποκόψῃ τὸ σκέλος
τῷ τὸν μέγαν ἄγχοντι καὶ πρὶν γεννάδαν,
μόλις ὁ νεκρὸς ὑπανήσει τὸ στόμα.

38 (37). DE CANE INDICO.

Omnium canum maximus *est* Indicus quisque *canis*,
qui ne leonem quidem præsentem pertimescit,
sed resistit, et pugnam cupide appetit
et rugitibus cum contentione oblatrat,
urgentemque sustinet superbum;
et mordetur quidem, sed acrius mordet ipse.
Denique vero cervicis musculo arreptum eum
humum prosternit, et raptat et premit.
Et, si quis accedens crus amputarit
ei qui angit ingentem et antea superbum
vix mortuus os relaxabit.

ΠΕΡΙ ΜΑΝΤΙΧΩΡΟΥ.

Ὁ μαντιχώρας θὴρ ἐν Ἰνδοῖς εὑρέθη,
δασὺς, ἐρυθρὸς, εἶδος ἀνθρώπου φέρων,
ὄμματα πυρσοῖς ἐμφερῆ γλαυκοχρόοις,
ὀφρῦς ἱκανὰς ἐκφοβεῖν καὶ μακρόθεν,
ὦτα στεγανὰ, καὶ προμήκη μετρίως,
καὶ σφαιροειδῆ, καὶ ψιλὰ πρὸς τὰς βάσεις,
ὀδόντας ὀξεῖς, δυσθεώρητον στόμα·
τὰ δ' ἄλλα σαφῶς ἐντελὴς ὁ θὴρ λέων.
Μόνην γε μὴν ἔγκεντρον οὐρὰν ἐκφύων,
ἐκηβόλος μέν ἐστι τοξότης φύσει,
ποιεῖ δὲ νεκροὺς ταῖς βολαῖς τοὺς ὁπλίτας,
οἳ τοῦτον ὁρμαῖς ἔλλοχῶσιν ἀσχέτοις.
Κἄν τις ἁπάντων εὑρεθῇ κατὰ στόμα,
γοργῶς ἀνακλῶν τῶν βελῶν τὴν ἐργάτιν,
ὠθεῖ κατ' αὐτοῦ καὶ προβαίνει συντόνως.
Κινούμενον δ' οὖν, ὑπαναφύει πάλιν
καινοὺς ὀϊστοὺς καὶ τομοὺς τὸ θηρίον,
καὶ τῶν διωκτῶν ἐν βραχεῖ κατισχύει.
Ὄντων δὲ πολλῶν τῶν παρ Ἰνδοῖς θηρίων,
καὶ πρὸς τὸ φαγεῖν ἀκρατῶν, καὶ δυσμάχων,

39 (38). DE MANTICHORA.

Mantichoras fera apud Indos invenitur,
hirsutus, ruber, faciem hominis gerens,
oculos facibus similes cæsiis,
supercilia idonea ad terrendum etiam procul,
aures pilosas, et modice prominentes,
et rotundas, et calvas versus bases,
dentes acutos, os injucundo aspectu;
cetera autem hæc fera manifesto perfectus leo est.
Solam licet caudam aculeatam procreans,
procul feriens sagittarius est natura,
et mortuos reddit telis suis milites,
qui violentibus impetibus eum aggrediuntur.
Quodsi quis occurrens a fronte inventus est,
raptim reflectens telorum fabricatricem,
urget eum et alacriter progreditur.
Jam movens sese, denuo procreat
novas acutasque sagittas hæc fera,
atque venatores brevi subigit.
Multis autem exsistentibus feris apud Indos
et vorandi incontinentibus, ac difficilibus domitu,

ἀνθρωποφάγος οὗτος ἐκλήθη μόνος.
Ἰνδὸς δὲ λαβὼν τὸ βρέφος τοῦ θηρίου,
λίθοις διαθλᾷ τὰ πρὸς ἄκρον ἰσχίον,
ὡς ἂν ἀφυὲς πρὸς τὰ κέντρα δεικνύων
ποιῇ τιθασσὸν ἐξ ἀφῆς ἀκινδύνου.

anthropophagus hic solus vocatus est.
Indus autem hujus feræ pullum nactus,
lapidibus contundit partes quæ sunt ad extremum lumbum;
ut ineptum ad creandos aculeos faciens
cicurem reddat tactu innocenti.

[ΠΕΡΙ ΕΛΕΦΑΝΤΟΣ.]

[Μέγιστος ἂρ πέφυκε θὴρ ὑπὲρ φύσιν
ἐλέφας αὐτὸς, ὅς γ' ἰδεῖν τέρας πέλει
πᾶσι βροτοῖσι καὶ πᾶσ' ἄλλοις θηρίοις·
πελώριον γὰρ ἐξόχως δέμας φέρων,
ἔχει τε πάντως καὶ μέλη τεράστια,
τό τ' ἀγριωπὸν καὶ ξένον δ' ὄντως κάρα,
[σὺν τοῖς ὑπερφυέσσιν ὠσί τ' ὄμμασι,]
τούς τε στιβαροὺς καὶ προμήκεις ἐκτόπως
ὀδόντας ἀργοὺς, οἷς ἀναιρεῖ ἐν μάχαις
ταύρους ἀπηνεῖς καὶ λέοντας ἀλκίμους·
τὴν δυσπρόσιτον καὶ μακρὰν προβοσκίδα,
ᾗ τοὺς τυχόντας, χρώμενος χειρὸς δίκην,
τύπτει τ' ἀφειδῶς καὶ ῥέπει κατὰ χθόνα·
τὰ στέρνα δ' εὐρώεντα, μαζοὺς καὶ σκέλη,
ἅγ' ἡ φύσις γ' ἔτευξεν ὀγκώδη μάλα.
Ῥώμην βίαιος, ὥστε καὶ δένδρον μέγα
πρόῤῥιζον ἐξέτεινεν ἐγχρίψας μόνον.
Χαίρει δ' ἀκούων μουσικῶν τε ὀργάνων,
εὔρυθμα βαίνων πρὸς μέλος τῶν ἁσμάτων.
Κ' εἰς μίξιν ὀργῶν, εἴ γε τοίχῳ ἐμπέσοι,
τέως μὲν ἐτρέψατ' ἂν ἰσχύος βίᾳ.
Πλὴν οὐ λάγνως μέν πρός γε τὴν συνουσίαν
τοῦ θήλεος χώρησεν, ἀλλὰ σωφρόνως,
πόῤῥωθι τῶν ἄλλων γε αἰδοῦς οὕνεκα.
Τροφὴ μὲν αὐτοῦ, οἱ κλάδοι τῶν δενδρέων,
κισσοῦ τε φύλλα καὶ κριθὴ κατακόρως·
ὕδωρ δὲ πίνει πλῆθος ἄφθονον πάνυ,
πλὴν εὖ καθαρὸν καὶ διειδὲς οὐ θέλει,
ἀλλ' οὖν ῥυπαρὸν καὶ κατεσπιλωμένον
Αἰσθάνεται μέν θ', ὡς ἔγωγ' ἐπυθόμην,
ὀπὸς βροτείας, καὶ συνῆκε τοὺς λόγους·
καὶ πείθεται γοῦν τοῖς φιλοῦσι δεσπόταις,
ἄγουσιν αὐτὸν ῥᾷστ', ὅπη ἄν τις θέλῃ.
Ὀρθοστάδην δὲ καὶ καθεύδει παννύχως,
ὅτ' οὐκ ἀναστῆσαι μὲν εὐχερῶς πέλει.
Ὅταν δ' ὁ μείζων ἀστέρων φαεσφόρος
ἀνέρχεται κάτωθεν αἰγλήεις ἅλὸς,
ὁ μὲν κατευθὺ τοῦ γε τῆς λαμπηδόνος,
ὡς χεῖρ', ἀνασχὼν τὴν ἁπλὴν προβοσκίδα,
σωτῆρά γ' ὡς μὲν προσκυνεῖ τε καὶ σέβει·
τὴν δ' αὖ σελήνην, ἐκφανεῖσαν μὲν νέαν,
ἀσκαρδαμυκτί τ' εὐσεβῶς τε προσβλέπων,
ὥσπερ θεὰν φέρουσάν οἱ σέλας νέον,
ἤδη γεραίρει τήνδε ἀῤῥήτῳ τρόπῳ.
Τὰ γοῦν λόγου ἄμοιρα τῶν ζώων, ἄναξ,

[40 (39). DE ELEPHANTE.]

[Maxima utique est fera supra modum
elephas ipse, qui aspectu monstrum est
omnibus hominibus et omnibus aliis feris.
Immane enim per excellentiam corpus circumferens,
habet prorsus etiam membra monstrosa,
atrox et insuetum revera caput,
[cum immensis auribus et oculis,]
validosque et protensos mirum in modum
dentes albos, quibus interimit in pugnis
tauros sævos et leones robustos:
accessu difficilem et longam proboscidem,
qua obvios quosque, utens *ea* manus instar,
et vehementer verberat, et sternit in terram:
pectora lata, mammas, et pedes,
quos natura fabricavit crassos valde.
Viribus *est* vehemens, sic ut arborem etiam magnam
radicitus prosternat, incumbens modo.
Gaudet vero audiens musica instrumenta,
modulate incedens ad numerum cantionum.
Et ad venerem incitatus, si in parietem irruat,
tum *eum* everterit facile roboris vi.
Verum non lascive quidem ad consuetudinem
cum femina accedit, sed modeste,
procul ab aliis, pudoris causa.
Pabulum quidem ejus *sunt* rami arborum,
hederæque folia, et hordeum abunde:
aquam vero bibit copia larga valde;
sed limpidam et pellucidam non vult,
verum sordidam et turbatam.
Intelligit etiam, ut ego audivi,
vocem humanam, percipitque sermones:
et paret quidem amantibus heris,
ducentibus eum facillime, quo quis voluerit.
Stans vero et dormit per totam noctem,
quia non quidem est ut facile assurgat.
Quum vero major stellarum, quæ lucem affert,
ascendit splendens ex fundo maris,
ille quidem directe adversus splendorem,
tanquam manum, attollens porrectam proboscidem,
servatorem veluti et adorat et veneratur:
lunam autem, apparentem quidem novam,
et oculis intentis et pie intuens,
tanquam deam afferentem sibi lucem novam,
protinus honorat hanc ineffabili modo.
Ratione igitur destituta animalia, o rex,

(45) θεοὺς σέβονται, ὡς ἔνεστιν εἰκάσαι,
οἱ δὲ ζοφώδεις τὰς φρένας τῶν πταισμάτων
ἀμφιγνοοῦσιν, εἴ τι θεῖον τυγχάνει
ἢ μὴ, βροτοὶ γεγῶτες· ὢ φεῦ τῆς πλάνης.]

deos colunt, ut licet conjectari,
caliginosi autem mentibus propter peccata
ambigunt, sitne aliquid divinum
an non, mortales nati. O qualem errorem!]

ΠΕΡΙ ΜΟΝΟΚΕΡΩΤΟΣ.

Ὁ μονόκερως θὴρ παρ' Ἰνδοῖς εὑρέθη,
δεινὸς μὲν ἰδεῖν, εἰ δὲ λὰξ ἐπεισπέσοι,
βαρὺς μαχητής. εἰ δὲ κύψας ἐνδάκοι,
μόλις ἰατρῶν εὐφυὴς χειρουργία
(6) πείσει παρελθεῖν τὴν φορὰν τοῦ κινδύνου.
Σοβῶν δὲ πυκνὰ τὸν κορυφαῖον λόφον,
ὠθεῖ τὸ μακρὸν καὶ φθορᾶς πλῆρες κέρας·
ὃ τῶν ἀκαλῶν ἐκπηφυκὸς ὀφρύων,
οὐ κοῖλον ἐστὶν, οὐδὲ κοῦφον ὡς κέρας,
(10) οὐδ' ἐξ ὁμαλοῦς τῆς φυῆς προηγμένον,
τραχύτερον δὲ καὶ σιδηρέας ῥίνης,
ὡς εἰς ἑλιγμοὺς προσφυεῖς κεκλωσμένον,
ὀξύτερον δὲ καὶ τεθηγμένου βέλους,
ὡς μὴ κεκυφὸς εἰς ῥοπὰς παλιντρόπους.
(15) Μέλαν δὲ πᾶν ἐκεῖνο τῆς ἀκμῆς δίχα.
Ξανθήν γε μὴν, κράτιστε, τὴν λάχνην φέρει,
οὐρὰν δὲ συὸς, καὶ λεόντειον στόμα,
καὶ θεῖν μὲν ὀξεῖς, ἀλλ' ἀνάρθρους τοὺς πόδας.
Ἀσπάζεται δὲ τοὺς ἀπανθρώπους τόπους
(20) καὶ ζῇ παροικῶν καὶ πλανώμενος μόνος.
Καὶ πρὸς μὲν ἀλλόφυλα θηρίων γένη
ὁ θὴρ προσηνὴς, ὡς ἔθὰς ποίμνῃ σκύλαξ·
τὸ συγγενὲς δὲ καὶ κατὰ φύσιν φίλον
ἐναντίον μάλιστα καὶ δύσνουν κρίνει.
(25) Πραΰνεται δὲ παρὰ τὸν θῆλυν μόνον,
οἴστρου χαλινοῖς ἐκδαμάζων τὸν τύφον,
ἕως τὸ ῥευστὸν τῆς γονῆς ἀφυβρίσῃ.
[Ἁλίσκεται δ' οὖν ὁ θρασὺς ξενοτρόπως
κόρης ἀπάτης ὄψει καὶ μελουργίᾳ.]

41 (40). DE MONOCEROTE.

Monoceros (*unicornis*) fera apud Indos exstat,
terribilis quidem visu; si autem calce impetum facit,
gravis pugnator; at si capite inclinato momorderit,
ægre medicorum sollers tractatio
persuadebit præcipiti periculo ut missum faciat *ægrum*.
Quatiens autem frequenter verticis cristam,
jactat longum et perniciei plenum cornu,
quod inter tetra enatum supercilia
non cavum est neque leve ut cornu,
neque ex æquabili natura *lævo* productum,
sed asperius etiam ferrea lima,
utpote in gyros naturales convolutum,
acutius etiam acuminato telo,
utpote quod non curvetur in flexus retrorsos.
Nigrum *est* autem omne illud præter cuspidem.
Ceterum fulvos, Potentissime, pilos gerit,
caudam vero apri, et rictum leonis,
et pedes celeres quidem ad currendum, sed sine digitis.
Amat locos ab hominibus desertos,
et vivit, tam in lustro quam vagans, solus.
Atque adversus alia bestiarum genera
hæc bellua *est* mitis, tanquam gregi assuetus catulus:
verum quod cognatum est et natura amicum,
id adversum maxime et infestum judicat.
Mitigatur autem apud feminam solam,
lasciviæ frenis domans insolentiam,
dum seminis fluxus deferbuerit.
[Capitur ergo ferox ille mirabilem in modum
fraudis puellæ visu et modulis.]

ΟΠΩΣ ΤΟΙΣ ΖΩΟΙΣ ΤΑ ΚΕΡΑΤΑ ΦΥΕΤΑΙ.

Τοῖς κτήνεσι δὲ πᾶσι τοῖς κερασφόροις
ἐγγάστριος μὲν ἀκριβῶς ἡ θερμότης,
(30) ἣ τὰς τὸν ἐγκέφαλον ἀρδούσας φλέβας
χαυνοῦσα ποιεῖ συστολῆς ἐλευθέρας·
κἀκεῖ τι λεπτὸν ἐμπεφυκὸς ὀστέον
τὰς ἀναγωγὰς τῆς τροφῆς προσλαμβάνει.
Κινούμενον δὲ τῇ ῥύμῃ τοῦ πνεύματος,
(35) τὸ τῆς χλιδῆς γόνιμον ἐκρεῖ τῶν πόρων,
ἐν οἷς τὸ μανὸν τῶν κροτάφων ὀστέον
τὰς ἐξαγωγὰς ὀργανοῖ τῶν ἰκμάδων,
τοῦ συνεχοῦς πηγνύντος αὐτὰς ἀέρος.
Τὸ γοῦν ἁπαλὸν καὶ νεώτερον κέρας
(40) ὠθεῖ τὸ παγὲν, ἐκδραμεῖν ἠπειγμένον,

42. QUOMODO ANIMALIBUS CORNUA NASCANTUR.

Animalibus vero omnibus cornigeris
in ventre maxime *est* calor,
qui venas cerebrum irrigante
laxans, eas a compressione liberas reddit:
atque ibi tenuissimum aliquod cornu insitum
sursum adducta alimenta accipit.
Motum autem impulsu spiritus
id quod honorem *frontis* gignit, profluit ex meatibus,
in quibus rarum (*non solidum*) os temporum
egestiones humorum fingit,
dum contiguus aer eos *emicantes* consolidat.
Jam tenerum et novissimum cornu
propellit illud quod induruit, emicare festinans et ipsum.

καὶ τοῦτο πάλιν ἄλλο κατόπιν τρέχον.
Οὐ γὰρ δυνατὸν ἀτρεμεῖν τὰς ἰκμάδας
πεπηγυμένας ἔσωθεν εἰς χαύνους τόπους.

atque hoc rursus *urgetur* ab alio a tergo ipsius properante.
Non potest enim fieri ut quiescant humores
qui durescunt intus in laxis locis.

ΠΕΡΙ ΚΕΡΑΤΟΣ ΟΝΑΓΡΟΥ.

Ἰνδῶν βασιλεῦ, τῆς ἐμῆς φωνῆς σύνες,
καὶ δὸς καθαρὸν εἰς ἀπόκρισιν λόγον·
τί δή ποτ' ἐστὶν ὁ κρατὴρ, εἰς ὃν πίνεις;
καὶ γὰρ διαυγὴς καὶ προμήκης εὑρέθη,
καὶ τρεῖς ἔχει ζωστῆρας ὡς λίθου φλέβας,
λευκόν τε, καὶ μέλανα, καὶ πορφύρεον. —
Ὄναγρος ἡμῖν ἐστι (φησί) τις μέγας,
ὃς τρίχα λευκὴν εἰς τὸ πᾶν δέρας φέρων,
αὐτὴν ἐρυθρὰν τὴν κεφαλὴν δεικνύει,
ἢ τοῦτό μοι δίδωσι τὸ ξένον κέρας,
ἐκκύπτον ἁπλοῦν τῆς λαβῆς τῶν ὀφρύων. —
Ἆρ' οὖν μέθης, εἶρηκα, λαμβάνεις χάριν;
ὁρῶ γὰρ αὐτὸ καὶ κατὰ πῆχυν μέγα.
Ἢ φιλοτιμῇ, καὶ προπίνοις τὴν θέαν; —
Καὶ μὴν ἀναιρεῖ τὴν κακὴν, ἢ δ' ὅς, μέθην,
ἰοῦ τε παντὸς ἀντιφάρμακον μένον,
ἣν ἱερὰν καλοῦσι, καθαιρεῖ νόσον.
Ἀστράγαλον δὲ καὶ χολῆς κύστιν φέρων,
τῶν μωνύχων, βέλτιστε, τῶν ἄλλων μόνος,
ὁ τὸν Γαληνὸν τὸν κεράτινον φύων,
οὗ τὸ κρέας ἄβρωτον ἐξ ἀηδίας,
θεῖ μάλα γοργόν· εἰ δὲ κυρίττειν θέλοι,
φεῦγε πτερωτὸν ἐκμιμούμενος τάχος·
φονεὺς γὰρ ἐστὶ κἂν παρέλθῃ λακτίσας.

Indorum rex, vocem meam ausculta
et liquidum sermonem ede quo *mihi* respondeas :
quidnam est crater ille in quo bibis?
etenim pellucidus et prælatus est,
ac tria habet cingula tanquam lapidis pretiosi venas,
album, et nigrum, et purpureum. —
Est nobis, inquit *rex*, onager, *animal* quoddam, magnus
qui quum albos pilos in tota cute ferat,
caput tamen rubrum ostendit,
quod mihi dat hoc mirabile cornu,
singulum enascens ex contactu superciliorum. —
Tum dixi : Anne ebrietatis voluptatem captas?
video enim illud ad ulnæ mensuram magnum.
An gloriam affectas et propines (*bibendo monstrare cupis*,
Imo tollit, inquit, malam ebrietatem, [hoc spectaculum?
et veneni omnis remedium quum sit natura,
quem sacrum vocant morbum exstirpat.
Porro talum et bilis vesicam ferens,
solidipedum, optime, omnium solus,
ille qui Galenum cornutum (*medicinam ex cornu*) gignit,
cujus caro non est idonea esu ob pessimum saporem,
currit velocissime : quando autem cornu petere vult,
fuge alatorum imitans celeritatem :
nam occisor est vel si præteriens modo calcibus feriat

ΠΕΡΙ ΚΥΝΟΚΕΦΑΛΟΥ.

Οἶδα τὶ κυνόμορφον ἀνθρώπων γένος,
ὃ φθέγγεται μὲν οὐδὲν, ἀλλ' ὠρύεται,
παντὸς δὲ κυνὸς εὐδρομώτερον μένον,
τοὺς θῆρας αἱρεῖ, καὶ σιτεῖται τὰ κρέα
ξανθέντα καὶ φρυγέντα φωσφόρου ζέσει.
Στολίζεται δὲ τὰς δορὰς τὰς ἐκ πόνων,
καὶ ζῇ λυποῦν ἄνθρωπον ἁπλῶς οὐδένα.
Ἰνδῶν τε συνίησι φωνῆς ὀξέως·
[αἶγας δὲ καὶ ὄις τε, ὡς φασὶν, ἔχον]
καὶ βοῦς, χάριν γάλακτος, ἡπίως νέμει.

Novi canum speciem habens genus aliquod hominum,
quod nihil quidem loquitur, sed ululat,
et quum sit natura cane omni velocius,
feras capit, et epulatur carnes
in frusta distractas et assatas Luciferi (*solis*) ardore
Vestitur autem pellibus labore (*venatu*) captis,
et vivit lædens hominem omnino neminem.
Et Indorum linguam acriter intelligit :
[capras vero et oves, ut dicunt, habens]
et boves, lactis gratia, mitis pascit.

ΠΕΡΙ ΤΟΥ ΗΛΕΚΤΡΟΓΕΝΟΥΣ ΖΩΟΥ.

Ἡ γῆ μὲν Ἰνδῶν δένδρον εἰς ὄρος φύει·
τὸ δὲ τρέφει, κράτιστε, θηρίον πάλιν,
κανθαροειδὲς, ἐκδοθὲν τῶν ἀκρίδων.
Ἠλέκτρινον γάρ ἐστιν αὐτῷ τὸ τρύφος,
ἔχει δὲ λεπτοὺς καὶ προμήκεις τοὺς πόδας.
Καὶ τοῦτο ῥιπτῶν ὁ κναφεὺς ἐκ τῶν κλάδων

43 (41). DE CORNU ONAGRI.

44 (42). DE CYNOCEPHALO.

45 (43). DE ANIMALCULO IN ELECTRI (ARBORE) NASCENTE.

Regio Indorum arborem *electrinam* in monte gignit :
ea vicissim, Potentissime, alit animalculum,
canthari simile, editum locustis.
Hinc electrina ei est buccea ;
habet autem gracles et prælongos pedes.
Atque hoc fullo ramis dejicis

νιφάσι πυκναῖς εὐτελῶν ἀκοντίων,
(8) ἐκ τινὸς εὐθὺς μηχανῆς ἀποθλίβει.
Σὺ δὲ βλέπων θαύμαζε τὰς φοινικίδας,
ἃς εἶλε χερσὶ τῆς βαφῆς ὁ τεχνίτης·
ἡ γὰρ ἀποστάξασα τῇ θλίψει δρόσος
ἀνῆκεν αὐτοῖς εὐφυοῦς ῥόδου χρόαν.

densis imbribus vilium telorum,
et machina aliqua statim torculat.
At tu videns admirare purpureas vestes,
quas in manus sumpsit tingendi artifex :
nam qui pressura destillavit ros,
is illis (*tinctoribus*) pulchræ rosæ colorem præbuit.

ΠΕΡΙ ΑΝΘΡΩΠΟΜΟΡΦΟΥ ΘΗΡΙΟΥ ΗΤΟΙ ΟΝΟΚΕΝΤΑΥΡΟΥ.

Ἀνθρωπόμορφον εἶδον, Ἰνδὲ, θηρίον·
τί δήποτ' ἐστί; — Φράζε, φησὶ, τὴν πλάσιν·
πολλῶν γὰρ ἡμεῖς εὐποροῦμεν ἀγρίων. —
Πρόσωπον ἀνδρὸς εἶδον, Ἰνδὲ, καὶ κόμην,
(5) καὶ στέρνα καὶ τράχηλον ἄχρις ἰξύος,
καὶ χεῖρας αὐτὰς ἀνδρικὰς, καὶ δακτύλους,
ἔπειτα μαζοὺς ὡς γυναικὸς ἠρμένους·
ῥάχις δὲ, πλευρὰ, λαπάραι, γαστὴρ, πόδες
ὄνον καθαρὸν ὀργανοῦσι τὴν θέαν.
(10) Ὀξύτατον δὲ καὶ βαρύθυμον μένον,
βάδην μὲν οὐ πρόεισιν, ὡς θὴρ δὲ τρέχει·
καὶ γὰρ κινεῖ τὰς χεῖρας ὡς καὶ τοὺς πόδας,
καθήμενον δὲ πνευστιᾷ μετὰ δρόμον.
Ἐστὶ δὲ καὶ τεφρῶδες, Ἰνδὲ, τὴν χρόαν,
(15) θνήσκει δὲ ληφθὲν ἐκ λιμοῦ, κἂν ᾖ βρέφος·
τὸ δούλιον γὰρ ἦμαρ οὐ θέλει βλέπειν. —
Ὀνοκένταυρος ἐστὶν αὐτὸς, ὡς λέγεις,
ζῷον πονηρὸν, εἶπεν Ἰνδὸς πρὸς τάδε.

46 (44). DE ANIMALI QUOD EST HUMANA SPECIE, ONOCENTAURO.

Humana specie vidi, Inde, animal :
quodnam est? — Memora, inquit, figuram ejus :
multis enim nos abundamus belluis. —
Vultum hominis vidi, Inde, et cæsariem,
et pectus et collum *humana* usque ad lumbum,
et manus adeo humanas, digitosque,
deinde mammas velut mulieris turgidas :
at dorsum, latera, ilia, venter, pedes
specie sua purum putum asinum effingunt.
Velocissimum autem et iracundum quum sit natum,
gradatim non incedit, sed velut bellua currit :
namque manus æque atque pedes movet,
et considens anhelat post cursum.
Est præterea, Inde, cinereo colore,
et captum moritur fame, etiamsi pullus sit :
nam servitutis diem non vult videre. —
Onocentaurus est hic, ut dicis,
mala bellua, dixit ad hæc Indus.

[ΠΕΡΙ ΚΑΤΩΒΛΕΠΟΣ.]

[Πέλει τι παγκάκιστον ἐν τοῖς θηρίοις,
ὃ ἡ Λίβυσσα, φασὶ, γῆ τίκτει, τέρας
ταύρῳ ἐοικὸς ἀγριωπῷ τὴν πλάσιν.
Βλέπει βλοσυρὸν, ὥσπερ αὐθάδης λέων.
Καὶ γὰρ δασείας τὰς ὀφρῦς ἔχει μάλα·
(6) τὼ δ' ὄσσ' ἐλάττω τῶν βοείων τυγχάνει,
ἄλλως ὑφαίμω, καὶ κατ' εὐθὺ οὐδ' ὅλως
ὁρᾷν ἐνεστιν, ἀλλὰ γῆσε μὲν κάτω·
ἔνθεν κατώβλεψ καὶ κέκληται τοῖς πᾶσι.
Λόφος δ' ἄνωθεν τῆς κορυφῆς ἄρχεται,
κάτεισι δ' εἰς μέτωπον αὐτοῦ ἐκτάδην,
(12) ἱππεία χαίτῃ εἴκελος. Θάμβος δ' ἰδεῖν
τοῖς ἐντυχοῦσι, καὶ φόβος δῆθεν μέγας,
ῥίζας σιτεῖται πάνυ δηλητηρίους,
ἃς μηδὲ προσψαύσειεν ἄλλος θὴρ ἴσως
ἄνευ βλάβης πώποτε δὴ καὶ κινδύνου.
Ἐπὰν δ' ὑποβλέψειε ταυρηδὸν, ἄφαρ
(18) ὁ θὴρ ἀνιστῶν τὸν λόφον μετάρσιον,
φρίττει φρικωδέστεραν ἤπερ τις κάπρος.
Γυμνουμένων δὲ τῶν ἑαυτοῦ χειλέων,
ἕξεισι πνεῦμα τῆς φάρυγγος ἐκ μέσου
ὀξειοβαρὲς καὶ βρόμου πεπλησμένον·

[Est aliquod longe pessimum inter fera animantia,
quod Libyca, aiunt, terra parit, monstrum
tauro simile truci figura.
Spectat terribile, ut imperiosus leo.
Etenim densa habet supercilia admodum;
oculi vero minores bovinis sunt,
ceteroquin sanguine suffusi, et recta nullo modo
tueri possunt, sed in terram quidem deorsum :
unde etiam Catobleps (*deorsum spectans*) dicitur omnibus.
Crista autem superne a vertice incipit,
ac descendit in frontem ejus late,
equinæ jubæ similis. Stupor vero aspectu
occurrentibus, et terror proinde magnus,
radices vorat plane noxias,
quas forsan ne attigerit quidem alia bestia
sine noxa unquam et periculo.
Ubi autem suspexerit tauri instar, ilico
fera erigens cristam in altum,
horret horribilius quam quisquam aper;
ut vero labra sua nudat,
exit spiritus faucium ex medio
gravissimus et fœtore plenus :

ἐν ᾧ ἀναπνέοντα ἄλλα γ' εἰ τύχοι,
(24) δεινῶς κακοῦται, καὶ ἀφωνίαις ἅμα
1105 σπασμοῖς τε πίπτει φθαρτικοῖς παραυτίκα.]

in quo si forte respirant alia *animantia*,
graviter affliguntur, et vocis privatione simul
ac convulsionibus cadunt exitialibus statim.]

ΠΕΡΙ ΛΥΚΩΝ.

Ὕδωρ διανέοντες ἀθρόοι λύκοι,
μή πως τὸν ἐσμὸν ἡ ῥοὴ περιτρέποι,
τὰς οὐρὰς ἐνδακόντες ἀλλήλων μόνον,
πρὸς τοὺς ἰλίγγους εὐδρομοῦσι τῶν πόρων.
1110 Λύκος δὲ φαγὼν καὶ κορεσθείς, οὐ λύκος,
(6) ἀλλ' ἀμνὸς ἂν φαίνοιτο ποιμνίων μέσον.
Οὐ δύναται γὰρ ὁ φθορεὺς ἐπεσθίειν,
ἀλλ' ἐστὶν οἰδῶν τῇ τροφῇ τὴν γαστέρα
καὶ τὴν ὑπογλωττίδα τῶν παρισθμίων.
1115 Καὶ τοῦ κόρου πεφθέντος ἐν βραχεῖ χρόνῳ,
ὁ θὴρ πάλιν δείκνυσι τὸν πρῶτον λύκον.
(12) Βραχὺν δὲ τὸν τράχηλον ἐκ νώτων φέρων
ἐπιστρέφει τὸ σῶμα, καὶ βάδην τρέχει.
Καὶ ταῦρον ἰδὼν ἐξελίττει τὸν δρόμον·
1120 τὰς γὰρ ἀκωκὰς τῶν κεράτων οὐ στέγει·
καὶ τῆς γε δειρῆς τὸν τοσοῦτον ἁρπάσας,
διασπαρακτὸν ἐκλυθέντα δεικνύει.
(18) Ὁρᾷ δὲ μακρὰν, ὀξυδερκὴς ὢν φύσει,
καὶ γλαυξ ἀτεχνῶς ὑπὸ νύκτα καὶ σκότος.
1125 Θνήσκει δὲ γοργῶς, μηδὲ συμβάσης νόσου,
φαγὼν πόαν, κράτιστε, τὴν λυκοκτόνον.

48 (46). DE LUPIS.

Aquam transnatantes catervatim lupi,
ne qua fluctus agmen auferat,
caudas modo suas invicem mordicus tenentes,
contra vortices transeundorum fluminum cursum peragunt.
Lupus autem pastus et satur, non lupus,
sed agnus *esse* videatur in mediis gregibus.
Non potest enim pernicies illa *tum* vesci amplius,
sed turget cibo venter
et lingua inferius tumida usque in tonsillas.
Atque pastu quo satiatus erat intra breve tempus decocto,
fera rursus ostendit priorem lupum.
Quum autem breve collum extremo dorso gerat,
inflectit corpus *ipsum*; et gradatim (*non saltu*) currit.
Ac taurum ubi conspexit, in gyros vertit cursum :
nam acumina cornuum *tauri* non sustinet.
Et cervice tantum animal ut corripuit,
prorsus dilaceratum *et* convulsum reddit.
Cernit autem procul, acutis oculis natura præditus,
et noctua *est* planissime sub noctem et tenebras.
Moritur vero celeriter, non ullo invadente morbo,
simulatque herbam, Potentissime, comedit lycoctonon.

ΠΕΡΙ ΑΡΚΟΥ.

Ἄσημον ἄρκος ἀποτίκτουσα κρέας
σοφῶς διαρθροῖ, καὶ τυποῖ, καὶ φαιδρύνει,
καὶ δημιουργεῖ πλαστικῶς τοῦτο βρέφος.
1130 Λεάνασα δὲ μαλθακῆς γλώττης πόνῳ
(5) καὶ λασίοις θάλψασα μηροῖς τὸν τόκον,
ἐνῆκε θηλὴν μητρικὴν τῷ φιλτάτῳ.

49 (47). DE URSA.

Informem ursa carnem partu edens
sollerter articulat, et figurat, et expolit,
et format velut figuli arte hunc pullum :
ubi autem teneræ linguæ labore polivit
et fovit intra hirsuta femora fœtum suum,
præbet ubera materna carissimo.

[ΠΕΡΙ ΑΛΩΠΕΚΟΣ.]

[Τὸ παγκάκιστον ἡ ἀλώπηξ θηρίον,
δολοπλόκος πέφυκεν ἢ τἄλλα πλέον.
1135 Ὅταν γὰρ εὑρεῖν βρῶσιν οὐ δυναμένη,
πολλά τε δεινὰ μηχανᾶται τοῦ δόλου,
(5) ὥστ' ἐντυχεῖν που τῇ τροφῇ τῆς γαστέρος,
καὶ δὴ τὰς ὄρνεις τεχνικῶς πλανωμένη
τοῖον ῥαδιούργημα ἐξεῦρε τρόπου·
1140 ἁπλοῖ ἑαυτὴν ὀπτίαν ἐν ἀβάτῳ
χέρσῳ τ' ἐρήμῳ τ' ἀτριβεῖ τοῖς ἀνδράσι·
(10) κἀκεῖθι νεκρὸν πτῶμα προσποιουμένη
κεῖτ' ἀκράδαντος, οἷαπερ θνησείδιον·
αἱ δ' ἀγνοοῦσαι τὸ κρύφιον τῆς πλάνης
1145 ὁμοῦ καταπίπτουσι τοῦ φαγεῖν χάριν·

[50 (48). DE VULPE.

[Longe pessima vulpes fera
dolosa est natura magis quam ceteræ.
Quando enim invenire cibum non potest,
quum multa vafra struit doli,
quo assequatur alicubi nutrimenta ventris,
tum aves artificiose circumveniens
talem fallaciam comminiscitur ingenio :
extendit se supinam in invia
terraque et deserto non trito hominibus;
atque illic mortuum cadaver imitans
jacet immota, tanquam morticinum :
illæ vero ignorantes occultum fallaciæ
simul decidunt edendi causa :

ἡ δὲ τροφῆς χρῄζουσα, σὺν προθυμίᾳ
θρώσκουσ' ἐπ' αὐτὰς, θηρᾷ καὶ κατεσθίει.
Ὅταν δ' ἐχῖνος πρὸς φθορὰν ἀφιγμένην
ἀθρῇ ἑαυτοῦ, δειματούμενος τότε
αὐτὸν συνειλεῖ σφαιροειδῶς καὶ στρέφει,
καὶ τῶν ἀκανθῶν τὰς λαβὰς ἀπευθύνων
εἴργει κακῶσαι ταῖς ἀκμαῖς τῶν κεντρίων·
ἡ δ' ἐνδακεῖν μὲν τόνδε γ' εὐλαβουμένη,
βύγχει προσουρεῖ δεξίως, κερδὼ μάλα·
καὶ ὅς γ' ἀπνευστὶ τῷ κακῷ διαμένων
οὔρῳ παρευθὺς δυστυχῶς ἀπεπνίγη.]

ΠΕΡΙ ΥΑΙΝΗΣ.

Ἄρρην μὲν ἦν ὕαινα τὸν χθὲς που χρόνον,
θῆλυς δὲ τὸν νῦν, δρᾷ τε καὶ πάσχει πάλιν,
καὶ μητροπάτωρ οὐκ οἶδ' ὅπως γίνεται,
κύουσα καὶ σπείρουσα τὴν διφυΐαν.
Ἂν ἐντύχῃ δέ τινι καθεύδοντί που,
ἐν ἡσύχῳ προσῆλθε πελμάτων βάσει,
καὶ τὴν ἑαυτῆς δεξιὰν ἐντείνασα
καθῆκεν εἰς τὴν ῥῖνα τοῦ κοιμωμένου·
κάρου γὰρ εἶναι φασὶν αὐτὴν ἐργάτιν·
ὀρύξασα δὲ τῇ κεφαλῇ πυθμένα,
προὔθηκε τὴν φάρυγγα γυμνὴν ὑπτίαν·
ᾗ μάλα δεινῶς τῆς φονώσης ἐμφύσης,
ὁ παῦλαν αἰτῶν δυστυχῶς ἀπεπνίγη.
Πάλιν δὲ καθεύδοντος εἴπου τις θίγοι
τῇ δεξιᾷ πτέρυγι τῆς θαλαττίας,
ἄῤῥητον εὐθὺς ἐμβαλεῖ τούτῳ φρίκην
καὶ δεῖμα πολλῶν, Αὐσονάρχα, φασμάτων.
Ὕαινα δὲ κτείνουσα τὰς κύνας δόλῳ,
τῶν θηρατικῶν ἑστιᾶται σαρκίων.
Οὔσης γὰρ αὐγῆς δαψιλοῦς ἐν ἑσπέρᾳ,
παρῆκεν αὐταῖς τὴν σκιὰν τοῦ σώματος,
τὸ κατόπιν κρύψασα τοῦ δρόμου σέλας,
καὶ κατασιγάσασα τὰς τρισαθλίας,
ὡς φαρμακὶς εὔτεχνος ἐξ ἐπᾳσμάτων
ἀνεῖλε πικρῶς ἀγνοούσας τὸν δόλον.
[Ὕαινα φοιτᾷ τοῖς προαυλίοις νύκτωρ,
καὶ τοὺς ἐμοῦντας καθαρῶς μιμουμένη
τοὺς κύνας πλανᾷ προσιόντας αὐτίκα,
ἡ δὲ λαμβάνει καὶ κατεσθίει τάχος.]

ΠΕΡΙ ΘΩΟΣ.

Ποίους δὲ καλῶς ἐκμαθὼν αἰδοῦς νόμους
αἰσχύνεται θὼς, εἰ τὸν ἄνθρωπον βλέποι;
ποίαν δὲ τηρῶν τακτικὴν ὁμαιχμίαν
ἄληκτος ἥκει συμμαχῶν ἡμῖν φίλος,
ἂν ἄρα τις θὴρ δυσμενὴς ἐπιτρέχοι;

at illa cibi indigens, cum alacritate
assultans in illas, venatur et devorat.
Verum echinus ubi advenientem in perniciem
videt suam, tunc metuens
sese convolvit in globum et versat,
et aculeorum extrema porrigens
prohibet inferre damnum cuspidibus spiculorum:
illa autem hunc morsu quidem prehendere vitans,
in os ejus urinam dextre mittit, vulpes maxime;
atque iste sine respiratione perseverans per malam
urinam statim infeliciter suffocatur.]

51 (49). DE HYÆNA.

Mas quidem erat hyæna hesterno ut ita dicam anno,
femina *est* autem hodierno, et init et initur rursum,
et materpater nescio quomodo fit,
utero ferens et serens prolem ambiguam.
Si cui autem dormienti alicubi inciderit,
silenti pedum meatu accedit,
et dextram suam intendens
demittit in nares dormientis:
nam soporis eam effectricem esse dicunt:
deinde ubi suffodit *terram* qua caput nititur,
guttur proponit nudum, supinum;
cui dum cædis avida gravissime incumbit,
ille requiem appetens infeliciter suffocatur.
Rursus si quis dormientem attigerit
dextra pinna marinæ hyænæ,
infandum statim injiciet ei horrorem
et formidinem multorum, Ausonum imperator, terriculorum.
Hyæna autem occidens canes dolo,
venaticas epulatur carnes.
Nam quum *lunæ* largus splendor est vespere,
dimittit in eos umbram sui corporis,
pone cursum suum occultans fulgorem (*ita currens ut um-*
et ubi mutos reddidit infelicissimos, [*bram faciat canibus*),
tanquam venifica sollers incantamentis
occidit eos crudeliter ignorantes dolum.
[Hyæna accedit ad stabula noctu,
et vomentes exacte imitans
fallit canes, qui statim adveniunt:
ipsa autem corripit *eos* et vorat cito.]

52 (50). DE THOE.

Quales autem pulchre edoctus pudoris leges
reveretur thos, si hominem aspexerit?
et quale colens fœdus socialium armorum
perpetuus venit ab nostris partibus dimicans amicus,
quando fera aliqua infesta *nos* aggreditur?

[ΠΕΡΙ ΑΙΤΝΑΙΟΥ ΙΧΘΥΟΣ.]

Πόθεν, βασιλεῦ, σωφρονεῖν πεπεισμένος
ἀλλοτρίους πέφευγεν Αἰτναῖος γάμους;
μὴ καθάπαξ ἔλεγχος εὑρεθῇ, ζέων
τῆς τῶν ἰταμῶν ἐν φθοραῖς ἀγρυπνίας.

ΠΕΡΙ ΒΟΟΣ.

Πάγχρηστον ἡ βοῦς, καὶ κομίζει φορτία,
καὶ τοὺς γεωργοὺς ὠφελεῖ πρὸς τοὺς πόνους,
καὶ γάλα ποιεῖ, καὶ τραπέζας ἀρτύει,
μετὰ τελευτὴν καὶ μελίττας ἐξάγει.

ΠΕΡΙ ΑΙΓΟΣ.

Τὴν αἶγα φασὶν ἀπὸ τῶν ὤτων πνέειν,
ἀλγοῦσαν οὐδὲν τῆς ῥινὸς πεφραγμένης.
[Καὶ τὴν τελευτὴν οἶδεν αὐτῆς πανσόφως,
ἄγευστον τροφῆς ἑαυτὴν συντηροῦσα.]

ΠΕΡΙ ΔΟΡΑΣ ΟΙΟΣ ΛΥΚΟΣΠΑΔΟΣ [ΚΑΙ ΛΙΘΟΥ ΚΥΝΟΔΗΚΤΟΥ].

Χιτῶνα λαβὼν ἐκ δορᾶς λυκοσπάδος,
σαυτὸν, προβατεῦ, μηδαμῶς ἐπενδύσῃς·
ποιεῖ γὰρ εὐθὺς κνησμονήν τε καὶ φρίκην,
παλμοὺς ἀτερπεῖς ἐμβαλὼν τῇ καρδίᾳ.
(5) Οἴνῳ δὲ κυνόδηκτον ὁ κρύψας λίθον
στάσιν πονηρὰν ἐξεγείρει τοῖς φίλοις.

[ΠΕΡΙ ΚΑΝΘΑΡΩΝ.

Τοῖς κανθάροις δὲ τοῖς κακόσμοις θηρίοις
εἴ τίς γε μικρὸν τοῦ μύρου ἐπιῤῥάνοι,
οὗτοι παρευθὺς, μὴ φέροντες οὐδόλως
εὐωδίαν, θνήσκουσιν οἰκτίστῳ μόρῳ.
Οὕτω γε φασὶ καὶ τινὰς εἰωθότας
συνεκτρέφεσθαι δυσσοδεστάτ' ἀέρι,
στυγεῖν ἅπασαν τοῦ μύρου εὐωδίαν.]

ΠΕΡΙ ΤΑΡΑΝΔΟΥ.

Ζῶον τὶ καὶ τάρανδος ἐν Σκύθαις μέγα.
Ταύρῳ γὰρ ἄν τις ἐμφερῆ τοῦτον κρίνοι,
τὸν ὄγκον ἀθρῶν τῶν μελῶν καὶ τὸν δρόμον.
Κλέπτων δὲ τὴν αἴσθησιν ὡς χαμαιλέων,
εἰς ποικίλα χρώματα τὴν τρίχα τρέπει.
(6) Τὸν ἄστατον γὰρ καὶ παλίμβολον βίον
καὶ τῶν πονηρῶν ζωγραφεῖ τὰς ἐμφάσεις,
οἳ παρακερδαίνουσι τοὺς ἁπλουστέρους,
πλανῶντες εἰκῇ ταῖς τροπαῖς τῆς καρδίας.
Τούτου, βασιλεῦ, τὴν δορὰν θώραξ φέρων
ὑπῆρξε παντὸς εὐτονώτερος βέλους.

[53 (51). DE ÆTNÆO PISCE.]

Unde, rex, ad castitatem instructus
externas fugit *piscis* Ætnæus nuptias?
ne manifesto probrosus inveniatur, scatens
illa libidinosorum in corruptionibus assiduitate.

54 (52). DE BOVE.

Utilissimum *animal est* bos: et onera vehit,
et agricolas adjuvat in laboribus,
et lac parat, et mensas instruit;
post mortem denique apes ex se gignit.

55 (53). DE CAPRA.

Capram aiunt *etiam* per aures spirare,
nihil dolentem naribus obduratis.
[Et vitæ suæ finem callide novit,
a gustatu cibi sese abstinens.]

56 (54). DE PELLE OVIS A LUPO DISCERPTÆ [ET LAPIDE A CANE MORSO].

Tunicam si ceperis ex pelle *ovis* a lupo discerptæ,
ne te, opilio, ea convestias:
efficit enim illico pruritum et tremorem
palpitationes molestas cordis excitans.
Qui autem lapidem a cane morsum in vino abscondit,
is seditionem malam suscitat inter amicos.

[57. DE CANTHARIS.

Cantharis autem male olentibus bestiis
si quis pauxillum modo unguenti insperserit,
hi statim, nullo modo ferentes
fragrantiam, moriuntur miserrimo obitu.
Sic dicunt etiam quosdam solitos
innutriri pestilentissimo aeri,
abhorrere omnem unguenti fragrantiam.]

58 (55). DE TARANDO.

Animal quoddam *est* etiam tarandus in Scythis magnum.
Nam tauro hunc aliquis similem judicaverit,
molem spectans membrorum et cursum.
Sed oculos fallens ut chamæleon,
in varios colores pilum suum vertit.
Nam inconstantem et variabilem vitam
et improborum velut pictura exprimit simulationes,
qui callide eludunt simpliciores
et temere fallunt versutiis animi.
Hujus, rex, pelle tecta lorica
firmior exstitit omnis teli impetu.

[ΠΕΡΙ ΕΛΑΦΟΥ.]

[Ὦ τῶν ἀγλαῶν καὶ ξένων δωρημάτων,
ἃ ἡ φύσις δίδωσιν ἀῤῥήτῳ τρόπῳ
ζώοις τε πᾶσιν ἡμέροις τε κἀγρίοις.
Καὶ γὰρ τέθηπα πῶς ἔλαφος τοὺς ὄφεις,
ἀναρσίους πέλοντας αὐτῇ ἐκτόπως,
νικᾷ κραταιᾷ ἐν μάχῃ κατακράτος
τέχνῃ φυσικῇ, ὡς ἔνεστιν εἰκάσαι.
Τῆς γὰρ βίῃφι ἐξελαύσης ὄφιν,
ὅδε φρίκης τε καὶ φόβου πεπλησμένος
εἰς χηραμὸν ζοφώδη κρυφθεὶς εἰσέδυ.
Ὡς οὖν ἔλαφος ᾔσθετ' ἂν τὸ πρακτέον,
σοφῶς ἐρείσας τοὺς ἑαυτῆς μυκτῆρας
πρὸς τῇ ἐρεμνῇ εἰσδύσει τοῦ θηρίου,
εἰσπνεῖ μὲν ἡδὺ, καὶ τὸν ἐχθρὸν ἐξάγει
δίκην ἴυγγος τῇ βίᾳ τοῦ πνεύματος.
Κἀπειδὰν ἔλθῃ καὶ ἄκον τὸ θηρίον,
ἤδη προκύψαν δυσμενῶς κατεσθίει.
Καὶ ὣς πέπαυται ἡ μάχη παραυτίκα.
Πρὸς τοῖς γε φασὶ, κεῖτις τοῦδ' ἐκ τοῦ κέρως
ξέσειε λεπτῶς, εἶτα τὸ ξύσμα τόδε
αὖοι, κράτιστε, ἐμβαλὼν ἐπ' ἀνθράκων,
ὁ καπνὸς εὐθὺς ἐξελάσσει τοὺς ὄφεις,
ὀσμὴν ἐκείνην μὴ δυναμένους φέρειν.]

[ΠΕΡΙ ΖΩΩΝ ΤΙΝΩΝ ΚΑΘ' ΥΠΝΟΝ ΒΛΕΠΟΝΤΩΝ.]

Πῶς καὶ καθεύδει καὶ δοκεῖ πάλιν βλέπειν
ὄφις τε καὶ πτῶξ, καὶ θυμοῦ πλήρης λέων;
ἐκπέπταται γὰρ ἡ χλανὶς τῶν ὀμμάτων,
ἄλλου τινὸς χιτῶνος ἀπαλωτέρου
φρουροῦντος αὐτοῖς, ὡς διόπτρας, τὰς κόρας.

ΠΕΡΙ ΠΤΩΚΩΝ.

Πόθεν τὸν αὐτὸν οἱ ταχεῖς πτῶκες χρόνον
ἄλλους μὲν ὠδίνουσιν εἰς φῶς ἐκγόνους,
ἄλλους δὲ κατέχουσιν ὡς νωθεῖς ἔτι,
πρὸς δευτέραν γέννησιν ὀργανουμένους;
καὶ πρὶν ἐπελθεῖν τὴν γονὴν τὴν ὑστέραν,
ἄλλους πάλιν κύουσιν ἐξ ἄλλου σπόρου;

ΠΕΡΙ ΧΑΜΑΙΛΕΟΝΤΟΣ.

Χαμαιλέων, κράτιστε, τὸν χρῶτα τρέπει·
σαῦρος γὰρ ὢν ἄντικρυς οὐκ ἔχει τρίχας,
καὶ νῦν μὲν ὠχρὸς, νῦν δὲ φαιὸς γίνεται,
εἶτα πελιδνὸς, εἶτα κιῤῥὸς εἰς βάθος·
καὶ νῦν ἐρυθρὸς, καὶ παραυτίκα μέλας,
καὶ στικτὸς ἂν γένοιτο δορκάδος δίκην·
καὶ ξανθὸς ἂν φαίνοιτο καθάπερ λέων.
Οὕτω δὲ τοῦ σώματος ἀλλοιουμένου,

[59 (56). DE CERVO.]

[O eximia et miranda dona,
quæ Natura dat ineffabili modo
animantibus omnibus, et mansuetis et feris.
Namque obstupui *videns* quomodo cerva serpentes,
qui ei infesti sunt immaniter,
vincat strenua in pugna fortiter
arte naturali, uti licet conjectari.
Illa enim vi abigente serpentem,
hic horrore et metu plenus
in lustrum caliginosum occultus se abdit.
Simulatque igitur cerva senserit quod agendum,
callide applicans suas nares
ad tenebrosum introitum feræ,
inspirat suaviter, et hostem educit
illecebræ instar vi spiritus:
et ubi advenerit etiam invita bestia,
jam emergentem hostiliter devorat.
Et sic finita est pugna illico.
Præter hæc dicunt etiam *illud*: si quis hujus ex cornu
raserit tenuiter, deinde ramentum hoc
torreat, Potentissime, conjectum in carbones,
fumus hic statim abiget serpentes,
odorem illum qui non possunt ferre.]

[60 (57). DE ANIMALIBUS QUIBUSDAM QUÆ PER SOMNUM OCULIS CERNUNT.]

Quomodo et dormit et videtur rursum cernere
serpensque et lepus, et animorum plenus leo?
Nimirum aperitur læna (*membrana exterior*) oculorum
dum alia quædam tunica tenuior
custodit illis, ut conspicillum, pupulas.

61 (58). DE LEPORIBUS.

Unde per idem tempus celeres lepores
alios in lucem edunt pullos,
alios vero *in utero* retinent ut adhuc immaturos,
ad insequentem partum fingendos?
et cur, antequam fœtura transeat vulvam,
alios rursum utero ferunt ex alio satu?

62 (59). DE CHAMÆLEONTE.

Chamæleon, Potentissime, colorem mutat:
lacerta enim propalam quum sit, non habet pilos,
et nunc quidem pallidus, nunc fuscus fit,
tum lividus, tum penitus gilvus:
et nunc ruber, ac statim post niger,
atque etiam variegatus maculis, tanquam capreæ, fit:
et fulvus quoque appareat uti leo.
Hoc modo quum corpus ejus varios colores induat,

τὸ λευκὸν ἠγνόησεν ἡ φύσις μόνον.
Στερρὸν δὲ τῷ στόματι κατέχων ξύλον,
ὄφεις λυπεῖ σφύζοντας αὐτὸν ἐσθίειν·
(12) καὶ γὰρ ἑαυτὸν εὐφυῶς ἐπιστρέφων,
μάτην περιχαίνοντας αὐτοὺς δεικνύει.
Κἂν τις δυνηθεὶς καὶ φορίνην ἐνδάκοι,
ποῦ τοῦτο δεινὸν τῷ τὸ κάρφος ἠρμένῳ;
καὶ γὰρ στεγανὴν ἐνδιδύσκεται σκέπην,
καὶ τῶν πονηρῶν ἐξελέγχει τὸ θράσος,
(18) τοῦ ζῆν σοφιστὴς εὐμαθὴς ὢν αὐτόθεν.

album solum non novit ejus natura.
Rigidum autem ore suo tenens lignum,
serpentes vexat palpitantes ut ipsum devorent:
namque agiliter sese convertens
reddit eos frustra inhiantes ipsi.
Et si quis *eorum* etiam ad pellis morsum pervenire possit,
quomodo hoc timeat ille qui festucam sublatam fert?
etenim firmum indutus est tegimen,
et improborum audaciam evincit:
vivendi magister hinc apparet callidus.

ΠΕΡΙ ΣΑΥΡΟΥ.

Σαῦρον τὸν ὠχρὸν εἰ τεμὼν διασπάσεις,
ἁρμόζεται ζῶν ταῖς τομαῖς οὕτω πάλιν.
Εἰσὶ δὲ σαφῶς τῶν μερῶν αἱ συνθέσεις,
ὅταν ὁ νεκρὸς τοῖς ποσὶν ὑφερπύσῃ.

63 (60). DE LACERTA.

Lacertam viridem si sectam divides,
coalescit iterum partibus ita sectis et vivit.
Est autem exacte *facta* partium coagmentatio,
quando mortuus pedibus incedere cœperit.

[ΠΕΡΙ ΕΧΙΝΟΥ ΤΟΥ ΕΝΥΔΡΟΥ.]

Καί τις ἐχῖνον συντριβέντα σκορπίσας,
ὃν οἶδεν ἀκτῆς εὐμενὴς κόλπος τρέφειν,
τάχ' ἂν ἴδοι, κράτιστε, συντεθειμένον
καὶ ζῶντα τὸν πρὶν δυστυχῶς τεθραυσμένον.
(5) Ὅς, εἰ πολὺς τὸ ῥεῖθρον ἐκμαίνοι κλύδων,
εἰς τὰς ἀκάνθας ἐμβριθεῖς ἄρας λίθους,
μήπως ὑπαχθεὶς ἐκκυλισθῇ τῇ ῥύμῃ,
πρὸς τὸν μυκηθμὸν καρτερεῖ τῶν βρασμάτων.

[64 (61). DE ECHINO AQUATILI.]

Etiam echinum contusum si quis abjecerit,
echinum quem nutrire solet littoris benignus sinus,
mox videat, Potentissime, coagmentatum
et viventem eum qui antea miserabiliter fractus erat.
Idem, si forte magni æquor exagitant fluctus,
in spinas suas graves attollens lapides,
ne subactus provolvatur undarum concitato impetu,
resistit æstuum mugitui.

ΠΕΡΙ ΕΧΙΝΟΥ ΤΟΥ ΧΕΡΣΑΙΟΥ.

Ἐχῖνος ἐκ γῆς οἶδεν ἀκάνθαις βρύων,
καὶ ταῖς πρασιαῖς ἐγκυλινδεῖται κρύφα,
καὶ τὰς ἐκεῖθεν ἐμπαρείσας ἰσχάδας
εἰς τοὺς ἑαυτοῦ φωλεοὺς θησαυρίσας,
οὐκ ἔσχε λιμοῦ συμφορὰν ὀλεθρίου.
(6) Συστέλλεται δὲ, καὶ τὸ πᾶν σῶμα στρέφει,
καὶ τῶν ἀκανθῶν τὰς λαβὰς ἀπευθύνει,
τὸν θηρατὴν ἔγγιστα παρόντα βλέπων.
Δοκεῖ δὲ νεκρὸς, τὴν πνοὴν ὑποπνίγων.
Εἴπου γε μὴν θέλοι τις αὐτὸν λαμβάνειν,
εὐθὺς ἐνουρῶν τὴν δορὰν διαβρέχει·
(12) ἀνθίσταται γὰρ χαλεπαῖς νόσων βίαις
ἂν οὐ μολυνθῇ τῇ βροχῇ τῆς αἰσχύνης.

65 (62). DE ECHINO TERRESTRI.

Echinus terrestris (Erinaceus) scit se spinis horrere,
et in areis hortorum se volutat clam,
et quum hinc *spinis* infixas ficus
in suas foveas congesserit,
non experitur famis malum exitiosæ.
Sed contrahit se *in pilæ modum*, et totum corpus volvit,
et spinarum extrema erigit,
quando venatorem proxime astantem conspicit.
Tum mortuus *esse* videtur, spiritum premens.
Quodsi tamen velit aliquis eum prehendere,
statim urinam mittens tergus suum humectat:
resistit enim *hoc tergus* gravibus morborum impetibus,
si non conspurcata est humore pudendo.

[ΠΕΡΙ ΛΥΓΓΟΣ ΟΥΡΟΥ.]

Οὖρον δὲ λυγγὸς ἐκτραχυνθὲν εἰς λίθον
στερρός τίς ἐστιν ἐγκοπεὺς πρὸς τοὺς λίθους·
τῆς κυστεως δὲ τοὺς βαρεῖς ἄλλως λίθους,
εἰς πῦρ κομισθὲν καὶ ποθὲν, διαθρύβει.
(18) Τοῦ γοῦν ἐχίνου τὴν σποδὸν κεκαυμένου,
πίττῃ νεωστὶ συντεθεῖσαν εἰς χρίσιν,

[DE LYNGURIO.]

Lyncis autem urina indurata in lapidem
firmum est cælum ad lapides *sculpendos*.
Eadem vesicæ calculos alioqui (*sine hoc remedio*) molestos,
igni injecta et *deinde* pota, conterit.
Erinacei cinerem combusti,
cum pice recens mixtum ad unctionem

φασὶν ἰατροὶ καὶ ψιλοῖς τρίχας φύειν·
οἴνῳ δὲ λευκῷ συγκραθεῖσαν εἰς πόσιν
ἀλγοῦσι νεφροῖς εὑρεθῆναι φάρμακον,
ἥπάρ τε καμὸν ἐκ πυρᾶς ἀναψύχειν,
καὶ φλεγμονῆς οἴδημα συστέλλειν ζέον.

dicunt medici etiam calvis gignere **capillos**:
cum vino autem albo ad potionem **temperatum**
renum dolori inventum esse **laborantibus remedium**,
ita ut et jecur laborans ex æstu **refrigeret**,
et inflammationis tumorem sedet **fervidum**.

[ΠΕΡΙ ΙΠΠΟΚΑΜΠΟΥ.]

Φαγών τις ὀπτὴν ἱπποκάμπου γαστέρα,
λύτταν κυνικὴν εἰσφθαρεῖσαν ἐξάγει.
Οἴνῳ δὲ συζέσασαν οὐκ ἂν ἐσθίοι.
Κυκᾷ γὰρ εὐθὺς ἡ τροφὴ τὴν γαστέρα·
καὶ γίνεται λὺγξ, εἶτα βὴξ, εἶτα τρόμος,
εἶτα σπαραγμὸς καὶ μελῶν καὶ καρδίας,
καὶ πρὸς τὸν ἐγκέφαλον ὀργῶσα ζέσις,
λήθη τε, καὶ μύκημα, καὶ βαρὺς κάρος,
καὶ βλέμμα νωθρὸν, ἀλλὰ πῦρ σχεδὸν φέρον,
καὶ χύσις ὑγρῶν ἐκ ῥινὸς παχυτέρων,
καὶ δίψος ὡς φλὸξ ἐκπιέζον τὴν φύσιν·
καὶ μετρίου ῥεύσαντος ἐν τούτοις χρόνου,
πταρμῷ τιναχθὲν πᾶν τὸ σῶμα ῥήγνυται.

[66 (63). DE HIPPOCAMPO.]

Si quis hippocampi ventrem assum **comederit**,
rabiem caninam, qua fuerit correptus, **abigit**.
Sed in vino coctam edere non debet.
Nam statim hic cibus ventrem **conturbat**;
et oritur singultus, deinde tussis, tum **tremor**,
tum convulsio et membrorum et cordis;
et inflammatio cerebrum infestans,
et oblivio, et mugitus, et gravis sopor,
et visus hebes, quanquam igne propemodum flagrans,
et fluxus humorum e naribus crassiorum,
et sitis tanquam flamma urgens corpus:
ac modicum inter hæc ubi præterfluit **tempus**,
sternutatione concussum corpus omne **rumpitur**.

ΠΕΡΙ ΜΥΓΑΛΗΣ.

Ἡ μυγαλὴ δέδοικεν ἐκτόπῳ φύσει
γραμμὰς ἁμαξῶν ἐκ τροχῶν εἰργασμένας.
Ναρκᾷ γὰρ αὐταῖς ἐμπεσοῦσα, καὶ τρέμει,
βραδύνασα δὲ καὶ τελευτᾷ πολλάκις.
Καὶ τοὺς ὑπ' αὐτῆς δυστυχῶς δεδηγμένους
ἐκεῖθεν ἀρθεὶς ἐξιᾶται χοῦς μόνος·
καὶ γὰρ τὸ λυποῦν εὐμαρῶς ὑπεξάγει
βραχὺς ἐπ' αὐτῆς τῆς τομῆς πεπασμένος.

67 (64). DE MURE ARANEO.

Mus araneus per singularem naturam timet
orbitas rotis curruum factas:
nam torpet, quando iis incidit, et tremit,
morata autem *ibi* etiam exstinguitur sæpe.
Et qui ab eo infeliciter morsi sunt, eos
solus ex illis *orbitis* exceptus pulvis sanat:
nam doloris efficientem causam facile ejicit
ille non copiose ipsi vulneri inspersus.

ΠΕΡΙ ΚΡΟΚΟΔΕΙΛΟΥ.

Ὠῶν δὲ σωρὸν ὁ κροκόδειλος κύει,
μετὰ δὲ τὴν ἔκλεψιν εὐθὺς τῶν τόκων
ἔγκεντρος ἐξέρπει τις αὐτοῦ σκορπίος,
ὑφ' οὗ τελευτᾷ πρὸς φθορὰν πεπληγμένος.

68 (65). DE CROCODILO.

Ovorum autem acervum crocodilus parit:
sed post exclusionem fœtuum statim
ex crocodilo prorepit aculeo instructus scorpio,
a quo perit *ille* letaliter ictus.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΩΝ ΑΙΘΙΟΠΙΚΩΝ.

Αἰθιόπων δράκοντες, εἰ θηρᾶν δέοι,
χαίνοντες ἀσθμαίνουσιν εἰς τὸν ἀέρα,
καὶ τῶν πετεινῶν τὰς κρεμαστὰς ἀγέλας,
ἴυγξι θερμῆς εἰσπνοῆς κηλουμένας
καὶ σπωμένας ἄνωθεν εἰς γῆν ἀθρόας,
ἐκ τῶν γνάθων ἕλκουσιν εἰς τὴν γαστέρα.
Θῆρας δὲ νυκτὸς ἑλλοχῶσι δυσμάχους,
καὶ βοῦς τιθασσοὺς, καὶ κριοὺς ἐξ αὐλίων,
ἄμαχον ἰσχὺν εὐτυχοῦντες, αὐτάναξ.

69 (66). DE DRACONIBUS ÆTHIOPICIS.

Æthiopum dracones, quum venandum sibi esse viden!,
hiantes halant in aerem;
et volatilium suspensos greges,
illecebris calidæ spirationis delinitos
et superne deductos ad humum confertim,
per maxillas trudunt in ventrem.
Noctu autem insidiantur bestiis ferocibus,
et bubus mansuetis, et arietibus ex stabulis,
invictum robur naturæ beneficio habentes, o rex.

ΠΕΡΙ ΟΦΕΩΣ.

Δόνακι τυφθεὶς ὁ θρασὺς ἅπαξ ὄφις
κεῖται θανατῶν· ἂν δὲ τύψῃς πολλάκις,
ὀργῇ κατὰ σοῦ, καὶ προβάλλει τὸ στόμα,
πρὸς ἀντιπαράταξιν ἠρεθισμένος.
Δακὼν ὄφις ἄνθρωπον, Αὐσονοκράτορ,
αὖθις ὑπελθεῖν τοὺς μυχοὺς οὐκ ἰσχύει,
τῆς γῆς ἀγαθὴν ἐκφερούσης τὴν δίκην·
ἐᾷ γὰρ αὐτὸν, ὡς φονευτὴν ἀγρότην,
πικρῶς διαζῆν εἰς νομὰς ὑπαιθρίους.

ΠΕΡΙ ΥΣΤΡΙΧΟΣ.

Ὑστριξ δὲ τὰς ἄνωθεν ἐκπέμπει τρίχας,
ἃς ἡ φύσις ἔθηξε καὶ πρὸ τῆς μάχης·
φρίξασα γὰρ τὰ νῶτα, βάλλει τοὺς πέλας,
ὡς ἀπὸ νευρᾶς εὐστοχῶν τις τοξότης.

ΠΕΡΙ ΤΟΥ ΔΗΓΜΑΤΟΣ ΤΗΣ ΑΣΠΙΔΟΣ.

Τῆς ἀσπίδος τὸ δῆγμα, δῆγμα θανάτου.
Μὴ, μὴ, Γαληνὲ, μηδὲ φάρμακον χέῃς.
Ὁ σφυγμὸς ἐξέλιπεν, ὁ ζῶν ἐῤῥύη,
καὶ σὺ τὸ θαῤῥεῖν ὡς ὀνῆσον εἰσφέρεις;
ἔα· νικᾷ τὸ δῆγμα τὴν εὐτεχνίαν.

ΠΕΡΙ ΟΦΕΩΣ ΤΟΥ ΚΕΡΑΣΤΟΥ.

Λευκός τις, Ἱππόκρατες, ἀκριβῶς ὄφις,
ἐπὶ κεφαλῇ γαυριῶν κερασφόρῳ,
τὸν ἄνδρα δακὼν, τῆς πνοῆς ὑπεξάγει·
τί γοῦν ἐπ' αὐτῷ δυσφοροῦντι πρακτέον;—
Οὐκ οἶδα, φησί· πρὸς γὰρ ἄχρονον πάθος,
ὃ καθάπαξ ἔῤῥευσεν εἰς τὴν καρδίαν,
ἡ τῶν ἰατρῶν ἐκπεφαύλισται κρίσις.—
Ἆρ' ἡ νόσος παρῆλθε καὶ τοὺς σοὺς ὅρους,
τῶν ἀφορισμῶν εἰς κενὸν πεφρασμένων;
τί τοῦτο; ναρκᾷς; τὴν περίστασιν τρέμεις;
Ὦ σῶτερ, ὀκνεῖς καὶ τριβὴν ζητεῖς χρόνου;
παρὸν κατ' αὐτῆς τῆς νομῆς τῆς ἐν βάθει
ἢ δεσμὸν, ἢ σίδηρον, ἢ στέαρ φέρειν,
ἢ φαρμάκου κύλικα θερμοῦ τὴν κρᾶσιν.
Ἐγὼ δὲ λαβὼν εὐτελῆ ψύλλαν μόνην
(ἀπόκρυφον γὰρ ἐκκαλύπτω νῦν λόγον)
καὶ θεὶς ἐπ' αὐτῆς τῆς λαβῆς τοῦ δήγματος,
λύω τὸ λυποῦν, καὶ κατείργω τὴν νόσον,
καὶ τῆς τελευτῆς ἐξορίζω τὸν φόβον.

ΠΕΡΙ ΟΦΕΩΣ ΤΟΥ ΙΝΔΟΥ.

Ἔστι τις, ὦ κράτιστε, παρ' Ἰνδοῖς ὄφις,
ᾧ σπιθαμὴ τὸ μῆκος, ἡ δέ γε χρόα

70. DE SERPENTE.

Arundine semel ictus serpens violentus
jacet moribundus : at si ferieris sæpe,
intumescit contra te, et rictum exserit,
ad resistendum incitatus.
Serpens ubi hominem momordit, Ausonum rex
rursum subire cavernam non valet,
terra justam pœnam decernente :
sinit enim eum, utpote sicarium agrestem,
vivere acerbe in subdialibus pascuis.

71. DE HYSTRICHE.

Hystrix *ut tela* dorsi setas emittit,
quas natura exacuit jam ante pugnam :
nam ubi inhorrescere fecit dorsum, petit prope stantes,
ut a nervo probe collimans sagittarius.

72. DE MORSU ASPIDIS.

Aspidis morsus est morsus mortis.
Ne, ne *adsis*, Galene, neve pharmacum fundas.
Pulsus defecit, vivus excessit, [rum?
et tu tuum « Bono sis animo » affers tanquam opem latu-
Sine! vincit morsus tuam sollertiam.

73. DE CERASTE SERPENTE.

Albissimus quidam, Hippocrates, serpens,
de capite superbiens cornigero,
hominem ubi momordit, spiritus expertem reddit :
quid igitur de laboranti faciendum? —
Nescio, inquit : nam ad momentaneum malum,
quod semel in cor influxit,
medicorum judicium vim omnino nullam habet. —
An hic morbus superat etiam tuas præscriptiones,
ut Aphorismi incassum sint scripto mandati?
Quid hoc? torpes? hunc casum extimescis?
O sospitator, cunctaris et quæris moram temporis?
quum præsto sit ut adversus ipsum malum in intimis grassans
aut deligationem, aut ferrum, aut axungiam afferas,
aut remedii poculum calidi temperatum.
At ego sumpto viii pulice solo
(nam arcanam nunc aperio rationem)
et posito in ipso labro vulneris morsu facti,
discutio malum et cohibeo morbum,
et mortis abigo metum.

74. DE INDICO SERPENTE.

Est aliquis, o Potentissime, apud Indos serpens,
cui palmi majoris longitudo, color autem

δοκεῖ φέρειν ἔξαμμα βαθὺ πορφύρας·
καὶ πᾶσα λευκὴ τῆς κεφαλῆς ἡ πλάσις,
καθάπερ ἁπλοῦν καὶ νεόβλυτον γάλα.
Καὶ ζῶν μὲν αὐτὸς ἐνδακεῖν οὐκ ἰσχύει·
νωδὸς γάρ ἐστι, καὶ ψιλὸν χοῦν ἐσθίει·
ἁλοὺς δὲ νυκτὸς, καὶ κρεμασθεὶς ἡμέρας,
καὶ κατὰ μικρὸν τὴν πνοὴν ἀποκρίνων,
ἰχῶρα τοῦ στόματος ὑγρὸν ἐκπτύει,
καὶ πήγνυται τὸ ῥεῦσαν εἰς εἶδος μέλαν.
Ἄλλας δὲ νεκρὸς αὖθις ἐγχεῖ λιβάδας,
αἳ δακρύων ἔχουσιν ἀρκεύθου χρόαν.
Τούτων, βασιλεῦ, καὶ σταγὼν δήπου μία
νεκρὸν παρευθὺς τὸν πιόντα δεικνύει.
Ὁ μὲν γὰρ ἐγκέφαλος οὐκ ἔχων βάσιν
ἐκ τῶν ἀγωγῶν τῆς ῥινὸς διαῤῥέει·
τὸ σύντονον δὲ τῆς φθορᾶς, τῶν ὀμμάτων
πυκναῖς τὸ ληφθὲν ἐκτροπαῖς διαστρέφει,
σπασμόν τε ποιεῖ, καὶ θρασύδειλον τρόμον,
καὶ δακρύων ἄκλαυστον ἐντεῦθεν χύσιν.
Τὸ πρόδρομον δ' οὖν καὶ βαφῆς ἄνευ μέλαν,
ἀκμὰς ὀδυνῶν, καὶ χρονίζουσαν φθόην,
καὶ κνησμονὴν, καὶ βῆχα, καὶ θερμὸν κάρον,
καὶ καρδίας βρύχοντα παλμὸν εἰσφέρει.

ferre videtur saturam flammam purpuræ :
et alba est tota capitis configuratio,
tanquam merum et recens musum lac.
Ac dum vivit ille, morsum inferre non valet;
nam est edentulus, et nudo pulvere vescitur :
verum captus noctu, et suspensus interdiu,
et sensim spiritum dimittens,
serum ex ore liquidum eructat,
et coalescit hoc fluentum in speciem nigram.
Alias autem rursus post mortem fundit stillas,
quæ lacrimarum juniperi colorem habent.
Harum, rex, vel una videlicet gutta
mortuum illico reddit eum qui biberit.
Nam cerebrum, non *amplius* fundamentum habens,
ex canalibus narium perfluit :
intenta autem vis mali oculos
correptos frequentibus eversionibus distorquet, [tum,
et convulsiones efficit, et tremorem audacia et *timore* mix-
et lacrimarum ex illis sine fletu effusionem. [grum est,
Jam quod initio *e serpente* profluxerat et sine tinctura ni-
acutissimos dolores, et lentam tabem,
et pruriginem, et tussim, et febricosum soporem,
et cordis cum *dentium* stridore palpitationem infert.

ΠΕΡΙ ΟΦΕΩΣ ΤΟΥ ΧΕΡΣΥΔΡΟΥ.

Πατῶν δέ τις χέρσυδρον οὐκέτι πνέει·
κἂν ἄλλος εὐθὺς τοῦ παρελθόντος θίγοι,
τοῖς δακτύλοις, κράτιστε, φλυκταίνας φύει.

75. DE NATRICE.

Si quis autem natricem calcat, jam spirare cessat :
quodsi alius mortuum e vestigio tetigerit,
ei in digitis, Potentissime, pustulæ exoriuntur.

ΠΕΡΙ ΟΦΕΩΣ ΑΡΑΒΙΚΟΥ.

Ὄφις δέ τις ἄθυμος ἐκ γῆς Ἀράβων
κτείνει φονευθεὶς τὸν φονευτὴν ὀξέως,
πλὴν ἐν συριγμοῖς καὶ πνοῆς διεξόδοις,
ὑφ' ὧν διαῤῥεῖ καὶ χιτὼν καὶ σαρκίον.
Νωδὸς γάρ ἐστι, καὶ πατάσσει μετρίως.

76. DE ARABICO SERPENTE.

Serpens autem ignavus quidam ex Arabia
occisus interficit occisorem suum statim,
non morsu, sed sibilis et spiritus exeuntis flatibus,
per quos diffluit et amictus et caro.
Nam edentulus est *ille anguis* et ferit modice.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΩι ΙΝΔΩι ΠΟΤΑΜΩι ΛΙΘΩΝ.

Ἀλλ' εἰς τὸν Ἰνδὸν τὸν ποταμὸν τὸν μέγαν
ἔστι τις, ὡς λέγουσι, πορφυροῦς λίθος,
ὃς καὶ φυσικῶς ἐκδιώκει τοὺς ὄφεις,
ὡς λιβανωτὶς καὶ καλαμίνθη χλόη,
καὶ πυκνόφυλλος ἄγνος ἐψεκασμένος.
Καὶ γίνεται πῦρ εἰς χεθεῖσαν ἰκμάδα·
ῥιπίζεται δὲ, καὶ τὸ θερμὸν ἀμβλύνει,
δριμύν τε καπνὸν πυρπολούμενος βρύει.
Καὶ ταῖς γυναιξὶν ἀδρανῆ δρᾷ τὰ βρέφη,
καὶ δῆγμα δεινὸν εὐμαρῶς ἀνατρέπει.

77. DE LAPIDIBUS IN INDO FLUMINE.

Verum in Indo flumine magno
est quidam, ut narrant, purpureus lapis,
qui natura sua serpentes abigit,
ut libanotis et calamintha foliis,
et vitex fronde densus *liquore* guttatim sparso.
Et ignis fit ad infusum *lapidi* humorem :
ventilatur *flabello*, et æstus restinguitur;
mordentemque fumum dum uritur scaturit.
Ac mulieribus *gravidis* infantes reddit quietos,
et morsionem vehementem facile sedat.

[illegible] ΤΟΥ ΕΝ ΤΩι ΑΥΤΩι ΠΟΤΑΜΩι ΣΚΩΛΗΚΟΣ.

Πλὴν εἰς τὸν Ἰνδὸν τίκτεται σκώληξ μόνος,
ὃς ἔστιν ἑπτάπηχυς εἰς ἧττον πάχος·
ζῶον δὲ πᾶν καὶ ξύλον, ἀλλὰ καὶ λίθον,
ὀδοῦσι δυσὶν, Αὐσονάρχα, συντρίβει.
Καὶ κρύπτεται μὲν, εἰ δὲ ταῖς ὄχθαις πίνοι
κάμηλος, ἢ βοῦς, ἐμφρυγεῖσα τῷ πνίγει,
ἥρπασε δὴ τὸ κτῆνος ὑπανερπύσας.
Τοῦτον δέ τις κύμβαχον ἐξάψας βρόχοις,
ὑγρὰν κατ' ἐχθρῶν εὐτυχῶν ἔγνω φλόγα·
καὶ γὰρ ὁ νεκρὸς ἀνθρακεὺς ἢ πυρφόρος
ἠλεκτροειδὲς ἐκ ῥινὸς λείβει στέαρ,
οὗ καὶ σταλαγμὸς ἐγχεθεὶς ἐπὶ ξύλων
ἔφλεξεν ὡς πῦρ, εἰς δὲ τεῖχος ἐκ λίθων
ὀξὺς κεραυνὸς καὶ νεφῶν πλὴν εὑρέθη.
Τούτῳ, βασιλεῦ, τῷ πυρὶ τῆς ἰκμάδος
Ἰνδῶν βασιλεῖς πυρπολοῦσι τὰς πόλεις,
αἳ μηδ' ὅλως εἴκουσι δασμοὺς εἰσφέρειν.

ΠΕΡΙ ΦΑΛΑΓΓΙΟΥ.

Δεδηγμένος δέ πού τις ἐκ φαλαγγίου
ναρκᾷ, βασιλεῦ, καὶ κλονεῖται, καὶ τρέμει
καὶ ψύχεται μὲν τῶν μελῶν τὰς ἀκρίδας·
συστέλλεται γὰρ τῶν φλεβῶν ἡ θερμότης·
ἐμεῖ δὲ χυμοὺς, ἀλλὰ καὶ σπᾶται βρύχων·
ἔπειτα παθὼν ἰσχυρὰν ὠταλγίαν,
ὀρθοῖ τὸν αὐλὸν τῆς ψυγείσης αἰσχύνης.
Τούτου δὲ πᾶς ἄδηκτος εἰ μόνον θίγοι,
πάντων μετασχὼν τῶν παθῶν ἀπορρέει.

ΠΕΡΙ ΖΩΟΥ ΡΑΓΟΣ.

Ἔστι δὲ καὶ ῥὰξ ἐκ γονῆς φαλαγγίων,
ῥαγὶ σταφυλῆς ἐμφερὴς, καὶ μικρόπους·
κτείνει δὲ γοργῶς, Αὐσονάρχα, τοὺς πέλας,
πλήττουσα τῷ στόματι γαστρὸς ἐκ μέσης.

ΠΕΡΙ ΑΡΑΧΝΩΝ.

Εὐμήχανος δὲ τῶν ἀραχνῶν ἡ φύσις
καὶ παρθένους νικῶσα λεπτοδακτύλους·
τὰς γὰρ ἀπαγεῖς ἰκμάδας τῶν ἐγκάτων
ὥσπερ μίτους νήθουσι κερκίδος δίχα·
κύκλους δὲ συνείροντες ἀλληλενδέτους,
τὰς ἀντιλαβὰς ὀργανοῦσιν ἐντόμους·
παχυτέροις δέ τισι τοὺς κύκλους βρόχοις
εἰς ἀέρα κρεμῶσιν, οὐκ οἶδα πόθεν·
ἀφίσταται γὰρ πᾶσα τοῦ μέσου βάσις
τῷ φιλοτεχνήματι συντεθειμένη·
καὶ κλέπτεται μὲν ἡ λαβὴ τῶν κλωσμάτων·

78. DE VERME IN EODEM FLUVIO.

Sed nascitur in Indo unum *pestiferum animal*, vermis,
qui septem ulnas est longus ad minorem crassitiem:
omne autem animal et lignum, atque etiam lapidem,
duobus dentibus, rex Ausonum, conterit.
Et latet quidem abditus, sed quum in ripis *stans* bibit
camelus, aut bos, tosta fervore,
jam subrepens corripit jumentum.
Hunc aliquis pronum ubi funibus suspenderat,
humidam contra hostes se nancisci cognovit flammam:
nam mortuus *factus* carbonarius aut ignifer
succini similem e naribus stillat adipem,
cujus vel gutta infusa lignis
urit tanquam ignis, et ad murum lapideum
invenitur rapidum fulmen absque nubibus.
Hoc, rex, igne humoris
Indorum reges incendunt urbes
quæ prorsus recusant tributa pendere.

79. DE PHALANGIO.

Alicubi autem [*in Zacyntho*] morsus aliquis a phalangio
torpet, rex, et concutitur, et tremit.
Et alget quidem in extremitatibus membrorum;
nam contrahit se venarum calor; [dens:
vomit autem humores, atque spasmum etiam patitur frendeinde correptus violento aurium dolore
erigit canalem *quamquam* refrigerati pudendi.
Hunc *hominem* non morsus quisque si tetigerit modo,
omnium illorum dolorum particeps occidit.

80. DE RHAGE ANIMALCULO.

Est etiam Rhax *animal* e genere phalangiorum,
rhagi id est acino uvæ simile, et brevissimis pedibus:
sed occidit celerrime, rex Ausonum, eos qui prope accedunt,
ore feriens ex medio ventre *ubi os situm*.

81 (67). DE ARANEIS.

Artifex est natura aranearum:
et virgines vincens *præditas* argutis digitis:
nam humores intestinorum nondum induratos
tanquam fila nent *et texunt* sine pectine:
et orbes dum serunt invicem implicatos,
adversa iis subtemina fingunt incisa *orbibus*:
crassioribus autem orbes liciis quibusdam
in aerem suspendunt nescio unde:
nam sejuncta est omnis a medio basis
quæ composita sit *fulciendo* huic operi artificioso;
et subducitur aspectui staminum *quasi* ansa:

Ὀπαίθριος γὰρ ἡ τοσαύτη λεπτότης·
στηρίζεται δὲ τῆς ὑφῆς ἡ πυκνότης
εἰς τὰς ἀραιὰς τοῦ κενοῦ περικλάσεις.
Μυίαις δὲ, καὶ κώνωψι, καὶ κρυψιπτέροις
τεταμένον θήρατρον ἀράχνης φέρων,
ἐκ τοῦ παρεμπίπτοντος ἁπλῶς ἐσθίει.
Καὶ ζῇ κρεμαστὸν καὶ φιλήσυχον βίον,
τὸ κέντρον οἰκῶν, καὶ σκοπῶν τὸ δίκτυον,
μὴ νῆμα βαγῇ, καὶ τὰ κύκλῳ συμπέσῃ,
πνοῆς παρολκαῖς ἐκλυθέντα συντόνοις.
Ἐξ ὠδίνων δὲ γίνεται μητροκτόνος,
τοὺς τῶν ἐχιδνῶν ἐκμιμούμενος τόκους.

nam in ætura *stat* tanta subtilitas :
sed stabilitur texturæ hujus densitas
in raris vacui anfractibus.
Muscis vero, et culicibus, et *insectis* quæ alas tectas labe
araneus extensum rete offerens,
ex omni incidente cibum capit.
Ac vivit aeriam et quietis amantem vitam,
centrum incolens, et speculans rete, [concidat
ne rumpatur tela, et quæ circa *rupturam* sunt *reliqua*
soluta venti flatibus violentis.
Post partum autem fit matris occisor,
viperarum pullos imitans.

ΠΕΡΙ ΜΥΩΝ ΤΩΝ ΚΑΝΑΤΑΝΩΝ.

Ἐκ τῶν μυῶν, κράτιστε, τῶν Κανατάνων
(οὕτω γὰρ ἐκ φάρυγγος Ἰνδὸς ἂν λέγοι)
κύουσαν εἴ τέμοι τις εἰς τὴν γαστέρα,
εὑρίσκεται ζῶν καὶ σφαδάζον τὸ βρέφος·
καὶ τοῦτο ῥαγὲν δείκνυσιν ἄλλο βρέφος
ὡς ἐκ παρασπέρματος ὠργανωμένον.

82 (68). DE MURIBUS CANATANIBUS.

E muribus, Potentissime, Canatanibus
(nam ita e gutture Indus dixerit)
gravidam si quis incidat in ventrem,
reperitur vivus et palpitans fœtus :
et hic ruptus ostendit alium fœtum
tanquam ex superfœtatione formatum.

ΠΕΡΙ ΤΩΝ ΟΠΙΣΘΟΝΟΜΩΝ ΒΟΩΝ.

Ἰνδὸν, βασιλεῦ, τὸν μελάγχρουν ἠρόμην,
ἐκ Λιβύης ἥκοντα τῆς παρηλίου,
Πῶς τὴν πόαν κείρουσιν ἐξ ὀπισθίου
βόες παρ' ὑμῖν εἰς νομὰς ἠθροισμένοι; —
Ὅτι γε, φησὶν, οὐχ ὁρῶσι τὰ πρόσω·
ἐγκείμενον γὰρ τῶν κεράτων τὸ πλάτος
τὴν ὀπτικὴν δύναμιν αὐτοῖς ἀμβλύνει.

83 (69). DE BUBUS RETRORSUM PASCENTIBUS.

Indum, rex, interrogavi nigrum,
qui e Libya soli propinqua venerat,
Qui gramen tondent retrocedentes
boves apud vos in pascua collecti? —
Quoniam, inquit, non vident quæ ante se sunt :
nam incumbens *oculis* cornuum latitudo
cernendi vim iis obtundit.

ΠΕΡΙ ΕΧΕΩΣ [ΚΑΙ ΕΧΙΔΝΗΣ].

Ἔχις δὲ θερμὸς προσπλακεὶς τῇ συζύγῳ,
καὶ τὸν τέως ἥδιστον ἀνύσας γάμον,
κεῖται φονευθεὶς ὑπὸ τῆς ἐραστρίας,
τούτῳ σὺν ὀργῇ λανθανόντως ἐμφύσης,
καὶ τὸν σοβαρὸν ἐκτεμούσης αὐχένα.
Πλὴν ἀλλ' ὁ μὲν τέθνηκεν, ἡ δὲ νῦν κύει·
μετὰ δὲ μικρόν τινα τὰ βρέφη χρόνον
τὴν μητρικὴν ῥήξαντα νηδὺν ἐξέδυ.
Μῆ γοῦν τετιμώρηκε τῷ φυτοσπόρῳ;

81 (70). DE VIPERA.

Vipera mas ardens complicatur cum femina,
et postquam suavissimas aliquamdiu nuptias peregit
jacet occisus ab amante conjuge,
ei cum iracundia clam inhærente mordicus
et superbum cervicem exsecante.
Attamen moritur quidem hic, illa autem jam gravida est
verum post breve tempus pulli
maternum uterum rumpentia exeunt.
Nonne ulti sunt satorem suum?

[ΠΕΡΙ ΕΧΕΩΣ ΚΑΙ ΜΥΡΑΙΝΗΣ.]

Ἔχις δὲ καὶ μύραινα συνδυαζέτην,
ὁ μὲν πρὸς αὐτὴν τῆς ὀπῆς ἐξερπύσας,
ἡ δὲ πρὸς αὐτὸν ἐκ ῥοῆς ἀνηγμένη.
Καὶ πρὶν, βασιλεῦ, συνδραμεῖν εἰς τὸν γάμον,
εἰμεῖ τὸν ἰὸν ὡς γλυκὺς ὁ νυμφίος,

[DE VIPERA ET MURÆNA.]

Vipera mas et muræna mutuo se jungunt amore.
ille ad hanc e latibulo proserpens,
hæc ad illum emergens e fluctibus.
Et antequam, rex, concurrant ad nuptias,
virus exspuit sponsus, ut delicatus,

καὶ τοῦ συριγμοῦ ταῖς ἴυγξιν αὐτίκα
παρακαλεῖ πρὸς λέκτρα τὴν ἐρωμένην.
Καὶ τοῦ παρ' ἀμφοῖν συντελεσθέντος γάμου,
(18) ὁ μὲν τὸν ἰὸν αὖθις ἀνιμήσατο,
καὶ κατὰ τῆς γῆς θᾶττον ἑρπύσας ἔδυ,
ἡ δὲ πρὸς ὑγρὰς ἀπενήξατο τρίβους.

et sibilorum illecebris statim
advocat ad torum amicam.
Atque amborum nuptiis absolutis,
ille virus rursus sorbet
et sub terram ocius reptans se condit,
illa autem in humidas nando abit semitas.

ΠΕΡΙ ΚΗΤΩΝ.

Πρηστὶς, κριὸς, ζύγαινα, πάρδαλις, λέων,
καὶ φύσαλος, μέγιστα κητῶν εὑρέθη.
Εἰσὶ δὲ νωθρὰ τῷ βαρὺν ὄγκον φέρειν·
καὶ φωτὸς ἰθύνοντος ἐστερημένα,
ἡγουμένους ἔχουσιν ἰχθῦς τῶν τρίβων·
(6) ἃ κατόπιν τέμνοντα τὸν ῥοῦν τὸν μέγαν
(πατάσσεται γὰρ τοῖς πτεροῖς τῶν συννόμων
ἡ τοῦ πρόσω κύματος ἀντιτυπία)
χαίνουσι, καὶ λάπτουσι καθάπερ κύνες,
ὡς ἂν τὸν ἐσμὸν ἐκροφῇ τῶν ἰχθύων
καὶ τὴν παρεμπίπτουσαν ἀφθόνως ὕλην.
(12) Τούτων δὲ κἂν ἓν, ὡς Θεόφραστος λέγει,
ἀναῤῥαγῇ πρὸς ὕψος ἐκ τοῦ πυθμένος,
παπαὶ κλύδων πόῤῥωθεν, οὐκ ὄντος γνόφου,
καὶ χέρσος ὑγρὰ, καὶ κινούμενος λόφος.

85 (71). DE CETIS.

Prestis, aries, zygæna, pardalis, leo,
et physalus, cetorum maxima inventa sunt.
Sunt autem ignava, quod gravem molem *corporum* ferunt;
et lumine regente privata,
habent pisces duces itinerum.
Hæc retro secantia magnos fluctus
(nam consortium pinnis verberatur
undarum ante *cete* repercussio)
hiant et lambunt ut canes,
quo examen sorbeant piscium
et simul incidentem copiose materiam.
Horum si vel unus, ut Theophrastus dicit,
erumpat sursum e gurgite,
vah! fluctus refugiens sine *vento* turbine,
et continens humida, et mobilis mons.

ΠΕΡΙ ΔΕΛΦΙΝΟΣ [ΚΑΙ ΛΕΟΝΤΟΣ].

Ἰχθὺς ὁ δελφὶς, ἀλλ' ἂν ἴδοι ναυτίλους,
σκιρτᾷ πρὸς αὐτοὺς, ἀναφυσσῶν ἀσμένως,
καὶ συμπαραπλεῖ, καὶ προπέμπει τὸ σκάφος.
Αὔραν δὲ τῷ πλῷ σωστικὴν προμηνύει
καὶ μετρίου κύματος ὑπτίαν χύσιν,
(6) ἥδιστον ἀφρὸν ἐκδιδοὺς τῶν ἁλμάτων.
Ἔχων δὲ τὴν κίνησιν εἰς πάντα χρόνον,
εἰ δεῖ τι μικρὸν καὶ καθεύδειν τὴν φύσιν,
εὐθὺς ἀναδὺς ἐξ ἀδήλου πυθμένος,
κεῖται καθ' ὑγρῶν ἐκταθεὶς ἐπὶ στόμα·
καὶ τοῦ βάρους ἄνωθεν ὁρμῶντος κάτω,
(12) κρουσθεὶς ὑπ' αὐτοῦ καθάπαξ τοῦ δαπέδου,
ἀνατρέχει πρὸς ὕψος ἐκ βάθους πάλιν.
Λέων μὲν οὖν πίθηκον εἰ γηρῶν φάγοι,
πρὸ τοῦ Γαληνοῦ δεξιοῦται τὴν φύσιν·
καὶ γὰρ ἀνηβᾷ καὶ σφριγᾷ τῷ φαρμάκῳ.
Δελφὶς δὲ καμὼν ἐξορίζει τὴν νόσον,
(18) ὅταν φάγοι πίθηκον ἰχθῦν ἀφθόνως.
Τοκὰς δὲ δυοῖν εὑρεθεῖσα φιλτάτοιν
ἡ δελφὶς ἡ θήλεια, τοῦ γένους χάριν
ἔδειξε φιλόστοργον, ὡς χρὴ, τὴν φύσιν.
Προέρχεται γὰρ ἐν μεγίστοις κινδύνοις,
ἕως ἂν ᾖ δύναμις αὐτοὺς ἐξάγειν·
(24) παρὸν δὲ βιοῦν εἰς νομὰς ἀκινδύνους,
ἧδ' εὐθὺς ἁνῄρητο σὺν τῷ νηπίῳ,

86 (72). DE DELPHINO [ET LEONE].

Piscis *est* delphinus, sed quum vidit nautas,
assultat ad eos, cum lubentia *aquam* exspirans,
et a latere vehitur, et prosequitur navem.
Auram autem navigationi salutarem præsagit
et modicæ undæ supinum diffluxum,
dulcissimam spumam ciens suis saltibus.
Quum vero proprium habeat motum in omne tempus,
si pauxillum quiddam etiam dormire natura cogit,
statim emergit ex obscuro fundo et
jacet in summis aquis exporrectus in os:
ac pondere ex summo ruente deorsum,
repressus ipso plane *maris* solo
emergit rursus in summum ex profundo.
Leo quidem vetulus simiam si comedit,
præ Galeno (*præ quovis medico*) amat naturam:
namque hoc pharmaco juvenescit et vigorem recuperat.
Delphinus autem æger expellit morbum,
quando comedit simium piscem copiose.
Geminos enixa pullos ubi inventa est
delphinus femina, generis *conservandi* grati-
prolis amantem, ut oportet, monstrat naturam.
Progreditur enim in maxima pericula,
usquedum valeat eos eripere:
et quum *ei* liceat vivere tutis in pascuis,
illa statim correpta est cum suo catulo,

εἴ τις ἁλιεὺς ἢ τομὸν ῥίψας βέλως,
ἢ τρίχα πλεκτὴν, ἢ νενησμένον βρόχον,
ἀνεῖλεν αὐτὸ γειτνιῶν τῇ πορθμίδι.
(29) Τρέφει δὲ καὶ γάλακτι λευκῷ τοὺς τόκους,
προθεῖσα μαζοὺς ὡς λεχὼ παιδοτρόφος.
Δελφὶς δὲ ληφθεὶς ἐντελὴς τῷ δικτύῳ,
τέως μὲν ἡσύχασε τὴν τύχην φέρων,
καὶ τοὺς παρεμπίπτοντας ἰχθῦς ἐσθίων·
ἐπεὶ δὲ τῆς γῆς ἥσθετο ψαύσας μόνον,
τὸν κύρτον εὐθὺς ἐκτεμὼν ἀπηλλάγη.
(36) Αὐλοῦ δὲ τυχὼν, καὶ στερηθεὶς βραγχίων,
ἔμεινε παντὸς ἁλτικώτερος γένους.
Πνοῆς γὰρ ὅλκην ἐνταθεῖσαν τοῖς πόροις
παρακρατῶν καθάπερ ἀνὴρ τοξότης,
τινάσσεται μὲν, ὡς ὑπόπτερον βέλος,
πλωτοῦ δὲ παντὸς ὑπεράλλεται σκάφους.
(42) Καὶ φιλόμουσός ἐστιν ἡ τούτων φύσις,
καὶ θέλγεται μὲν εἴπερ ἀκούει λύρας,
βδελύττεται δὲ τοὺς κενοὺς αὖθις κτύπους.
Προνήχεται δὲ τῶν κατ' αὐτοὺς ταγμάτων
ὁ τῶν νέων ὅμιλος, αἱ δὲ μητέρες
ἔξῃς μετ' αὐτούς· πρὸς δὲ ταῖς θηλυτέραις
(48) ἴδοι τις ἂν φάλαγγα πυκνὴν ἀῤῥένων,
φρουρῶν, ὀπαδῶν, οὐραγῶν, ὑπερμάχων.

ΠΕΡΙ ΤΡΩΚΤΟΥ.

Τρώκτης δὲ χαλκοῦ, βασιλεῦ, παλινστόμου
σοφαῖς ἑαυτὸν μηχαναῖς ὑπεξάγει·
καὶ γὰρ ἀνωθεῖ τὴν βολὴν πρὸς τὸν βρόχον·
κἂν μὲν τὸ λυποῦν εὐχερῶς ἀποπτύσῃ,
(5) ἴδοὺ νικητὴς, καὶ δρομεύς, καὶ γεννάδας·
εἰ δ' οὖν, διασπᾷ τοῖς ὀδοῦσι τὴν τρίχα·
καὶ γὰρ ἔχει τὴν κλῆσιν ἐκ τῶν πραγμάτων.
Εἰ δ' οὐκ ἐφικτὸν ἐκτεμεῖν τὸ συνδέον,
τοῖς ἀνθελιγμοῖς τῆς πλοκῆς ἐσφιγμένον,
(10) χωρεῖ πρὸς ὁρμὰς ἀκρατῶς τιναχτρίας
(φασὶ γὰρ αὐτὸν ἁλτικὴν ἔχειν φύσιν),
ἕως ὁ χαλκὸς εἰς κενὸν διεκπέσῃ,
τομῇ τὸν ἰχθὺν εὐτελεῖ παραξέσας.
Τρώκταις δὲ συχνοῖς εὐφυῶς ἠθροισμένοις
(15) τράπεζα δελφὶς ἔκραγελς τῶν συννόμων.
Εὐθὺς γὰρ αὐτῷ συμπεσόντες ὡς κύνες,
ἐνῆψαν ἀπρὶξ εἰς τὸ σῶμα τὰς γένυς.
Ὁ δὲ σπαραχθεὶς ταῖς τομαῖς ἀνερράγη,
καὶ δίφρος οἰκτρὸς ἐξ ἀνάγκης εὑρέθη,
(20) λῃστὰς κρεμαστοὺς τῇ στροφῇ συνεξάρας.
Τοῦ δὲ χρόνου λύσαντος ὀψὲ τὴν μάχην,
οἱ μὲν πάλιν ᾤχοντο βαστώνης χάριν·
ὁ θὴρ δὲ φυγὼν τοὺς διώκτας ἀσμένως,
οὓς αὐτὸς εἱστίασεν ἐκ τῶν σαρκίων,
(25) πρὸς τὴν ἑαυτοῦ συμφορὰν ἀπηλλάγη.

si quis piscator aut acuto conjecto telo,
aut texto reti, aut torto fune,
mari eduxit illum prope accedens scapha sua.
Nutrit *illa* etiam lacte candido pullos,
præbens mammas tanquam puerpera infantum nutrix.
Delphis autem adultus quando captus est reti,
aliquamdiu quietus est fortunam ferens
et secum incidentes pisces comedens:
at quando animadvertit se attingere modo terram,
illico sagenam rupit et excessit.
Sed fistula instructus et branchiis carens,
est omni *animalium* genere ad saltum paratior.
Nam spiritus tractum in poros infusum
cohibens in se ut sagittarius *attractum arcum tenens*,
vibrat corpus tanquam sagittam alatam,
et navigantem quamvis transilit scaphum.
Etiam musicæ amans est horum natura,
et delinitur quum audit lyram,
contra autem abhorret inanes sonitus.
Agminis eorum in principe loco natat
juvenum caterva, matres autem
deinceps post illos: ac prope feminas
videris phalangem densam marium,
custodum, satellitum, agmen cogentium, propugnatorum.

87 (73). DE TROCTA.

Troctes (*q. d. Rosor*) autem, rex, a ferri recurva acie
callidis se machinis subducit:
namque retrudit uncum versus funem.
Ac si quidem molestum illud *æs* dextre exspuerit,
ecce victor *est*, et cursor, et superbus:
sin autem, dirumpit dentibus lineam:
etenim nomen *rosoris* habet ex eo quod facit.
Verum si eo pervenire non potest ut scindat nexum,
contrariis voluminibus laqueorum contortum,
ad impetus progreditur valide succutientes
(nam dicunt eum habere naturam ad saltus paratam),
usquedum æs in inane *maris* decidat,
postquam piscem incisione levi strinxerit.
Troctis autem frequentibus opportune collectis
esca *est* delphinus distractus a sodalibus.
Nam statim eum aggressi confertim ut canes,
mordicus immittunt in ejus corpus maxillas.
At ille morsibus laceratus exsilit,
et necessitate fit currus miserabilis,
dum prædones pendulos eo conversu sursum secum effert.
Tandem, tempore solvente hanc pugnam,
illi redeunt quiescendi gratia;
bellua autem lubens elapsa persecutoribus,
quos ipsa suis carnibus paverat,
cum suis doloribus discedit.

ΠΕΡΙ ΣΚΑΡΩΝ.

Τίς ἀγεληδὸν συμπεσόντας τοὺς σκάρους
εἰς πλεκτὸν ἀμφίβληστρον ἐξ οἴστρου βλέπων,
ὅταν ἴδωσι θῆλυν ἁλόντα σκάρον,
ἐξὸν παρελθεῖν ὁρμιᾶς μιᾶς δόλον,
οὐχ εὗρε τοῦ ζῆν ἐγκρατῶς διδασκάλους,
ἡδὺς ἔρως ὢν ἐκπυροῖ τὴν καρδίαν
εἰς τὰς ἐν ἀκμῇ φλεγμονὰς τοῦ σαρκίου;
Τὸ σύννομον πλὴν, ἂν ἁλοὺς ἴσως λάθοι,
παρακρατοῦσιν εἱσρυέντες ἀθρόοι·
καὶ πολλάκις ἀφῆκαν αὐτοὶ τὸν φίλον,
ὀδοῦσι πυκνοῖς ἐκτραγόντες τὸν βρόχον,
καθάπερ αὐτοὺς ἱστορεῖ τοὺς ἀνθίας
ἀνήρ τις ἰδὼν τὰς νομὰς τῶν ἰχθύων.

88 (74). DE SCARIS.

Quis scaros catervatim incidentes
in textam sagenam videns propter furentem libidinem,
quando viderint feminam scarum irretitum,
quum possint præterire unius lineæ dolum,
non invenit continenter vivendi magistros esse eorum
quorum cor inflammat dulcis amor
ad juvenilem ardorem carnis?
Sed grex, si forte unus clam captus est,
eum retinent circumfusi confertim:
ac sæpe liberarunt ipsi carum sodalem
dentibus spissis incidentes laqueum,
sicuti etiam anthias *facere* narrat
vir aliquis contemplatus greges piscium.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ.

Ποῖος δὲ τὸν κέφαλον ἰχθὺν, αὐτάναξ,
ἔνσπονδον εὑρὼν εἰς τὸ σύννομον γένος,
ἐξ οὗπερ οὐδὲν οὐδὲ φαῦλον ἂν φάγοι,
εἰ μὴ σεσηπὸς καὶ προκείμενον τύχοι,
γαστρὸς πονηρᾶς οὐ κρατεῖν ἐκμανθάνει;
σιτούμενος γὰρ τὴν διάβροχον πόαν,
ἀρκοῦν ἔχει τὸ δεῖπνον ἐκ τῶν εἰκότων.

89 (75). DE CAPITONE.

Quisnam capitonem piscem, rex, [genus,
sacra pace utentem inveniens adversus eorundem pascuorum
ex quo nihil ne vile quidem comederit
nisi computruerit et projectum sit,
malum ventrem cohibere non ediscit?
nam vescens *mari* asperso gramine,
sufficientem cœnam habet, ut credi par est.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ.

Ὁ γλαῦκος ἰχθὺς, ὡς πατὴρ παιδοτρόφος,
ὅταν περὶ τὴν νῆξιν ὀρρωδοῦν ἴδοι,
ῥοφεῖ τε χανδὸν ἐκ φυγῆς τὸ σκυμνίον,
καὶ τοῦ δέους λήξαντος, ἀνεμεῖ πάλιν·
τὸ δὲ, προελθὸν τῆς πυρᾶς τῶν ἐγκάτων,
ἐκ παραγωγῆς εὐπραγεῖ ζῶν ἀσπόρου.

90 (76). DE GLAUCO.

Glaucus piscis, ut parens infantium nutritor,
quum in natatione metu percitum videt,
hiante ore absorbet e fuga parvum catulum,
et cessante formidine, rursus evomit:
ille autem, progressus e foco intestinorum,
vivens ex productione spermatis experte lætus agit.

ΠΕΡΙ ΚΥΝΟΣ.

Κύων δὲ τὸν σκύλακα, παρόντος δέους,
ἐξ αἰσχύνης ἀνεῖλεν εἰς τὴν γαστέρα·
καὶ πάλιν αὐτὸς ἀνατεχθεὶς μητρόθεν,
ἐνήξατο ζῶν εἰς τὸ σύννομον γένος.
Τρέφει δὲ κύνας γαλεὸν καὶ κεντρίτην,
ἅμα δὲ καὶ πηλαῖον ἡ θάλαττά σοι.
Οἷς τὴν κεφαλὴν, καὶ τὸ τῆς κέρκου μέσον,
ἑκατέραις ὅπλισεν αἰχμαῖς ἡ φύσις.
Ἀλλ' εἷς μὲν αὐτῶν ἐμπεσὼν τῷ δικτύῳ,
πρὸς τὴν τελευτὴν ἐκβιάζεται τρέχειν·
οἱ δὲ τροφὴν δοκοῦντες εὑρεῖν τὸν φίλον,
χωροῦσι κοινῇ πρὸς τὸν ἄγνωστον δόλον·
ὃν ὁ στοχαστὴς δικτυεὺς ἑλκύσας
ὅλβον κυνικὸν συγκομίζει τῷ σκάφει.

91 (77). DE CANE MARINO.

Canis vero catulum, ingruente metu,
per pudenda tollit in ventrem:
ac rursum ille renatus ex matre
vivus natat ad propinquorum genus.
Nutrit autem canes galeum et centriten,
atque una etiam in cœno degentem, mare tibi.
His (*centritis*) caput et caudæ medium
natura cuspidibus utrimque positis armavit.
Sed unus eorum ubi in rete incidit,
ad mortem vi cogitur properare:
illi autem, putantes sodalem invenisse escam,
una eunt ad ignotum dolum:
quem rete qui ad scopum jecit piscator extrahit et
opes caninas in scapha reportat.

ΠΕΡΙ ΜΕΛΑΝΟΥΡΩΝ.

Φασὶ τὸ δειλὸν τῶν μελανούρων γένος,
ὅταν μὲν ἡ θάλαττα σωφρόνως ἔχῃ,
τοὺς θηρατικοὺς εὐφυῶς φεῦγον δόλους,
ὡς ψυχακερδῆ τὸν βυθὸν διατρέχειν·
(5) ὅταν δὲ χειμὼν εἰς τὸ ῥεῖθρον ἐμπέσῃ
καὶ πᾶς ἁλιεὺς δυσφορῇ πρὸς τὴν ζάλην,
ὡς ἀπὸ φελλοῦ τὰς ῥοὰς ἀνατρέχειν,
καὶ πάντα δειπνεῖν τῆς νομῆς πεφυρμένης.

ΠΕΡΙ ΣΠΟΓΓΟΥ.

Κύημά τι, κράτιστε, θαλάττης ξένον,
ὃ σπογγιὰν καλοῦσι παῖδες ναυτίλων.
Οὐκ ἄψυχον δ' οὖν, οὐδ' ἄμοιρον αἵματος,
μανὸν δὲ, καὶ ζῶν, καὶ πολύτρητον τέρας,
(5) ἐπηλυγασθὲν εἰς καλινδήθραν λίθου,
πρὸς τὰς ἀγωγὰς καρτερεῖ τῶν ῥευμάτων.
Εἴ που δὲ προσπέσοι τι τῶν ἐδωδίμων,
ζῷον τι λεπτὸν ἄλλο παρὸν ὡς φύλαξ,
ταύτην προωθεῖ τὴν δυσαίσθητον φύσιν·
(10) ἡ τὸ προσιὸν ἡσυχῇ συλλαμβάνει,
καὶ καθάπερ στόμασι, πυκνοῖς τοῖς πόροις
δειπνεῖ, βασιλεῦ, τὴν βορὰν παραυτίκα.
Ὅταν δέ τις ἄνθρωπος ἐκτέμνειν θέλῃ
τὸ ζῶν τὸ νεκρὸν τοῦ Ποσειδῶνος τέκος,
(15) οἶδε πρὸ θυρῶν σωμφορὰς ἀποκρύφους.
Τὸ μὲν γὰρ εὐθὺς τῇ βολῇ συνεστράφη,
καὶ τοὺς πόρους ἔσφιγξε, καὶ κατεστάλη,
τῇ τῆς τελευτῆς τετριγὸς περιστάσει·
ἀλγεῖ δὲ πικρῶς ὁ σφαγεὺς τὴν καρδίαν,
(20) ἕως τὸ λυποῦν τῆς λαβῆς ἀποσπάσῃ.

ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ ΘΑΛΑΣΣΙΟΥ.

Ἰχθὺς μὲν ὑγρὸς τῆς θαλάσσης ὁ δράκων·
τὴν δ' οὖν κεφαλὴν, τὰς φολίδας, τὰς γένυς,
καὶ τὰς διαυγεῖς ἀστραπὰς τῶν ὀμμάτων,
ἐκεῖνος αὐτὸς ἐστὶ τῆς γῆς ὁ δράκων.
(5) Οὗ καὶ τὸ κέντρον ἡ φύσις φαρμάξασα
προσιτὸν οὐκ ἔδειξεν ἰχθυοκτόνοις.

ΠΕΡΙ ΦΥΣΑΛΟΥ.

Εἰς τὴν Ἐρυθρὰν Ἐστὶν ἰχθὺς οὐ μέγας,
ἐγχωρίοις φύσαλος ὠνομασμένος,
ἀνείδεος μὲν τῆς κεφαλῆς τὴν πλάσιν,
ἔχων δέ τινα κόλπον εἰς τὴν γαστέρα,
(5) σμάραγδον ἂν εἴποι τις αὐτοῦ τὴν χρόαν,
ὡς ἀπὸ πυγμῆς ἀδρανοῦς τεθλασμένου·
ἐντεῦθεν ἀθρεῖ, καὶ πλατύνει τὸ στόμα.
Φαγὼν μὲν οὖν τις τοῦτον, εὐθὺς ἐρράγη·

92 (78). DE MELANURIS.

Aiunt timidum melanurorum genus,
quando mare temperatum modum tenet,
piscatorios dolos prudenter fugiens,
fundum percurrere tanquam vitæ lucrum afferentem:
quando autem tempestas in fluenta ingruit
et piscator omnis ægre fert procellam,
illud tanquam a subere sursum labi per fluctus
et omnibus vesci, pascuis conturbatis.

93 (79). DE SPONGIA.

Fœtus quidam, Potentissime, maris *est* mirabilis,
quem spongiam vocant nautarum filii.
Non inanimatum, neque expers sanguinis,
sed rarum, et vivum, et multis partibus perforatum prodi-
absconditum in volutabro lapideo, [gium,
resistit agitationi fluctuum.
Quodsi quid forte ei allabatur esculentum,
animalculum aliud quoddam tenue, quod ut custos ades-
hanc difficulter sentientem naturam impellit,
quæ allatum tranquille comprehendit,
et tanquam oribus, poris suis confertis
epulatur, rex, eum cibum statim.
Quando autem homo exsecare vult
vivam simul et mortuam hanc Neptuni prolem,
novit *illa* ad portas *esse* perniciem occultam.
Nam statim ad ictum *custodis animalculi* convolvitur
et poros constringit et recedit,
stridens ad mortis infortunium:
sed occisor acerbe laborat animo
usquedum dolentem partem *rupi* affixam resciderit.

94 (80). DE DRACONE MARINO.

Piscis *est* maris humidus draco:
is, quantum ad caput, ad squamas, ad malas,
et ad pellucida fulgura oculorum,
est ille ipse terrestris draco.
Hujus spiculum natura veneno infectum
inaccessum reddidit piscium occisoribus.

95 (81). DE PHYSALO.

In Rubro mari est piscis haud magnus,
ab indigenis Physalus nominatus,
prorsus quidem informis figuratione capitis,
sed sinum quendam habens ad ventrem
(smaragdum aliquis dixerit colorem ejus)
tanquam a pugni ictu haud valide impressi:
ex hac parte cernit, et os aperit.
Hunc si quis comedit, illico rumpitur;

χειρὶ δὲ λαβὼν καὶ παραψαύσας μόνον,
εἰς ὄγκον ὑγρᾶς φλεγμονῆς ἐξετράπη,
καθάπερ οἶδεῖ καὶ τὸ σαρκῶδες τέρας
βιφὲν κατὰ γῆς οὐκ ἐχούσης ἰκμάδα.
Πλὴν ἀπολυθὲν εἰς τὸ ῥεῖθρον, αὐτάναξ,
αὖθις ἀναζῇ, καὶ προέρχεται πλέον,
ὡς πομφόλυξ, ἢ κύστις, ἢ σφαῖρα ξένη.

ΠΕΡΙ ΙΧΘΥΟΣ ΙΝΔΟΥ.

Ἔστι παρ' Ἰνδοῖς καὶ βραχὺς ἰχθὺς μέλας,
ὃς κρύπτεται ζῶν εἰς τὸ τῶν ῥείθρων βάθος
ἕως τελευτῆς· τηνικαῦτα γὰρ μόνον
ὁ νεκρὸς ἀνέπλευσεν ὡς κούφη πίτυς.
Ὁ γοῦν τὸν ἰχθῦν τῆς ῥοῆς ἐξαρπάσας
παραυτίκα τέθνηκε; τί δεῖ φαρμάκων;

ΠΕΡΙ ΚΡΟΚΟΔΕΙΛΟΥ [ΚΑΙ ΤΡΟΧΙΛΟΥ ΟΡΝΙΘΟΣ].

Ὁ κροκόδειλος νήχεται μὲν εὐτόνως,
ἀνεὶς δὲ χανδὸν εἰς τὸ κῦμα τὸ στόμα,
βδελλῶν φορυτὸν ἐξ ἐκείνου συλλέγει.
Εἶτα διαβὰς εἰς τὸν ὄχθον ἐκ πόρου,
πίπτει κατὰ γῆς καὶ βλέπει τὸν ἥλιον,
καὶ παραγυμνοῖ πρὸς τὸ φῶς καὶ τὴν ζέσιν
τοὺς τῶν γνάθων, κράτιστε, κολπώδεις τόπους.
Ὄρνις δέ τις τροχίλος ὠνομασμένος,
τὸ ῥάμφος αὐτῆς εὐφυῶς ἐπεισφέρων,
τὰς αἱμοχαρεῖς καὶ θλιβούσας ἐξάγει,
τούτου πράως ἔχοντος εἰς τὸ συμφέρον·
καὶ τὴν κεφαλὴν ἀντὶ μισθοῦ λαμβάνει
μηδὲν κακὸν παθοῦσαν ἐκ τοῦ θηρίου.

[ΠΕΡΙ ΙΧΝΕΥΜΟΝΟΣ.]

Ἰχνεύμονος δὲ προσβαλεῖν ἠπειγμένου,
βοᾷ τι λαμπρὸν ὁ τροχίλος ἐνθάδε,
καὶ διανιστᾷ τὸν βραδὺν πρὸς τὴν μάχην,
παίων κατ' αὐτῆς τῆς ῥινὸς, καὶ θαῤῥύνων,
καὶ μηδὲ μικρὸν ἠρεμεῖν ἐπιτρέπων.
Ὁ δὲ πρὸς ὀργὴν ὡς τὸ πῦρ ἀναζέων,
αἱρεῖ τὸν ἐχθρὸν εὐχερῶς, καὶ συμπνίγει.
Ὅπλον γε μὴν ἕτοιμον ἰχνεύμων φέρων
χωρεῖ κατ' αὐτῆς εὐγενῶς τῆς ἀσπίδος·
πηλῷ γὰρ ὑγρῷ τὴν δορὰν καταχρίσας,
τὸ δῆγμα θαῤῥεῖ καὶ κρατεῖ προσερπύσας.
Ὕδωρ δὲ τῷ στόματι πολλάκις φέρων
ὁ κροκόδειλος οὗτος, ὃν Νεῖλος τρέφει,
ἐχεῖ μεταξὺ λανθανόντως τῶν τρίβων,
αἷς ἂν ὀλισθάνωσι τὰ κτήνη, τρέχει
καὶ ταῦτα δειπνεῖ συμπατῶν τῷ βορβόρῳ.
Καὶ τοὺς ὕδωρ ἥκοντας ἀρύτειν θέρους

sed si manu prehenderit et attigerit modo,
in tumorem humidæ phlegmones conjicitur,
quemadmodum tumet etiam carnosum monstrum
excussum in terram quæ humorem nullum habet:
at remissum in fluenta, rex,
rursus reviviscit, et nando provehitur,
ut bulla, vel vesica, vel globus mirabilis.

96. DE INDICO PISCE.

Est apud Indos parvus etiam piscis niger
qui vivens absconditur in fluentorum fundo
usque ad mortem: nam tunc solummodo
cadaver ejus emergit velut levis pinus.
Jam qui hunc piscem e fluctibus extraxit,
illico moritur: quid opus est medicamentis?

97 (82). DE CROCODILO [ET TROCHILO AVE].

Crocodilus natat quidem acriter,
sed hiare in undam sinens os,
hirudinum turbam ex illa colligit.
Inde transit in ripam ex flumine, et
in terra jacet aspicitque solem,
et nudat ad lucem caloremque
faucium, Potentissime, spatia sinuosa.
Avis vero quædam trochilus dicta,
rostrum suum opportune *ori illius* inferens,
sanguinis cupidas et mordentes extrahit,
dum ille quietus manet ad rem utilem:
et *avis* caput (*vitam*) pro mercede aufert
nihil mali passum ex bellua.

[98 (83). DE ICHNEUMONE.]

Ichneumone autem aggredi *crocodilum* properante,
tunc acutum clamorem edit trochilus,
et incitat tardum ad pugnam,
feriens ipsas ejus nares, et exsuscitans,
et ne pauxillum quidem quiescere sinens.
At ille in iram velut ignis inflammatus,
corripit hostem expedite, et suffocat.
Verum arma idonea ferens ichneumon
aggreditur ipsam animose aspidem:
nam ubi madido cœno pellem suam oblevit,
morsum spernit, adrepit et vincit.
Aquam autem in ore sæpe ferens
crocodilus hic, quem Nilus alit
effundit clam in mediis semitis:
in quibus ubi lapsa fuerint jumenta, accurrit
et hæc epulatur proterens in lutum.
Et iis, qui venerunt aquam haustum æstate,

τέχνῃ φυσικῆς ἐλλοχᾷ πανουργίας.
Καλύπτεται γὰρ εἰς φρυγανώδη σκέπην,
καὶ λανθάνων πρόσισι, καὶ διαβλέπει,
καὶ κατὰ μικρὸν γειτνιῶν συλλαμβάνει.
Πειρώμενος δ' οὖν ὁ σπορεὺς τῶν φιλτάτων
τοὺς ἅρπαγας μὲν, καὶ θρασεῖς, καὶ δυσμάχους,
εὐθὺς ἀπ' ἀρχῆς εὐγενεῖς δήπου κρίνει·
τοὺς δὲ πρὸς ὁρμὰς δραστικὰς νωθεστέρους,
ὡς μὴ φυσικοὺς, ἀλλ' ὑπόπτους ἐκτρίβει.
Οὗτος γέ τοι, κράτιστε, τῶν ζώων μόνος
τὴν μὲν κάτω πήγνυσι, τὴν δ' ἄνω γένυν
κινεῖ θαμινὰ, τὴν τροφὴν θλῶν ταῖς μύλαις.

ΠΕΡΙ ΚΟΣΣΥΦΩΝ ΘΑΛΑΣΣΙΩΝ.

Τοὺς κοσσύφους δέ φασι τοὺς θαλαττίους
ποθεῖν τὸν αἰσχρὸν καὶ φιλήδονον βίον,
καθάπερ ἁβροὺς καὶ σφριγῶντας βαρβάρους,
καὶ ζηλοτυπεῖν, καὶ σκοπεῖν τὰς συννόμους,
ὅταν ἐπιστὰς ὁ χρόνος τῶν ὠδίνων
εἰς φῶς προελθεῖν ἐκβιάζῃ τοὺς τόκους.
Τὰς γὰρ καθ' ὑγρῶν οὐκ ἐῶσι παστάδας
ἃς οἶδεν ἀκτῆς ἐγκοπεὺς διαγλύφειν,
τοῖς ἐκτιναγμοῖς ἐνδιδούσης τῆς λίθου.
Πλὴν καὶ παραθηρῶσιν ἐκ τῶν μετρίων
τροφὰς νεαλεῖς ταῖς λεχοῖς ἀφ' ἑστίας,
μή τις ὑπελθὼν τὰς κενὰς διεξόδους
ἢ συσκιασθῇ καὶ πτοήσῃ τὰ βρέφη,
ἢ παρασύρῃ καὶ τὰ λέκτρα συγχέῃ.

ΠΕΡΙ ΒΟΟΣ ΘΑΛΑΣΣΙΟΥ.

Ἔχει δὲ καὶ θάλασσα βοῦν δήπου μέγαν,
ὃς τίκτεται μὲν εἰς ἰλὺν πεφυρμένην,
ἰχθῦς δὲ θηρᾷν εἰς τροφὴν οὐκ ἰσχύων,
τὸν γοῦν φονευτὴν ἐλλοχᾷ τῶν ἰχθύων.
Ἐνάλλεται γὰρ ταῖς ῥοαῖς ἀναβράσας,
καὶ τὴν ἀδιάπνευστον ἐκτείνει στέγην,
κυρτῶν ἑαυτὸν, καὶ κατείργων τὸν ξένον·
ὃς ἄγχεται μὲν τῆς πνοῆς πεφραγμένης,
ἐᾷ δὲ νεκρῶν ἐμφορεῖσθαι λειψάνων
τὸν βοῦν τὸν ἐχθρὸν, τὸν μελάγχρουν, τὸν φάγον.

ΠΕΡΙ ΣΑΡΓΟΥ.

Ὁ σαργὸς ἰχθύς ἐστιν εἰς οἶστρον ζέων·
διψῶν τε φωτὸς, καὶ σιτούμενος πόας,
οἰκεῖ πρὸς ἀκτὰς παγγενὴς ἠθροισμένος,
ὅπου διασφὰξ ὑγρολάξευτος λίθου
τῶν ἡλιακῶν ἐμφορεῖται λαμπάδων.
Φιλεῖ δὲ καὶ τὰς αἶγας ἀῤῥήτῳ σχέσει·
καὶ γὰρ παραθεῖ γειτνιῶν ταῖς ἐκνόμοις.

artificio naturalis astutiæ insidiatur.
Absconditur enim sub virgultorum tegmine,
et clam procedit ac speculatur,
et sensim appropinquans corripit.
Idem quando prolem genuit, experimento noscit
raptores, et audaces, et feroces,
statimque ab initio hos esse ingenuo natu judicat;
at qui sunt ad violentos impetus ignaviores,
eos ut non ex se natos, sed suspectos excidit.
Hic enimvero, Potentissime, solus ex animantibus
inferiorem maxillam fixam habet, sed superiorem
movet frequenter, escam contundens molaribus.

99 (84). DE MERULIS MARINIS.

Merulas autem dicunt marinas
amare turpem et voluptariam vitam,
velut delicatos et luxuriosos barbaros,
et zelotypos esse, et inspectare feminas,
quando instans tempus parturitionis
in lucem procedere cogit pullos.
Nam non relinquunt in undis *structos* toros,
quas novit littoris cælum (*vis fluctuum*) exsculpere,
concussionibus cedente saxo.
Sed subinde venantur etiam modice
cibos recentes puerperis *longius* a foco (*domo*),
modice, ne quis subiens vacuas *defensore* fores
aut per tenebras exterreat recens natos
aut abstrahat et toros confundat.

100 (85). DE BOVE MARINO.

Habet etiam mare bovem sane magnum,
qui gignitur quidem in limo conturbato,
sed pisces in cibum quum non valeat venari,
ipsi occisori piscium insidiatur.
Insilit enim *homini*, ubi per fluctus emersit,
et respirationem comprimens tectum *ei* intendit
se recurvans et coercens hospitem:
qui strangulatur præcluso spiritu,
et sinit mortuis reliquiis impleri
bovem infestum, atrum colore, voracem.

101 (86). DE SARGO.

Sargus piscis est amoris furore ardens:
et lucem *solarem* sitiens, et gramina esitans,
habitat ad littora, tota ejus familia ibi congregata,
ubi caverna fluctuum cælo in rupe facta
impletur faculis solaribus.
Amat etiam capras infanda assiduitate:
nam prope ad illas a sua natura alienas accurrit.

ΠΕΡΙ ΠΟΛΥΠΟΔΟΣ.

Βορώτατον δὲ καὶ πανοῦργον τὴν φύσιν,
καὶ θερμὸν εἰς κίνησιν ἀφροδισίων
ἀεὶ καθ' ὑγρῶν τὸν πολύποδα βλέπων,
αὐτοκράτορ, τέθηπα τῆς ἀπληστίας.
Ὅταν γὰρ ἡ θάλαττα δεινόν τι βρύχῃ,
καὶ πνεῦμα πυκνὸν τὸν βυθὸν διατρέχον
τὸ ῥεῖθρον ὑψοῖ καὶ στροβῇ καὶ συγχέῃ,
θήρας ἄγων ἄγευστον ἐνταῦθα χρόνον,
αὐτοὺς ἑαυτοῦ τοὺς πλοκάμους ἐσθίει.
Τροφῆς δὲ τυχὼν ὁ φθορεὺς ἀλλοτρίας,
ὅταν ἔχῃ τὸ ῥεῖθρον ὑπτίαν χύσιν,
τὸ δαπανηθὲν εἰς ἀνάπλασιν φύει.
Καὶ τὸν μὲν ἐχθρὸν εὐχερῶς ἂν ἐκφύγοι,
τὴν ὄψιν αὐτῷ γειτνιῶντι λανθάνων·
δραξάμενος γὰρ τῆς προκειμένης ὕλης,
ἠμείψεν ἥνπερ εἶχε μορφὴν ἡ φύσις,
ὡς καὶ δοκεῖν ἐκεῖνο τυχὸν τὸ ξύλον
ἢ τὸν παρόντα λίθον ὀφθῆναι μόνον.
Προκείμενος δ' οὖν τῷ παρεῖσθαι τὸν τόνον
ἐκ τῆς περὶ τὸν οἶστρον ἀποπληξίας,
ἰοὺ θανατᾷ, κἂν βραχὺς τριβῇ χρόνος,
προθεὶς ἑαυτὸν, ἑστιᾷ τοὺς καρκίνους,
οὓς ἤσθιε πρὶν ἐλλοχῶν καὶ συλλέγων.
Τίκτει δὲ ῥᾷστα, καὶ βραχεῖ πλεῖστα χρόνῳ,
καὶ νήχεται ζῶν εὐαρίθμητον βίον.
Ὅταν δὲ χειμὼν καὶ δριμύτης ᾖ ψύχους,
καὶ μειδιῶσαν οὗτος αἰθρίαν ἴδοι,
τὸ ῥεῖθρον ἀφεὶς καὶ τὸ σύννομον γένος,
ἔξεισιν εἰς τὴν χέρσον ἕρπων ὡς ὄφις·
καὶ πέτραν εὑρὼν, καὶ ταθεὶς ἐπὶ στόμα,
ταῖς ἡλιακαῖς ἐγχρονίζει λαμπάσι·
δένδρου τε παντὸς ἂν ἐπιβαίνειν θέλοι,
καὶ τοῦτο τούτῳ ῥᾷστον, εἰς ἔργμα τρύγης.
Ἁψάμενον δὲ πηγάνου τὸ θηρίον
κινήσεως ἔρημον εὐθὺς εὑρέθη.

ΠΕΡΙ ΛΑΒΡΑΚΟΣ.

Λάβραξ δὲ χανδὸν ἐκπετάσας τὸ στόμα,
καρῖδας αἱρεῖ, πρὸς τὰ κέντρα μὴ βλέπων.
Τούτοις δὲ τοῦ φάρυγγος ἐξωδηκότος,
θνήσκει τροφῆς ὄλεθρον ὀξὺν ἁρπάσας.

ΠΕΡΙ ΜΥΡΑΙΝΗΣ.

Ὅταν ἁλιεὺς ἐκτινάξας τὸν βολον
ὑποσπάσῃ μύραιναν, Αὐσονοκράτορ,
εἰς πίθον ἀντλῶν ἀγνοεῖ κεκλασμένον.
Ἡ μὲν γὰρ εὐθὺς ἀπὸ μετρίου πόρου
διεξέδυ σώζουσα καὶ τὰς συννόμους·
ὁ δὲ βλέπων ἕστηκε τὸν βρόχον μάτην.

102 (87). DE POLYPO.

Voracissimum et callidum natura,
porro ardentem in motus amatorios
semper in undis polypum videns,
rex, obstupui ejus ventrem inexplebilem.
Nam quando mare terribilem in modum mugit,
et spissa procella fundum percurrens
fluenta extollit et versat et miscet,
tum ille venatus fructuum expers agens tempus,
ipsos rodit cirros suos.
Deinde cibo potitus corruptor alieno,
quando mare stratos fluctus habet,
consumptum regenerat per novam formationem.
Atque hostem facile effugerit,
appropinquanti oculos fallens:
nam arrepta quæ proxime jacet materia,
mutat natura eam quam habebat formam,
adeo ut videatur illud, forte lignum
aut adjacens saxum, conspici solum.
Porrectus autem per nervorum relaxationem
ex illa ad libidinem vesania,
væh! emoritur, et, quando breve abiit tempus,
proponens se ipsum convivium præbet carcinis,
quos devorabat antea insidians et colligens.
Parit autem *femina* facillime et plurima intra breve tempus,
et natat vivens brevem vitam.
Quando autem hiems obtinet et frigoris asperitas,
atque ille ridens serenum aliquando viderit,
fluentis dimissis et aquatilium genere,
exit in continentem serpens veluti anguis;
et petra inventa, et in os provolutus,
solaribus immoratur facibus:
atque arborem omnem escendere velit
(et *est* hoc ei facillimum) ad opus collectionis frugum.
Quando autem hoc animal rutam tetigit,
motu vacuum illico jacet.

103 (88). DE LUPO MARINO.

Lupus vero hiando aperiens os
squillas capit, aculeos earum non respiciens.
His autem ei fauces ubi intumuerunt,
moritur celeri pernicie cibi arrepta.

104 (89). DE MURÆNA.

Quando piscator emisso reti jaculo
attraxerit murænam, imperator Ausonum,
nescit se in fractum dolium aquam congerere.
Illa enim statim ex modico foramine
elabitur et servat etiam gregales:
at iste stat incassum aspiciens sagenam.

ΠΕΡΙ ΣΗΠΙΑΣ.

Πανοῦργος ἐστὶ τὴν φύσιν ἡ σηπία,
τῶν θηρατῶν κλέπτουσα τὴν κακουργίαν
ἐμεῖ γὰρ ἀπόσφαγμα τοῖς ῥείθροις μέλαν,
καὶ λανθάνει τὴν ὄψιν ἐνδῦσα γνόφον,
καὶ τέρπεται θηρῶσα τὴν σωτηρίαν.
Ἀλλὰ σκόπει μὴ ζῶσαν εἰς χεῖρας λάβοις·
ἄλλος γὰρ ἂν φθάνοι τις ἐκ πείρας βλέπων
ὀδόντας ὀξεῖς εἰς ἀπόκρυφον στόμα,
καὶ δῆγμα πικρὸν ἐξ ἰοῦ προηγμένον.

ΠΕΡΙ ΤΡΥΓΟΝΩΝ ΘΑΛΑΣΣΙΩΝ.

Ἰοῦ δὲ μεστὰ καὶ φθορᾶς ὀξυδρόμου
τῶν τρυγόνων τὰ κέντρα τῶν θαλαττίων·
οἷς καὶ τεθηλὸς ἂν ἀμυχθῇ δενδρίον,
μαραίνεται, ζῆν οὐκέτι δυνάμενον.
[Καὶ τοὺς ἁλιεῖς φασὶν ἐκτόπως τρέμειν
τὰ δυσχερῆ μὲν ταῦτα τοῦ ζώου βέλη.
Ἂν γάρ τις αὐτοῖς τοῖς κακίστοις κεντρίοις
πληγῇ, μόλις τε τῶν ἰατρῶν ἡ τέχνη
ῥύσαιτ' ἂν αὐτὸν τῆς φορᾶς τοῦ κινδύνου.
[Οὕτω γε φασί· κἄν ποτε ζῶον τύχῃ
τρωθῆν ἀφειδῶς τοῖς ὅπλοις αὐτοῖς πάλιν,
οὐκ εἰς μακρὰν τέθνηκεν οἰκτίστῳ μόρῳ.]
Πρὸς τοῖς γε λοιπὸν καὶ πραΰνειν τοὺς πόνους
τοὺς σφοδροτάτους τῶν ὀδόντων ὀξέως,
καὶ συντρίβειν μάλιστα τοὺς βεβρωμένους
ὀδόντας αὐτούς τ' ἐξάγειν ἀνωδύνως.]

ΠΕΡΙ ΚΕΡΔΑΛΩΝ ΘΑΛΑΣΣΙΩΝ.

Τὴν κερδαλῆν δέ φασι τὴν θαλαττίαν,
τοῖς ἐγκάτοις ἄγκιστρον εἰσδεδεγμένην,
σοφῶς ἑαυτὴν ἀπὸ τῶν ἔνδον στρέφειν,
ὡς ἱματισμὸν σηρικῶν ὑφασμάτων·
ὡς ἂν ὁ χαλκὸς ἐμπαγεὶς διεκπέσῃ.

ΠΕΡΙ ΙΟΥΛΙΔΩΝ [ΚΑΙ ΛΑΓΩΟΥ].

Φύει μὲν ἡ θάλασσα τὰς ἰουλίδας,
ἔστι δὲ φαυλότατον ἰχθύων γένος,
καὶ τοὺς ἐν ἀκταῖς μᾶλλον οἰκοῦσι λίθους·
δεινὰ δὲ λυπεῖν τοὺς ἐν ὑδροθηρίαις,
ὅταν κατ' αὐτῶν εἰσρυῶσιν ἀθροαι.
Γεγευμέναι δέ τινος ἰχθύος μόνον,
ἄβρωτον ἀπέφηναν αὐτὸν εὐθέως·
ἰοῦ γὰρ αὐταῖς πλῆρες ἐστὶ τὸ στόμα.
Κἄν τις τὸν ἰχθὺν ἀγνοῶν ἐπεσθίοι,
στροφαῖς ὀδυνῶν ἑστιᾷ τὴν γαστέρα,
ὡς καὶ λαγωὸν εἰ θαλάττιον φάγοι.
Πρὸς γὰρ τὸν ἐκ γῆς ὑπεναντίως ἔχει,

105 (90). DE SEPIA.

Callida est natura sua sepia,
piscatorum eludens malitiam :
vomit enim cruorem in undas atrum,
et effugit aspectum induta tenebras,
et lætatur captans salutem.
Sed cave ne vivam in manus sumas :
nam sic alius quis *te* prior experiendo cognoverit
dentes acutos in ore recondito
et acerbum morsum ex veneno illatum.

106 (91). DE PASTINACIS MARINIS.

Veneni autem pleni et mortis præsentissimæ
sunt pastinacarum aculei marinarum :
quibus etiam florens si saucietur arbor,
arescit, non amplius vivere valens.
[Et piscatores dicunt vehementer metuere
gravia quidem hæc animantis illius tela.
Nam si quis hisce pessimis aculeis
ictus fuerit, vix medicorum ars
liberet illum a præcipiti periculo.
[Sic dicunt : etiam si quando tera sit
vulnerata largiter armis illis rursum,
post brevem moram occidit miserabilissima morte.]
Præterea etiam *dicunt pastinacæ aculeum* mitigare dolores
vehementissimos dentium celeriter,
et conterere maxime exesos
dentes eosque ejicere sine dolore.]

107 (92). DE VULPIBUS MARINIS.

Vulpem autem narrant marinam,
hamo in visceribus recepto
sollerter ex interaneis se invertere
ut vestem sericæ texturæ,
quo æs *intestinis* infixum excidat.

108 (93). DE IULIDIBUS [ET LEPORE].

Gignit mare iulidas;
est autem *hoc* pessimum genus piscium,
et littoralia saxa magis incolunt :
et lædere valent venatores maritimos,
quando in eos irruunt confertim.
Quum autem piscem aliquem gustarunt modo,
inhabilem eum ad edendum reddunt statim :
nam veneni ipsis plenum est os.
Et si quis talem piscem nescius comedat,
torminibus ventris laborans cibum capit,
quod etiam fit si leporem marinum edat.
Nam ad terrestrem *leporem* contrario est habitu,

καὶ γυμνὸς οὗτός ἐστι μικροῦ κοχλίας.

et hic quidem nudus est pæne ut cochlea.

ΠΕΡΙ ΠΕΡΣΕΩΣ.

Ἰχθὺς ὁ περσεὺς ἐμφερὴς ταῖς ἀνθίαις,
μᾶλλον δὲ τοῖς λάβραξι τοῖς βορωτάτοις.
Ὃς ἐκ κεφαλῆς εἰς ἐρυθρὰν γαστέρα
ζώναις χρυσαῖς ἄντικρυς ἠγλαϊσμένος
υἱὸς μυθικῶς Ἀφροδίτης ἐκρίθη.
Πλωτῶν δὲ θηρῶν δυσμενῶν κατισχύει,
ὀδοῦσι μακροῖς καὶ τομοῖς πεφραγμένος.

109 (94). DE PERSEO.

Piscis perseus similis *est* anthiis,
magis vero lupis *marinis* voracissimis.
Is a capite usque ad rubrum ventrem
cingulis plane aureis splendens
mythice pro filio Veneris habitus est.
Natatiles autem belluas infestas subigit,
dentibus longis et acutis armatus.

ΠΕΡΙ ΠΙΝΗΣ.

Τῶν ὀστρέων ἕν ἐστιν ἡ πίνη γένος,
ἣ τὰς φορητὰς παρανοιγνῦσα πτύχας
κεῖται καθ' ὑγρῶν, καὶ προβάλλει σαρκίον
ἐκ τῶν ἑαυτῆς μαλθακῶν ἐντοσθίων.
(5) Ὅταν δὲ μαινὶς ἀπατηθεῖσα δράμοι,
καρκῖνος αὐτῇ συμβιῶν προσεγγίσας
νύττει μετ' αἰδοῦς ταῖς λαβαῖς τὸ σαρκίον·
ἡ δὲ πλέον κέχηνεν, ἡ δὲ προσνέει
καὶ τοῖς λαθοῦσι διπτύχοις ἁλίσκεται.
(10) Ὑγρὸν δὲ ῥυὲν τῷ στομάχῳ τῆς πίνης,
εἰς ἀστραπῆς ἔλλαμψιν εὑρέθη λίθος·
κινούμενον δὲ τῇ καθειρχθείσῃ ζέσει,
εἰς μαρμαρυγὴν ὀργανοῦται μαργάρου.
Πίνη δὲ ποιεῖ καὶ τριχῶν βλάστην ξένην,
(15) ὡς ἐξ ἀραχνῶν συμφυῶν τῶν ἐγκάτων·
ἧς ἡ φεραυγὴς καὶ χλιδῶσα λεπτότης,
ξανθοῖς πλοκάμοις ἐνδεθεῖσα παρθένων,
σπαργῶντας αὐταῖς μαστροπεύει νυμφίους.

110 (95). DE PINNA.

Ostreorum unum est genus pinna,
quæ mobiles paullum aperiens valvas
jacet in undis, et promittit carunculam
ex suis mollibus intestinis.
Quodsi mæna decepta accurrerit,
cancer pinnæ convictor adveniens
ferit modeste digitis suis carunculam :
hinc illa magis hiat, mæna autem adnatat
et occultis valvis duplicibus capitur.
Spuma autem effusa stomacho pinnæ
ad fulguris coruscationem fit lapis :
quæ dum movetur incluso calore,
ad splendorem formatur margaritæ.
Pinna autem capillorum quoque germinationem mirabilem
quasi intestina ejus ex araneis composita essent : [facit,
cujus coruscans et delicata subtilitas,
flavis cincinnis puellarum innexa,
turgidos ipsis lenocinatur procos.

ΠΕΡΙ ΚΑΡΚΙΝΩΝ.

Ἐξοστρακωθὲν εἰς παραχμὴν τὸ στέγος
(20) ἐξοστρακίζειν οἶδε καρκίνου φύσις.
Οἰστρούμενος γὰρ κνησμοναῖς ἀποκρύφοις
ἐκεῖνος ὀργᾷ πανταχῇ τροφῆς χάριν·
ὀγκούμενος δὲ πλησμονῇ τὴν γαστέρα,
σοφῶς ὑποσπᾷ τῆς καλύπρας τὰς δέσεις.
(25) Τοῦ θρύμματος γοῦν ἐκπεσόντος αὐτίκα,
νοσῶν ὁ γυμνὸς, εὐπαθὴς γὰρ εὑρέθη,
μένει τροφῆς ἄγευστος εἰς πλεῖστον χρόνον.
Πηγνύμενος δὲ τῇ δορᾷ τῇ προσφάτῳ,
τροφὴν ἔχει τὴν ψάμμον ἣν εὗρε κλίνην.
(30) Ὅταν δὲ καλῶς ὀστρακωθῇ τὸ στέγος,
εἰς πάντα χωρεῖ τὴν τροφὴν παρεκλέγων.

111. DE CANCRIS.

Ob ætatem non amplius ostreatum satis tectum
exuere novit cancri natura.
Nam acriter exactus prurigine occulta
ille cupide usquequaque discurrit alimenti causa :
tumente autem per ingurgitationem ventre,
prudenter subtrahit vincula integumenti.
Jam frustum simulatque decidit,
laborans nudus (nam omni malo patet)
a cibo abstinet per longissimum tempus.
At nova pelle indurata munitus
cibum habet eam arenam, quam habuerat pro cubili.
Denique ubi pulchre ostreatum est tectum,
ad omnia accedit pabulum inde legens.

ΠΕΡΙ ΜΥΟΣ ΘΑΛΑΣΣΙΟΥ.

Θαλάττιος μὺς προσφυὲς φέρων δόρυ
καί τινας ἐκ στόματος ἀκμὰς ὡς βέλη,

112 (96). DE MURE MARINO.

Mus marinus agnatam gerens hastam
et plures ex ore cuspides veluti tela,

ΠΕΡΙ ΣΗΠΙΑΣ.

Πανοῦργος ἐστὶ τὴν φύσιν ἡ σηπία,
τῶν θηρατῶν κλέπτουσα τὴν κακουργίαν
ἐμεῖ γὰρ ἀπόσφαγμα τοῖς ῥείθροις μέλαν,
καὶ λανθάνει τὴν ὄψιν ἐνδῦσα γνόφον,
καὶ τέρπεται θηρῶσα τὴν σωτηρίαν.
Ἀλλὰ σκόπει μὴ ζῶσαν εἰς χεῖρας λάβοις·
ἄλλος γὰρ ἂν φθάνοι τις ἐκ πείρας βλέπων
ὀδόντας ὀξεῖς εἰς ἀπόκρυφον στόμα,
καὶ δῆγμα πικρὸν ἐξ ἰοῦ προηγμένον.

ΠΕΡΙ ΤΡΥΓΟΝΩΝ ΘΑΛΑΣΣΙΩΝ.

Ἰοῦ δὲ μεστὰ καὶ φθορᾶς ὀξυδρόμου
τῶν τρυγόνων τὰ κέντρα τῶν θαλαττίων·
οἷς καὶ τεθηλὸς ἂν ἀμυχθῇ δενδρίον,
μαραίνεται, ζῆν οὐκέτι δυνάμενον.
[Καὶ τοὺς ἁλιεῖς φασὶν ἐκτόπως τρέμειν
τὰ δυσχερῆ μὲν ταῦτα τοῦ ζώου βέλη.
Ἂν γάρ τις αὐτοῖς τοῖς κακίστοις κεντρίοις
πληγῇ, μόλις τε τῶν ἰατρῶν ἡ τέχνη
ῥύσαιτ' ἂν αὐτὸν τῆς φορᾶς τοῦ κινδύνου.
[Οὕτω γε φασί· κἂν ποτε ζῶν τύχῃ
τρωθῆν ἀφειδῶς τοῖς ὅπλοις αὐτοῖς πάλιν,
οὐκ εἰς μακρὰν τέθνηκεν οἰκτίστῳ μόρῳ.]
Πρὸς τοῖς γε λοιπὸν καὶ πραΰνειν τοὺς πόνους
τοὺς σφοδροτάτους τῶν ὀδόντων ὀξέως,
καὶ συντρίβειν μάλιστα τοὺς βεβρωμένους
ὀδόντας αὐτούς τ' ἐξάγειν ἀνωδύνως.]

ΠΕΡΙ ΚΕΡΔΑΛΩΝ ΘΑΛΑΣΣΙΩΝ.

Τὴν κερδαλῆν δέ φασι τὴν θαλαττίαν,
τοῖς ἐγκάτοις ἄγκιστρον εἰσδεδεγμένην,
σοφῶς ἑαυτὴν ἀπὸ τῶν ἔνδον στρέφειν,
ὡς ἱματισμὸν σηρικῶν ὑφασμάτων·
ὡς ἂν ὁ χαλκὸς ἐμπαγεὶς διεκπέσῃ.

ΠΕΡΙ ΙΟΥΛΙΔΩΝ [ΚΑΙ ΛΑΓΩΟΥ].

Φύει μὲν ἡ θάλασσα τὰς ἰουλίδας,
ἔστι δὲ φαυλότατον ἰχθύων γένος,
καὶ τοὺς ἐν ἀκταῖς μᾶλλον οἰκοῦσι λίθους·
δειναὶ δὲ λυπεῖν τοὺς ἐν ὑδροθηρίαις,
ὅταν κατ' αὐτῶν εἰσρυῶσιν ἀθρόαι.
Γεγευμέναι δέ τινος ἰχθύος μόνον,
ἄβρωτον ἀπέφηναν αὐτὸν εὐθέως·
ἰοῦ γὰρ αὐταῖς πλῆρες ἐστὶ τὸ στόμα.
Κἂν τις τὸν ἰχθὺν ἀγνοῶν ἐπεσθίοι,
στροφαῖς ὀδυνῶν ἑστιᾷ τὴν γαστέρα,
ὡς καὶ λαγωὸν εἰ θαλάττιον φάγοι.
Πρὸς γὰρ τὸν ἐκ γῆς ὑπεναντίως ἔχει,

105 (90). DE SEPIA.

Callida est natura sua sepia,
piscatorum eludens malitiam :
vomit enim cruorem in undas atrum,
et effugit aspectum induta tenebras,
et lætatur captans salutem.
Sed cave ne vivam in manus sumas :
nam sic alius quis *te* prior experiendo cognoverit
dentes acutos in ore recondito
et acerbum morsum ex veneno illatum.

106 (91). DE PASTINACIS MARINIS.

Veneni autem pleni et mortis præsentissimæ
sunt pastinacarum aculei marinarum :
quibus etiam florens si saucietur arbor,
arescit, non amplius vivere valens.
[Et piscatores dicunt vehementer metuere
gravia quidem hæc animantis illius tela.
Nam si quis hisce pessimis aculeis
ictus fuerit, vix medicorum ars
liberet illum a præcipiti periculo.
[Sic dicunt : etiam si quando fera sit
vulnerata largiter armis illis rursum,
post brevem moram occidit miserabilissima morte.]
Præterea etiam *dicunt pastinacæ aculeum* mitigare dolores
vehementissimos dentium celeriter,
et conterere maxime exesos
dentes eosque ejicere sine dolore.]

107 (92). DE VULPIBUS MARINIS.

Vulpem autem narrant marinam,
hamo in visceribus recepto,
sollerter ex interaneis se invertere
ut vestem sericæ texturæ,
quo æs *intestinis* infixum excidat.

108 (93). DE IULIDIBUS [ET LEPORE].

Gignit mare iulidas;
est autem *hoc* pessimum genus piscium,
et littoralia saxa magis incolunt :
et lædere valent venatores maritimos,
quando in eos irruunt confertim.
Quum autem piscem aliquem gustarunt modo,
inhabilem eum ad edendum reddunt statim :
nam veneni ipsis plenum est os.
Et si quis talem piscem nescius comedat,
torminibus ventris laborans cibum capit,
quod etiam fit si leporem marinum edat.
Nam ad terrestrem *leporem* contrario est habitu,

καὶ γυμνὸς οὗτός ἐστι μικροῦ κοχλίας.

et hic quidem nudus est pæne ut cochlea.

ΠΕΡΙ ΠΕΡΣΕΩΣ.

Ἰχθὺς ὁ περσεὺς ἐμφερὴς ταῖς ἀνθίαις,
μᾶλλον δὲ τοῖς λάβραξι τοῖς βορωτάτοις.
Ὃς ἐκ κεφαλῆς εἰς ἐρυθρὰν γαστέρα
ζώναις χρυσαῖς ἀντικρυς ἠγλαϊσμένος
υἱὸς μυθικῶς Ἀφροδίτης ἐκρίθη.
Πλωτῶν δὲ θηρῶν δυσμενῶν κατισχύει,
ὀδοῦσι μακροῖς καὶ τομοῖς πεφραγμένος.

109 (94). DE PERSEO.

Piscis perseus similis *est* anthiis,
magis vero lupis *marinis* voracissimis.
Is a capite usque ad rubrum ventrem
cingulis plane aureis splendens
mythice pro filio Veneris habitus est.
Natatiles autem belluas infestas subigit,
dentibus longis et acutis armatus.

ΠΕΡΙ ΠΙΝΗΣ.

Τῶν ὀστρέων ἕν ἐστιν ἡ πίνη γένος,
ἣ τὰς φορητὰς παρανοιγνῦσα πτύχας
κεῖται καθ' ὑγρῶν, καὶ προβάλλει σαρκίον
ἐκ τῶν ἑαυτῆς μαλθακῶν ἐντοσθίων.
(5) Ὅταν δὲ μαινὶς ἀπατηθεῖσα δράμοι,
καρκῖνος αὐτῇ συμβιῶν προσεγγίσας
νύττει μετ' αἰδοῦς ταῖς λαβαῖς τὸ σαρκίον·
ἡ δὲ πλέον κέχηνεν, ἡ δὲ προσνέει
καὶ τοῖς λαθοῦσι διπτύχοις ἁλίσκεται.
(10) Ὑγρὸν δὲ ῥυὲν τῷ στομάχῳ τῆς πίνης,
εἰς ἀστραπῆς ἕλλαμψιν εὑρέθη λίθος·
κινούμενον δὲ τῇ καθειργθείσῃ ζέσει,
εἰς μαρμαρυγὴν ὀργανοῦται μαργάρου.
Πίνη δὲ ποιεῖ καὶ τριχῶν βλάστην ξένην,
(15) ὡς ἐξ ἀραχνῶν συμφυῶν τῶν ἐγκάτων·
ἧς ἡ φεραυγὴς καὶ χλιδῶσα λεπτότης,
ξανθοῖς πλοκάμοις ἐνδεθεῖσα παρθένων,
σπαργῶντας αὐταῖς μαστροπεύει νυμφίους.

110 (95). DE PINNA.

Ostreorum unum est genus pinna,
quæ mobiles paullum aperiens valvas
jacet in undis, et promittit carunculam
ex suis mollibus intestinis.
Quodsi mæna decepta accurrerit,
cancer pinnæ convictor adveniens
ferit modeste digitis suis carunculam :
hinc illa magis hiat, mæna autem adnatat
et occultis valvis duplicibus capitur.
Spuma autem effusa stomacho pinnæ
ad fulguris coruscationem fit lapis :
quæ dum movetur incluso calore,
ad splendorem formatur margaritæ.
Pinna autem capillorum quoque germinationem mirabilem [facit,
quasi intestina ejus ex araneis composita essent :
cujus coruscans et delicata subtilitas,
flavis cincinnis puellarum innexa,
turgidos ipsis lenocinatur procos.

ΠΕΡΙ ΚΑΡΚΙΝΩΝ.

Ἐξοστρακωθὲν εἰς παρακμὴν τὸ στέγος
(20) ἐξοστρακίζειν οἶδε καρκίνου φύσις.
Οἰστρούμενος γὰρ κνησμοναῖς ἀποκρύφοις
ἐκεῖνος ὀργᾷ πανταχῇ τροφῆς χάριν·
ὀγκούμενος δὲ πλησμονῇ τὴν γαστέρα,
σοφῶς ὑποσπᾷ τῆς καλύπρας τὰς δέσεις.
(25) Τοῦ θρύμματος γοῦν ἐκπεσόντος αὐτίκα,
νοσῶν ὁ γύμνος, εὐπαθὴς γὰρ εὑρέθη,
μένει τροφῆς ἄγευστος εἰς πλεῖστον χρόνον.
Πηγνύμενος δὲ τῇ δορᾷ τῇ προσφάτῳ,
τροφὴν ἔχει τὴν ψάμμον ἣν εὗρε κλίνην.
(30) Ὅταν δὲ καλῶς ὀστρακωθῇ τὸ στέγος,
εἰς πάντα χωρεῖ τὴν τροφὴν παρεκλέγων.

111. DE CANCRIS.

Ob ætatem non amplius ostreatum satis tectum
exuere novit cancri natura.
Nam acriter exactus prurigine occulta
ille cupide usquequaque discurrit alimenti causa :
tumente autem per ingurgitationem ventre,
prudenter subtrahit vincula integumenti.
Jam frustum simulatque decidit,
laborans nudus (nam omni malo patet)
a cibo abstinet per longissimum tempus.
At nova pelle indurata munitus
cibum habet eam arenam, quam habuerat pro cubili.
Denique ubi pulchre ostreatum est tectum,
ad omnia accedit pabulum inde legens.

ΠΕΡΙ ΜΥΟΣ ΘΑΛΑΣΣΙΟΥ.

Θαλάττιος μὺς προσφυὲς φέρων δόρυ
καί τινας ἐκ στόματος ἀκμὰς ὡς βέλη,

112 (96). DE MURE MARINO.

Mus marinus agnatam gerens hastam
et plures ex ore cuspides veluti tela,

χωρεῖ πρὸς ἰχθῦς, Αὐσονάρχα, δυσμάχους·
καὶ τοὺς σαγηνεύοντας αὐτὸν οὐ τρέμει,
γοργῶς διασπῶν τὰς πλοκὰς τῶν δικτύων,
καὶ μέμφεται μῦς τοὺς ἀνύδρους, ἐν σκότει
οἳ ζῶσι πικρῶς, κἂν συλῶσι τὰς ψίχας·
οὓς καὶ γαλῆ τρίζουσα, καὶ πλὰξ, καὶ βρόχος,
καὶ παγὶς ἐξέτριψε, καὶ βραχὺ στέαρ.

ΠΕΡΙ ΚΕΣΤΡΕΩΣ.

Κεστρεὺς δὲ λαμπρᾶς μειδιώσης αἰθρίας
ἔξεισιν εἰς τὴν χέρσον, ἀφεὶς τὴν χύσιν·
ἐπὶ δὲ τοῦ χώματος ὑπνῶν εἰς βάθος
ἂν ἐκταραχθῇ, πρὸς τὸ ῥεῖθρον αὖ τρέχει,
καὶ ζῇ καθαρὸς γηγενοῦς ὑποψίας,
φυγὰς ἐπ' αὐτὴν εἰσρυεὶς τὴν πατρίδα.

[ΠΕΡΙ ΚΕΣΤΡΕΩΣ ΤΟΥ ΚΑΛΟΥΜΕΝΟΥ ΑΔΩΝΙΔΟΣ.]

[Ἰχθύς τίς ἐστι τοῦ γένους τῶν κεστρέων,
ἐθὰς νέμεσθαι ἐν πέτραις παραλίαις·
ξανθὸς μὲν ἰδεῖν καὶ μελίχροος πέλει·
Ἄδωνιν οἱ μὲν ἴδριες θαλασσίων
καλοῦσιν αὐτὸν μυθικῶς κεχραγότες,
ἄλλοι δὲ ἐξώκοιτον ἐκ τῆς αἰτίας,
ὡς μοῦνος αὐτὸς τῆς ἁλὸς βαίνων ἄπο
πρὸς χέρσον αὐτὴν ἐκτίθησι τὰς κοίτας.
Καὶ γάρ θ' ὅταν τὸ κῦμα πραϋνθῇ σάλου,
ἐν τοῖς γαληνοῖς καὶ ὑπευδίοις τόποις
τότ' οὖν ἑαυτὸν ἐξοκέλλει ἀθρόως,
τούτου τ' ἐπ' αὐτῇ τῇ ῥύμῃ ὀχούμενος,
ῥίπτει τὸ σῶμα κατὰ πέτρων εὖ μάλα·
ᾗ καὶ βαθὺν τὸν ὕπνον εὕδει ἡδέως,
πάντων ἀφροντίστως τε τῶν ἄλλων ἔχων,
ἄνευ θαλασσίων γε ὀρνίθων μόνων,
οὓς καὶ δέδοικε καὶ πέφρικεν ἐκτόπως,
εἰδὼς ὅθ' ἡ θάλασσα αὐτοὺς ἐκτρέφει
ἐκ τῶν ἑαυτῆς δαψιλῶν ἐδεσμάτων.
Τούτων τὶς αὐτῷ εἶπορ' ὀφθεὶς μακρόθεν,
εὐθύς γε πηδᾷ καὶ ἐπάλλεται δίκην
νέου χορευτοῦ ἡ κόρης ὀρχηστρίδος,
σπεύδων παρ' αὐτῶν τῶν πετρῶν ἀποδράσαι,
ὡς ἐμπεσὼν τάχιστα τοῖς κύμασί τε
σώσῃ ἑαυτὸν τῆς βορᾶς τῶν ὀρνέων.]

ΠΕΡΙ ΑΦΥΩΝ.

Μήτηρ ὁ πηλὸς καὶ πατὴρ ταῖς ἀφύαις,
αἳ νουνεχῶς οἰκοῦσι τοὺς κοίλους λίθους·
δεδοίκασι γὰρ τὰς φορὰς τῶν πνευμάτων.
Τούτων ἑκάστη καὶ τροφῆς πλὴν ἐτράφη,
τῆς συγγενοῦς τὸ σῶμα λιχμησαμένη.

adoritur pisces, Ausonum rex, ferocissimos:
nec metuit sagena eum petentes,
acriter scindens nexus retium,
et contemnit mures terrestres, in tenebris
qui vivunt aspere, etiamsi micas surripiunt;
quas et felis stridens, et tabella *insidians*, et laqueus,
et decipula enecat, et paullulus adeps.

113 (97). DE MUGILE.

Mugil autem, quando serena ridet æthra,
exit in littus, relictis fluentis:
et in aggere profundum dormiens
si terrore excitatur, in flumen recurrit,
et vivit liber a metu insidiarum terrestrium,
exul in ipsam redux patriam.

[114 (98). DE MUGILE DICTO ADONIDE.]

[Piscis est aliquis ex genere mugilum,
assuetus degere in saxis littoralibus;
flavus aspectu et mellei coloris est:
Adonin, qui quidem periti sunt rei marinæ,
eum appellant mythice loquentes,
alii vero Exocœtum (*extra-cubantem*) ex ipsa re:
nam solus ille e mari excedens
in terram ipsam, extra ponit cubilia.
Etenim quum fluctus sedatus est sali,
in tranquillis et apricis locis
tunc se emittit confestim,
et hujus *fluctus* impetu ipso vectus
jactat corpus in saxa commode admodum:
ubi etiam profundum somnum capit suaviter,
omniumque aliorum nulla cura tactus,
præterquam marinarum avium solarum,
quas et metuit et horret immaniter,
sciens quod mare eas enutrit
ex sui copiosis eduliis.
Harum si qua forte ipsi conspecta *est* e longinquo,
statim exsilit et exsultat instar
juvenis saltatoris aut puellæ saltatricis,
festinans ab ipsis petris aufugere,
ut delapsus celerrime in fluctus
servet se ab ingluvie avium.]

115 (99). DE APUIS.

Mater et pater cœnum *est* apuis,
quæ prudenter habitant in cavis saxis:
metuunt enim impetus ventorum.
Harum quæque etiam sine cibo nutritur,
lingens corpus consortis suæ.

ΠΕΡΙ ΤΡΙΓΛΗΣ.

Τρίγλη δὲ νηκτόν ἐστι καὶ λίχνον φύσει.
Καὶ γὰρ φιλήδεῖ τοῖς κακόσμοις ἐκτόπως
καὶ τοῖς ῥυπαροῖς ἐντρυφᾷ θνησειδίοις.
Ἅπαξ δὲ, καὶ δὶς, ἀλλὰ καὶ τρὶς ἂν κύοι.

ΠΕΡΙ ΝΑΥΚΡΑΤΟΥ.

Ἐστί τις ἰχθὺς εὐτελὴς μὲν, εἰ βλέποις·
εἰ δὲ κρίνοις, κράτιστος· εἰ δὲ λαμβάνοις,
νεκρὸς Γαληνὸς εἰς γονὰς ἀποστρόφους.
Τὸν μὲν γὰρ εὐάγωγον ἐξ αὔρας δρόμον
(5) εἴργει προελθεῖν ἐνδακὼν τὴν ὁλκάδα·
καὶ τοὺς τέως ᾄδοντας ἐκ θυμηδίας,
στυγνόν τι πενθεῖν ἐκδιάζει ναυτίλους.
Κἂν μή τις αὐτὸν καταδὺς θᾶττον τέμῃ,
ὀδοστατηθὲν οὐ δραμεῖται τὸ σκάφος.
(10) Τὰς δὲ πρὸ καιροῦ συγκοπὰς τῶν ἐμβρύων
ἵστησι ληφθεὶς ταῖς κυούσαις εὐθέως.
Τοῦτον τὸν ἰχθὺν, Αὐσονάρχα, ναυκράτην
οἱ ναυτικοὶ καλοῦσιν ἐκ τοῦ πράγματος.

[ΠΕΡΙ ΠΟΡΦΥΡΑΣ.]

[Εὖτ' ἄν τις ἀνὴρ πορφυρεὺς τὴν πορφύραν
οὐκ εἰς τροφὴν δὲ θηράσῃ ἀνθρωπίνην,
ἀλλ' εἰς ἐρίων χρῶμα, εἰ μέλλει μένειν
ἡ δευσοποιὸς καὶ δυσέκνιπτος χρόα
ἀεί τε λαμπρὰ καὶ καθάρ' ἄνευ δόλου,
(6) δέον γε μὴν λαβόντα τὸν λιναγρέτην
αὐτοῖς μὲν ὀστράκοισι θλᾶν ἐξαπίνης
λίθου βολῇ βαρείᾳ ἐν μιᾷ μόνῃ.
Ἂν γάρ τε κρύφως ἡ φορὰ ἐπεισπέσῃ,
τὸ ζῶον ὥστε ἔμπνουν μένειν ἔτι,
ἀχρεῖός ἐστιν εἰς βαφὴν ἡ δευτέρα
(12) βολὴ πετραία· καὶ γὰρ αὐτὴ τῷ πόνῳ
ἐξαφανίζει τήνδε τ' εἰς ὄγκον κρέως,
ἀναποθεῖσά γ' αὖθις ἢτ' ἄλλως τότε
καὶ ἐκρυεῖσα, εἰς ἀπώλειαν ἔδη.]

[ΠΕΡΙ ΝΑΥΤΙΛΟΥ.]

[Τίς δ' αὖ πολύπουν, ὃν καλοῦσι ναυτίλον,
σκηπτοῦχε, βλέψας μειδιώσης αἰθρίας
ὕπερθε πόντου κοσμίως πεπλευκότα,
οἷα τριῆρες πλοῖον ἠγλαϊσμένον,
οὐκ ἂν γέγηθε τῇ ξένῃ ἤδη θέᾳ;
(6) Οὗτος γάρ ἐστι πουλύπους, κόγχην ἔχων
στρεπτὴν ἕλιξιν, οἷον ἔνδυμ' ἔννυται·
καὶ πλεῖ μὲν ἐς κάτω τἄνω στρέψας κύτους,
μή πως κλυδῶνος ὄντος, ἅλμης ἀρύσῃ,
κἄκεῖνον εὐθὺς τῆς σκάφης ἀποσπάσῃ·

116 (100). DE MULLO.

Mullus autem est *animal* natatile et gulosum natura
Etenim immaniter delectatur male olentibus,
et in tetris luxuriatur morticinis.
Semel vero, et bis, at etiam ter *quotannis* pariat.

117 (101). DE REMORA.

Est piscis quidam, contemnendus, si aspicias;
at si cognoscas, validissimus; denique si *ore* sumas,
mortuus Galenus (*medicina*) ad fœtuum abortus.
Nam secundum ventis ferentibus cursum
prorsum peragere navem impedit morsu impacto;
et qui adhuc cecinerant ex animi lætitia
nautas mœstum lugere cogit.
Ac nisi quis eum urinator ocius secet,
in via statutum non curret navigium.
Sed ante tempus qui fiunt lapsus fœtuum
sistit sumpta a gravidis mulieribus illico.
Hunc piscem, rex Ausonum, remoram
vocant nautici ex ipsa re.

[118 (102). DE PURPURA.]

[Quum vir aliquis purpurarius purpuram
non in cibum ceperit humanum,
sed ad lanarum tincturam, si mansurus sit
constans et indelebilis color
semper splendidus et purus sine dolo,
oportet qui eam cepit piscatorem
ipsis cum testis contundere subito
lapidis uno solo ictu gravi.
Si enim leviter plaga inciderit,
ita ut animal maneat adhuc spirans,
inutilis est ad tincturam alter
ictus lapidis : etenim ipsa dolore suo
evanidam reddit hanc in massam carnis,
absorpta rursum quæ temere tunc
et effluens ad interitum abiit.]

[119 (103). DE NAUTILO.]

[Quis vero polypum, quem vocant nautilum,
o rex, contemplatus ridente serenitate
in summo maris decenter navigantem,
velut trireme navigium splendide ornatum,
non delectatus esset jam mirabili spectaculo?
Hic enim est polypus : testam habens
tortam voluminibus, *ea* veluti veste indutus est :
et navigat quidem deorsum vertens superiora cavitatis
ne forte æstu orto salsuginem hauriat,
et *hæc* illum statim domo avellat.

ὅταν δέ γ' ἡ θάλασσα εἰρήνην ἄγῃ,
(12) θαῤῥῶν ἑαυτὸν αὖθις ὕπτιον στρέφει,
καὶ ἀσφαλῶς πλεῖ πορθμίδος τέως δίκην.
Παρεὶς γὰρ ἐντεῦθέν τε κἀκεῖθεν δύο
τῶν πλεκτανῶν, ἠρέμα τε κινεῖ τὸ σκάφος
οἷόν γ' ἐρέττων, καὶ προωθεῖ παντόθι.
Ἀλλ' εἰ τυχὸν τὸ ῥεῖθρον ὑψοῦται λίαν,
(18) ὅταν τὶ πνεῦμα τὸν βυθὸν διατρέχῃ,
ἂψ τοὺς ἐρετμοὺς ὥσπερ οἴακας δ' ἔχων,
ἑκὰς μὲν αὐτοὺς τῶν μερῶν διεξάγει,
ἄλλας δ' ἐπαίρων αὖθις ὑψοῦ πλεκτάνας,
ὧν καὶ μεταξὺ ὡς ὑμήν τις μὲν πέλει
χιτών τε λεπτὸς, ᾧτινι χρᾶται τότε,
(24) ἱστῶν κατ' ὀρθότητα οἷάπερ λέφος,
ναυτίλλεται ἥδιστα τοιόνδε τρόπον.
Ἀλλ' ἢν ἰδὼν μὲν δειματούμενος τύχῃ
τὶ τῶν ἐπαχθῶν τῆς θαλάσσης κνωδάλων,
αὐτὸς βυθίσας αὖθις ἄντλῳ τὸ σκάφος,
ἑαυτὸν ἠφάνισεν ἐν μυχοῖς ἁλὸς,
κίνδυνον ἐχθροῦ ὡς ὑπόβρυχος φύγῃ·
παραδραμόντ' ὀλέθριον δ' ὅταν νοῇ,
(32) τότ' ἀδεῶς ἄνεισι, καὶ πάλιν πλέει.
Ἐκ τῆσδε λοιπὸν, ἄνα, τῆς συγκυρίας
οἱ ναυτικοὶ καλοῦσιν αὐτὸν ναυτίλον,
ὃν ἡ φύσις ἔτευξεν ἡδονῆς χάριν.]

Quando autem mare pacem agit,
fidens se iterum supinum vertit,
et tuto tum navigat aliquamdiu scaphæ instar.
Demittens enim hinc et illinc duos
cirrorum, tranquille movet scapham
tanquam remigans, et propellit quovis.
Sed si forte fluentum elevatur nimis,
quando flatus aliquis profundum percurrit,
retrorsum remos tanquam gubernacula habens,
longius quidem eos a suis partibus deducit,
alios vero tollens rursus in altum cirros,
inter quos etiam veluti membrana aliqua est
tunicaque tenuis, qua utitur tunc,
statuens in rectum, tanquam velum,
navigat jucundissime hunc in modum.
Verum si conspectum metuere incipiat
aliquod infestorum maris animalium,
ipse demergens iterum sentina scapham,
sese abdit cito in recessus maris,
periculum ab hoste ut submersus effugiat:
prætervectum exitialem vero ubi senserit,
tum secure redit, et iterum navigat.
Ex hoc denique, rex, eventu
nautici appellant eum nautilum,
quem Natura fabricavit voluptatis gratia.]

ΘΕΟΚΡΙΤΟΣ.

ΒΙΩΝ. ΜΟΣΧΟΣ.

BUCOLICI POETÆ GRÆCI,

THEOCRITUS, BIO, MOSCHUS.

GRÆCE ET LATINE

CUM PRÆFATIONE CRITICA EDIDIT

CAROLUS FRIDERICUS AMEIS,

PHILOSOPHIÆ DOCTOR ET GYMNASII MOLHUSANI PRORECTOR.

ΣΥΝΤΟΜΟΣ ΕΚΦΡΑΣΙΣ
ΕΛΕΦΑΝΤΟΣ.

ΕΙΣ ΤΟΝ ΒΑΣΙΛΕΑ.

Αὐτόκρατορ μέγιστε, τοῦ γένους λέον,
ὡς θερμὸς, ὡς ἄμαχος, ὡς βρυχητίας,
ὡς στερρὸς, ὡς ἄγρυπνος, ὡς θηροκτόνος,
ὡς ὀξὺς, ὡς κράτιστος εἰς θήραν λόγων,
ὡς φρικτὸς, ὡς εὔτεκνος, ὡς ἀνακτόπαις,
ὡς ἐκ μόνης ὄνυχος ἀκμῆς μετρίας
τῶν σῶν ἐφ' ἡμᾶς ἀρχικῶν σπουδασμάτων
τοῖς εὐστόχως κρίνουσι δεικνὺς τὴν φύσιν,
ἐκ τῆς ὑλακῆς τῶν ἐμῶν περιδρόμων
δέχου τὸν Ἐλέφαντα, καθάπερ φόρον,
ὃν εἰς λόγων θήρατρον ἐζώγρησά σοι,
κρυπτὴν ὑπελθὼν γνωστικῆς λοχμῆς τρίβον·
ὡς ἂν ἔχοις ἥδυσμα τὸν θῆρα ξένον,
τρυφῆς λογικῆς εὐπορῶν ἄτερ πόνων·
θέλω γὰρ εἶναι φιλοδέσποτος κύων,
ὁρῶν ἐπ' αὐτὰς τῆς τραπέζης τὰς ψίχας.

ΕΚΦΡΑΣΙΣ.

Ζῷον τὸν ἐλέφαντα τετράπουν σκόπει,
εὐρὺ, σθεναρὸν, ἐμβριθὲς, μέλαν, μέγα,
κεκυφὸς, ὀξύφωνον, ἀμβλύ τι βλέπον,
ἰταμὸν, ἀπρόσιτον ἐξ ἐρημίας,
ἱλαρὸν, εὐάγωγον ἐκ παροικίας,
πολλῶν παρ' Ἰνδοῖς δεκτικὸν μαθημάτων,
βουβαλίδος μίμημα, χερσαῖον τέρας
ἰλύσι καὶ τέλμασι καὶ λόχμαις φίλον,
καὶ τῇ δοκήσει τῆς φορᾶς παρειμένον.
Τοῦτο προελθὸν μητρικῶν ἐξ ὀργάνων
εἰκάζεται μὲν εὐτελεῖ μολοβρίῳ,
καὶ δελφακίζει κλαυθμυρίζον ὀξέως·
ὑπέρχεται δὲ τῆς λεχοῦς τὰς ὠλένας,
αἳ τοὺς ἀγωγοὺς τῆς τροφῆς ἔσχον μέσους·
ἡ δ' εὐθὺς ἐξάρασα τοὺς ἐμπροσθίους
καὶ μικρὸν ὀκλάσασα τοὺς ὀπισθίους
οὐ κατὰ τὴν κάμηλον εἰς γόνυ κλίνει·
πῶς γὰρ, ἀνάρθρων τῶν μελῶν εἰργασμένων,
εἰ μὴ φυσικῶς ἀντικάμψοι τὸ σκέλος,
χαλῶσα λοξῶς εἰς τὰ νῶτα τὴν πλάτην,
ἑκατέραις ἔθρεψε θηλαῖς τὸ βρέφος;
Φασὶ γὰρ αὐτὴν οἱ σοφοὶ θηροτρόφοι
παρακρατοῦσαν τὴν γονὴν ὑπεξάγειν
ἕλους τοσούτου, κἂν δοκῇ τισι ξένον.

BREVIS EXPOSITIO
DE ELEPHANTE.

AD IMPERATOREM.

Imperator maxime, humani generis leo,
quam fervidus es, quam insuperabilis, quam vocalis rugitibus,
quam strenuus manu, quam vigil, quantus ferarum occisor,
quam acer, quam præcellens in eruditione venanda, [pura!
quam terribilis, quam felix sobole, quam beatus paterna pur-
quam belle vel ex ungue ætatis adhuc parum provectæ
tuis erga nos imperatoriis studiis
cuique sagaciter judicanti monstrans naturam tuam,
ex latratu mearum plagarum
recipe hunc Elephantem, veluti tributum,
quem eruditionis cassibus tibi cepi vivum,
occultam semitam docti saltus ingressus;
ut tu obtineas tanquam bellarium hanc peregrinam feram,
voluptatem animi nactus sine labore.
Curio enim canis esse heri sui amans,
[illegible]iciens in ipsas micas herilis mensæ.

EXPOSITIO.

Cerne elephantem, animal quadrupes,
corpore amplo, robustum, compactum, nigrum, prægrande,
capite prono, acuta voce, visu hebete,
ferox, in saltuosa solitudine intractabile,
sed hilare ac mansuetum, si domesticum est,
multarum capax disciplinarum apud Indos,
uri silvestris simile, terrestre monstrum,
limo et palude et densis saltubus gaudens,
et quod specie sua languidum ad impetus judices.
Id simulac ex materno prodiit utero,
parvi pulli aprini similitudinem refert,
ac porcelli in morem acute vagiens grunnit:
subit autem matris ulnas,
quæ alimenti lactei canales medios sustinent.
Mater statim attollit anteriores pedes
et posterioribus paulisper subsidit,
non tamen, uti camelus, in genua recumbit.
Quomodo enim, quum ejus membra articulis careant,
nisi naturaliter crus reflecteret,
dorsum *pulli* versus oblique laxans costam,
posset ambobus uberibus nutrire pullum?
Aiunt enim periti bestiarii, se eam
retinentem secum sobolem suam educere
ex paludibus tantis, tametsi hoc nonnullis mirum videatur.

Τούτῳ σίφων ἕτοιμος, εἰ θέλει θλίβειν,
οὐχ ἡ προβοσκίς ἐστιν, ἀλλὰ τὸ στόμα,
μή πως τὸ τοῦ γάλακτος ἀμβλύνῃ ζέον.
ἡ πρὸς τὸν αὐλὸν ἐκδρομὴ τῶν ῥευμάτων,
μὴ καὶ τὸ πυκνὸν τῆς πνοῆς ἀντιστρέφοι
λίχνοις ἀνάγκαις πνευστιῶν τὸ σκυμνίον,
τῆς εἰσαγωγῆς ἐμφραγείσης τῶν πόρων,
ἢ τῷ διαστήματι τῶν ἔνδον δρόμων
ἡ τῆς ἀμολγῆς ἐμβραδύνοι γοργότης,
εἶργον δὲ τὴν ὄρεξιν ἡ χαῖνον μάτην
εὐθὺς ἀπ' ἀρχῆς δυσφορήσῃ τὸ βρέφος.
Πλὴν ἡ προβοσκὶς ἀντὶ χειρὸς εὑρέθη·
χεὶρ δὲ βρέφους κίνησιν εὐθὺς οὐκ ἔχει
πρὸς τὰς μεταξὺ τῆς τροφῆς ὑπουργίας.
Τούτῳ κεφαλὴ καὶ μέτωπα καὶ τρίχες
καὶ βλέμμα καὶ ῥὶς, ἄχρι τῆς προβοσκίδος,
καὶ δέρμα καὶ τράχηλος, ἀλλὰ καὶ στόμα
σαφῆ μονιὸν ζωγραφοῦσι μακρόθεν,
ὅταν ῥεουσῶν τῶν τριχῶν ὡς ἐκ νόσου
δοκῇ σεσηρὼς τὴν δορὰν ὥσπερ γέρων,
πηλοῦ κναφευθεὶς ἐμβροχαῖς δυσεκπλύτοις.
Χαίτης γε μὴν τὸ βρέγμα καὶ λάχνης ξένον,
ὡς καὶ τὰ νῶτα μέχρι τῶν ὀπισθίων,
οἷα φαλακρὸν ἐκ πυράγρας ἀξύλου,
καὶ κωνοειδὲς, εἰ τὸ πᾶν σχῆμα βλέποις
καὶ ξυντετηκὸς προσφυῶς τοῖς ὀστέοις·
τὰ δ' ὦτα λεπτὰ καὶ παρατεταμένα,
καὶ καθάπερ θώρακες ἐσφαιρωμένα,
καὶ τοῖς ὁρᾶν θέλουσιν ἀνεπτυγμένα,
καὶ τὰς βάσεις ἔχοντα χονδροσυνθέτους,
καὶ συστολὴν πάσχοντα καὶ τοὐναντίον
καὶ πρὸς μάχας βλέποντι σύντονον στάσιν.
Ἆρ' οὖν ἔδει, Κράτιστε, τῶν ἄλλων μόνον
ἄοπλον εὑρεῖν προσβαλὸν τὸ θηρίον,
ὅταν ὁ καιρὸς ἀντιτάττῃ πρὸς μάχην;
οὐκ ἔστιν εἰπεῖν. Ἡ γὰρ εὔτεχνος φύσις
λέοντι μὲν δίδωσιν, ὡς καὶ παρδάλει,
τὰς ἐξ ὀνύχων δραστικὰς ἀντισπάσεις·
τοῦτον δὲ τὸν μέγιστον ὁπλίζει ξένως
κέρασι διττοῖς, ὡς τομοῖς ἀκοντίοις,
οἳ καὶ περισφίγγουσι τὴν προβοσκίδα
κολουροειδῶς ἐν μέσῳ κεχυμένην·
τούτων τὸ μὲν δίδωσιν, ὡς τομὸν ξίφος,
ὠθεῖν κατ' ἐχθρῶν ὁ βραβεὺς τῷ γεννάδᾳ·
τὸ δὲ σκαφεύς τίς ἐστι τὸν θῆρα τρέφων
καὶ ῥιζορύκτης καὶ σπαράκτης τῶν κλάδων.
Εἴποι τις ἂν πόρρωθεν εἰς ταῦτα βλέπων
ὀδόντας ὀξεῖς εὐτυχεῖν τὸ θηρίον,
καμπυλοειδεῖς ἀντικάμψαν ἐκτάσεις·
οὐ γὰρ φύει κρόταφος, ἀλλὰ τὸ στόμα.
Καὶ θαῦμα καινὸν, πῶς ὀδοὺς κέρας μένει,
κέρατος οὐκ ὀδόντος ὄντος τοῦ ξίφους.
Σκόπει δὲ καὶ τὸ σχῆμα τῆς προβοσκίδος·
αὐλός τίς ἐστιν ἐκ δορᾶς καὶ σαρκίου

Pullo autem, si lac vult exprimere, pro siphone in promptu
est, non proboscis, sed os,
ne forte lactis calorem minueret
liquoris per tibiam proboscidis decursus,
et ne crebra respiratio *ab ubere* avertat
avidæ sitis necessitate anhelantem pullum,
spiritûs per nares meatu obturato;
etiam ne tam longo intervallo intra proboscidem decursûs
nimis tarde et languide emulgeretur lac,
et sic reprimens aviditatem aut frustra hians
pullus statim ab initio male se haberet.
Verum proboscis ipsi pro manu data est:
atqui infantum manus non statim movendi se facultatem habet
ad alimentorum redeuntes subministrationes.

Hujus belluæ caput et frons et pili
et oculi et nasus, præter proboscidem,
et cutis et collum, quin et os,
e longinquo intuenti prorsus apri imaginem sistit,
quando is, excidentibus ut de morbo pilis,
cum cute rugosa appareat tanquam vetulus,
luti aspergine tenaci tinctus.
Sinciput quidem est setarum et pilorum prorsus expers,
uti et dorsum usque ad nates,
[illegible]m quasi forcipe sine ligno vulsum,
[illegible]otam cernas figuram, turbinatum,
ac emaciatum ita ut ossibus pellis adhæreat.
Aures vero sunt tenues et expansæ,
et loricæ speciem *imperfecte* rotundam referentes,
expansæ et patulæ omnibus qui inspicere volunt;
habentque cartilaginosas radices,
et possunt contrahi et contra *dilatari*,
atque ad pugnam spectanti acriter arrigi.
Num vero fas fuisset, Auguste, solam hanc omnium
feram ad impetum faciendum manere inermem,
quando tempus in aciem progredi cogeret?
Non potest dici. Namque natura artifex optima
leoni quidem dedit, ut et pantheræ,
unguium vires ad discerpendum efficaces;
huic vero maximæ feræ mirabilia tribuit arma,
geminum cornu, quasi duo acuta tela,
qui *dentes* utrimque coercent proboscidem,
inter ea mediam decussatim protentam:
horum alterum, veluti acutum gladium, dedit
forti belluæ in hostes valide imprimendum Deus arbiter,
alterum *cornu* est quasi rastellum ad nutriendam belluam,
et effossor radicum et ramorum destructor.
Quodsi procul quis spectet ea cornua, dicat
feram acutis dentibus instructam esse,
reduncas eminentias recurvantem.
Namque non in fronte, sed ex ore nascuntur;
idque novum miraculum est, quomodo dens maneat cornu,
quum gladius ille sit cornu, non dens.
Porro specta formam proboscidis:
est ea tubus ex pelle et carne

καὶ σφαιρομόρφου ξυμβολῆς εἰργασμένος,
χόνδρον μαλαχθὲν εἰς τομὰς κεκλασμένας,
νεῦρον χαλασθὲν εἰς πλοκὰς ἀγχιστρόφους.
Ἑρπυστικὸς δὲ καὶ προμήκης ἐκθέων
εἰς πᾶσαν ἁπλῶς φυσικὴν ὑπουργίαν,
στενοῖ τὸν ὀλκὸν καὶ πλατύνει τὸ στόμα,
καὶ τὴν ἐδωδὴν ἐμβιβάζει ταῖς γνάθοις,
καὶ πρὸς τὸ παχὺ τὴν ὀπὴν διευρύνει,
καὶ πρὸς τὸ λεπτὸν τὴν λαβὴν συνεισάγει,
καὶ συστολὰς τίθησι καὶ παρεκτάσεις
πρὸς τὰς ἐν ὄγκοις καὶ βραχύτησι σχέσεις.
Πόδες δὲ τούτῳ θαῦμα καὶ σαφὲς τέρας,
οὓς, οὐ καθάπερ τἄλλα τῶν ζῴων γένη,
εἴωθε κινεῖν ἐξ ἀνάρθρων κλασμάτων·
καὶ γὰρ στιβαροῖς συντεθέντες ὀστέοις
καὶ τῇ πλαδαρᾷ τῶν σφυρῶν καταστάσει
καὶ τῇ πρὸς ἄρθρα τῶν σκελῶν ὑποκρίσει,
νῦν εἰς τόνους ἄγουσι, νῦν εἰς ὑφέσεις
τὰς παντοδαπὰς ἐκδρομὰς τοῦ θηρίου.
Πλὴν ἀλλὰ καθ' ἕκαστον αὐτῶν ἡ φύσις
ὡς ὑπὸ κύκλῳ τῆς ὁπλῆς τῷ χωρίῳ
τριγωνοειδεῖς πέντε δακτύλους φύει,
οἳ μακρὰς οὐκ ἔχουσι τὰς ἀποστάσεις·
ἢ γὰρ ἂν ἔπλει νηκτικῶς καὶ συντόνως
ὁ θὴρ ποταμοῖς καὶ βυθοῖς ἐντυγχάνων·
τέως δὲ τοὺς ὄνυχας ἐν τούτοις φέρει
ὥσπερ λεπίδας ὀστρακώδεις ἰχθύων.
Βραχυτέρους ὄντας δὲ τῶν ὀπισθίων
ἀναμφιλέκτως οἶδα τοὺς ἐμπροσθίους.
Τούτοις ἐλέφας ἐνταθεὶς ὥσπερ στύλοις
ὀρθοστάδην ἀκαμπτος ὑπνώττων μένει.
Διπλῆς δέ φασιν εὐπορῆσαι καρδίας·
καὶ τῇ μὲν εἶναι θυμικὸν τὸ θήριον
εἰς ἀκρατῆ κίνησιν ἠρεθισμένον·
τῇ δὲ προσηνὲς καὶ θρασύτητος ξένον,
καὶ πῇ μὲν αὐτῶν ἀκροᾶσθαι τῶν λόγων,
οὓς ἄν τις Ἰνδὸς εὖ τιθασεύων λέγοι,
πῇ δὲ πρὸς αὐτοὺς τοὺς νομεῖς ἐπιτρέχειν
εἰς τὰς παλαιὰς ἐκτραπὲν κακουργίας.
Τούτῳ φίλη τράπεζα πᾶς ἕλους τόπος,
ἔνθα κλάδους φοίνικος ἐσθίειν ἔχει,
καὶ σχῖνον ἢ δρῦν ἢ φυτῶν ἄλλων κόμας,
ἢ κιττὸν, ἢ πέτηλον, ἢ ζῶσαν χλόην,
ἢ ῥίζαν, ἢ λάχανον, ἢ βλάστην βάτων.
Ἄρτι δὲ καὶ σταφίδες ἡμερουμένῳ
κριθῆς τε χυλὸς καὶ παρὸν χύδην μέλι
καὶ μῆλα καὶ κρόμμυα καὶ γλυκὺς πέπων
εὐωχίας ἔχουσι τῷ κτήνει κρίσιν.
Ὕδωρ δὲ πίνει συγχυθὲν πρὶν ἂν πίνοι·
τὸ γὰρ διειδὲς ἀκριβῶς διαπτύει.
Οἴνου δὲ τὸν τοσοῦτον εὐφραίνει κύλιξ,
ὃν ὁ τρυγητὴρ ἐκκενοῖ τῶν βοτρύων.
Ὀρεκτιῶν δὲ καὶ σφαδάζων εἰς μάχην
τὸν ἀπὸ λωτοῦ καὶ τὸν ἀπὸ φοινίκων

et circuliformi coagmentatione fictus;
cartilago mollita in fractas sectiones (*annulos*),
nervus laxatus in celeriter versatiles flexus.
Tortuose autem sinuatus et prælongus exsertus
ad omne omnino ministerium, quod natura requirit,
fauces claudit, et os dilatat,
et cibum in maxillas infert,
et ad crassa foramen suum ample patefacit,
vicissim ad tenuia manubrium suum in angustum contrahit,
facitque contractiones et extensiones
ad varios usus sive amplarum sive exilium rerum.
Pedes ejus sunt miraculum et prodigium manifestum,
quippe quos contra morem ceterorum animantium
sine articulatis verticulis movere solet:
namque compositi e crassis solidisque ossibus
et succulenta malleorum substantia
et cruribus articulorum indolem simulantibus,
dum se mox intendunt, mox nervos remittunt,
efficiunt varios feræ gressus et cursus.
Verumtamen in pede unoquoque Natura,
velut sub circulo, in ungulæ loco
profert quinos digitos triangulares,
qui non magna habent invicem intervalla:
alias valido natatu remigare posset
fera, quum incidit in flumina et profunda loca.
Interim in illis *digitis* gerit unguiculos
testaceis piscium squamis non dissimiles.
Anteriores vero pedes posterioribus
certo scio esse breviores.
His velut columnis firmiter insistens elephas
erecto corpore non inclinatus manet dormiens.
Aiunt gemino corde præditam esse belluam:
atque altero esse iracundam,
ad impotentem animi motum concitatam;
altero placidam esse et a ferocia alienam;
atque alias ipsis vocibus obedire,
quas Indus bene tractans et mulcens eloquatur;
alias vero in ipsos rectores suos impetum facere,
ad vetera maleficia conversam.
Huic grata mensa est quivis palustris locus,
ubi comedere potest palmarum ramos
et lentiscum et quernas aliarumve arborum frondes,
aut hederam, aut folia lata, aut viride gramen,
aut radicem, aut olera, aut ruborum fruticem.
Jam vero mansuefacto etiam uvæ
et hordei succus et præsens copia mellis
et poma et cepæ et dulcis pepo
habentur pecori in deliciis pastûs.
Aquam autem bibit, sed antequam bibat, turbatam:
namque pellucidam penitus respuit.
Etiam poculo vini exhilaratur tanta bestia,
quod vindemiator ex uvis expresserit.
Quum vero ea prurit in pugnam pedibusque jam tumultua-
vinum ex loto aut ex palmis [tur,

καὶ τῆς ὀρύζης ἐκροφεῖ τῆς ἀγρίας,
ὡς ἂν ὁ θυμὸς ἀκρατῶς ὑποζέων
ἀντιστατικῶς καρδιώττειν ὀτρύνῃ.
Καὶ γὰρ τὸ θερμὸν φυσικῶς ἧττον φέρει
τῶν ἀκροθέρμων εἰς ῥοπὰς ἐναντίας
ὁ θὴρ ὁ μακρὰν εὐτυχῶν ἴσως ῥίνα.
Καὶ πάλιν ὡς ἂν εὐδρομῇ πρὸς τὴν νίκην,
ἡ κέρκος αὐτὸν μαστιγοῖ πρὸ τῆς μάχης,
ὡς ἰσχίον λέοντος ἀλκαίας τόνος,
ἡ δὲ προβοσκὶς καὶ πρὸ τῆς κέρκου θλίβει.
Καὶ σῦς γὰρ οὐκ ἂν εἰς τὸν ἔχθιστον δράμοι,
πρὶν τοὺς ὀδόντας ὑποθῆξαι τοῖς λίθοις.
Πήχεις δὲ μήκους τοῦτον αὐχεῖν ἐννέα
λέγουσιν οἱ κρίνοντες ὀρθῶς τὰς φύσεις,
καὶ πέντε, μετρεῖν εἴπερ εὖ εὖρος θέλεις.
Ἀλλὰ τοσοῦτον εὑρεθὲν τὸ θηρίον
Ἔρως ὁ δεινὸς ἀκρατῶς ὑποφλέγων
πρηστῆρα ποιεῖ τοῖς φυτοῖς κερασφόρον,
καὶ γίνεται πῦρ ἐμπεσὼν τοῖς ἀψύχοις
ὁ πρὶν γαληνὸς ἐξ ἐθῶν χειροτρόφων.
Μόνους δὲ τοὺς φοίνικας αἰδεῖται βλέπων·
φιλεῖ γὰρ ὡς ἔρωτος αὐτοὺς ἐργάτας
καὶ δημιουργοὺς τῆς τροφῆς τῶν ἀκρίδων.
Οὕτω κυρίττων καὶ σφριγῶν πρὸς τὸν γάμον
κλῶνας καθαιρεῖ καὶ πλοκὰς λόχμης λύει
καὶ τὴν περισπούδαστον ἐκζητεῖ δρόσον,
τὴν ὑποκυμαίνουσαν ὠδίνων ζέσιν.
Καινὸν γὰρ οὐδὲν, ἐκνικᾶσθαι πρὸς γάμον
τὸν ἀπὸ γάμου καὶ σπορᾶς παρηγμένον.
Πῦρ δὲ πτοεῖται καὶ κριὸν κερασφόρον,
καὶ τῶν μονιῶν τὴν βοὴν τὴν ἀθρόαν·
ἀσπάζεται δὲ τὴν χλιδὴν τῶν ἀνθέων,
καὶ θέλγεται μὲν ταῖς λιβάσι τῶν μύρων,
ὥσπερ τις ἁβρὸς εἰς τρυφὰς πολυτρόπους.
Λουτρὸν δὲ ποιεῖ τὴν σκιὰν καὶ τὴν δρόσον,
ὅταν τις ἀκτὶς ἐξ ὀπῆς ὑποδράμοι·
λυπεῖ γὰρ αὐτὸν ὁ κρυμὸς τῆς ἑσπέρας.
Αὖθις δὲ τοῦ θάλποντος ἐνστάντος θέρους,
τὸ σῶμα πηλῷ δαψιλεῖ περιχρίει,
καὶ ψυχαγωγῷ τὴν δορὰν σαίνει κρύει,
τὴν ἡλιακὴν ἀντικλῶν οὕτω φλόγα.
Ἐρᾶν δέ φασιν ἐγκρατῶς τὸ θηρίον
ὥρας γυναικὸς συμβιοῦν εἰθισμένον·
εὐθὺς γὰρ αὐτὴν μαστροπεύειν τῇ σχέσει,
καὶ καθάπερ λαβίδι τῇ προβοσκίδι
σοφῶς διασπᾶν τοῦ προσώπου τὴν χνόην
καὶ τὰς ῥυτίδας ἀσφαλῶς ἀποξέειν,
καὶ κάλλος αὐτῇ φυσικὸν μετεγγράφειν,
ὡς τεχνίτης σκάριφον εἰ θέλει γράφειν.
Διδάσκεται δὲ καὶ γραφὰς ταύτῃ γράφειν,
ὡς γραμματεύς τις εὐφυὴς τῷ καλάμῳ,
δεικνύντος Ἰνδοῦ τὰς πλοκὰς τῷ δακτύλῳ,
ὡς ἂν τάχα γράφοι τις ἐκ μελανδόχης.
Αὐλοῖς δὲ καὶ σύριγξι καὶ χειρῶν κρότοις

aut ex agresti oryza paratum exsorbet,
uti æstus animi validissime effervescens
ad virtutis sensum et ad fortiter resistendum exstimulet.
Namque naturaliter possidet minus fervoris,
quam iracundissimæ *feræ*, ad hostiles impetus
hæc fera, fortasse quia prolixissimo naso prædita.
Porro, ut ad victoriam appetendam excurrat,
cauda eam verberat ante pugnam,
sicuti caudæ flagrum leonis lumbos *stimulat* :
proboscis autem jam ante, quam cauda, eam urget.
Etenim vel aper in feram inimicissimam non facile irruet,
nisi prius dentes ad lapides acuerit.
Eam longitudine gaudere novem cubitorum
dicunt qui de natura animalium recte judicant,
et latitudine quinque cubitorum, si quis recte eam emetiatur.
At tam grandem belluam
amoris furor impotenter urit atque
efficit ut procella cornuta fiat arboribus;
fitque ignis, quando incidit inanimatis,
quæ antea moribus mansuetis fuerat placida.
Solas palmas reveretur, quum aspicit :
amat enim eas, ut amoris sui fomitem
et ut parentes surculorum, quibus vescitur.
Ita petulcus et ad coitum pruriens
tollit ramos et densitatem silvæ discutit,
et anquirit illum summo studio appetendum rorem,
interno ardore æstuans.
Neque enim mirum est, appetitione conjunctionis eum supe-
qui ipse ex coitu et satione sit ortus. [rari,
Ignis flammam vero reformidat et cornigerum arietem,
ac grunnitum aprorum frequentem;
appetit vero florum amœnitatem
et oblectatur liquoribus odoriferis,
quasi lautus aliquis homo variarum appetens deliciarum.
Balneum autem sibi parat opacum locum et rorem,
si tamen radii solares per ramorum spatia penetrare possint;
quippe vespertinum frigus eum offendit.
Vicissim quum æstatis calor imminet
corpus suum largo limo oblinit,
et cutem mulcet delectabili frigore,
ita flagrantis solis ardorem retundens.
Aiunt autem hanc feram valide amare
mulierem formosam, cum ea convivere solitum :
statim enim habitu corporis omni ei lenocinari,
et proboscide sua velut volsella
dextre abstergere a facie lanuginem
et rugas penitus expolire,
et nativam pulchritudinem in ea rursus pingere,
sicut artifex si delineationem vult adumbrare.
Eadem proboscide docetur etiam pingere literas,
non aliter ac scriba peritus calamo,
dum Indus ei ductus literarum digito monstrat,
quasi fere quis ex atramentario scriberet.
Porro ad tibias et fistulas et manuum plausus

καὶ πᾶσιν ἁπλῶς τῶν μελῶν τοῖς ὀργάνοις
ὁ θὴρ, καταστὰς εὐμαθὴς χοροστάτης,
ἄττει πρὸς εἰρμὸν ἐμβολῆς ἀγχιστρόφου,
καὶ πρὸς τὰς ᾠδὰς ἀντιβάλλει τὰ σκέλη,
καὶ σχηματίζει τὰς βοπὰς πρὸς τοὺς τόνους,
ὀρχηστρίδος λύγισμα δεικνὺς τὴν βάσιν·
καὶ πῇ μὲν ὁρμᾷ καὶ προβαίνει μετρίως,
τοῦ κιθαρῳδοῦ ταῖς λαβαῖς τῶν δακτύλων
τὸ γοργὸν ἀμβλύνοντος εὐρύθμως μέλος·
πῇ δ' εὐθὺς ἠχήσαντος ἐκ τοῦ συντόνου,
σφριγᾷ πρὸς ὀξὺν εὐπετεῖ ῥύμῃ δρόμον,
καὶ καθάπερ μάστιξιν ἠρεθισμένος
ὀκλάζ περικλᾷ καὶ προβάλλει τοὺς πόδας
καὶ πρὸς τὸ παρὸν εὐδρομεῖ τῶν ᾀσμάτων,
καινόν τι ποιῶν ἐξ ἀνάρθρων ὀργάνων.
Τοῦτο προσηνὲς εὑρεθὲν τὸ θηρίον
ὅταν προληφθῇ καὶ μαλαχθῇ σκυμνίον
καὶ σωφρονισταῖς ἐκδοθῇ διδασκάλοις,
καὶ πρὸς τὰς ἁφὰς μετριάζειν εὖ μάθοι,
τῆς ἀντιτέχνου φλεγμονῆς κενουμένης,
κἂν μαστιγοῦν θέλῃ τις, εὐψύχως φέρει,
καὶ γίνεται παῖς σωφρονεῖν πεπεισμένος
τοῦ μυσταγωγοῦ τῷ θυμῷ καὶ τῷ ξύλῳ.
Σόλων μὲν οὖν δίδωσιν ἀνθρώποις νόμους
καὶ παιδαγωγῶν εὐγενίζει τὸν βίον,
καὶ ῥυθμὸν ἐντίθησι τῇ φύσει ξένον·
ὅταν δὲ τοῖς γέρουσι πατράσι γράφῃ
τιμὰς παρ' αὐτῶν καὶ τροφὰς τῶν φιλτάτων,
πολλοὺς ἀνιῶν εἰς κενὸν κράζει κτύπον·
μόλις γὰρ ἄν τις τοὺς τροφεῖς ἀντιτρέφοι,
τοὺς τῶν πελαργῶν εὐλαβούμενος νόμους,
οὓς ἀγράφῳ τίθησιν ἡ φύσις κρίσει·
ὁ θὴρ δὲ κοινῇ τοῦ γένους τοὺς πρεσβύτας
οἵδε πρὸ τοῦ Σόλωνος ἀρρήτως τρέφειν.
Ἤδη δὲ καὶ κάμνοντας ἐν μάχαις βλέπων,
ἐξὸν παρελθεῖν τοὺς διώκτας μακρόθεν,
τέως μὲν, ὡς δύναμις, ἀναλαμβάνει,
γοργῶς τὰς αὐτῶν ἐκδρομὰς ἀνατρέπων
καὶ τὰς μετάρσεις τῶν βελῶν καὶ τοὺς κύνας
καὶ τοὺς ἐν αὐτοῖς ἀντανείργων ὁπλίτας·
ὅταν δ' ἐπιστῇ τῆς τελευτῆς ὁ χρόνος,
κοινοῦ τέλους ἄμυναν ὁ ξένος φέρει.
Νῦν οὖν, Βασιλεῦ, δεξιῶν ἔργων φύσις,
ξένης μάχης ἄκουσον, ὡς ἔχει, τρόπον.
Ἔχθιστός ἐστιν ὁ δράκων τῷ θηρίῳ·
δράκων δ' ἐν Ἰνδοῖς θαῦμα· τίς γὰρ ἡ δράκων
ὀξὺς, πονηρὸς, ἐμβριθὴς, γλίσχρος, μέγας,
φθορεὺς, ἰταμὸς, ἀνθρακῶδες ἐμβλέπων,
ψυχρὸς, πλαδαρὸς, ἐνδακεῖν ἠπειγμένος,
ἕρπων, συρίττων, ἐξεμῶν, ἀντιπνέων,
καὶ τοῖς ἑλιγμοῖς ὡς πτεροῖς ἐπιτρέχων;
Οὗτος τὸν ἐλέφαντα μακρόθεν βλέπων
ἐπὶ τρύγην ἥκοντα λεπτῶν ἀκρίδων,
πυκνοῖς καλυφθεὶς ἐξεπίτηδες κλάδοις

et ad quævis omnino musices instrumenta,
hæc fera, magistro chori docilem se præbens,
exsilit ad seriem emboles versatilis,
et ad cantilenas apte crura agitat,
et motus suos figurat ad numeros modosque,
gressus suos saltatricis alicujus flexibus ostendens confor-
mox enim incedit ac progreditur moderate, [mes :
dum citharista digitorum pulsibus
concinne reprimit concitatos modos :
mox, si musicus sonum edit intensiorem,
prurit ad concitum cursum impetu levi faciendum,
et, quasi flagris compelleretur,
geniculans inflectit projicitque pedes
et ad præsentes carminis modos dextre ambulat,
novum quid et mirandum faciens per membra sine articulis.
Placidum esse solet hoc animal,
si tenera adhuc ætate sit exceptum et mitificatum
et magistris castigantibus commissum,
æquo animo ferre didicerit contrectationes,
arti adversario ardore ablato,
vel verbera et flagra si quis infligere vult, fert patienter :
atque tanquam puer fit sapienter ac sobrie vivere doctus
præceptoris sui animis et baculo.
Solon quidem hominibus dat leges et mores,
et vitam moderatus ad honestatem componit,
novamque concinnitatem indit naturæ :
quum autem senio confectis parentibus sancit
nutrimenta et honores ab ipsis carissimis offerendos,
tum multos offendit et surdas aures verberat.
Vix enim quisquam suos nutritores vicissim nutrire cupit,
ductus verecundia legum, quas inter ciconias,
natura sine scripta sententia fixit *de amore in parentes*.
Ista autem bellua generis sui senes communiter
vel ante Solonem norat, mirum dictu, alere.
Jam quum videt eos in pugna sauciatos,
quamvis liceret venatores persequentes e longinquo præter-
aliquamdiu tamen pro viribus *illos* reficit, [ire,
persequentium insultus mascule repellens
et telorum jactus et canes
et iis junctos armatos excipiens et arcens :
quando vero mortis tempus affuerit, *mortuo*
etiam alienus justa funebria, communi naturæ debita, per-
Nunc, o Rex, dextrè factorum auctor, [solvit.
accipe mirabilis certaminis, ut sese habeat, modum.
Serpens est isti belluæ inimicissimus : [præter serpentem
est vero serpens in Indis portentum : quæ enim alia bestia
simul celeris, maligna, torva, lubrica, grandis,
vastatrix, audax, fulgurantibus oculis,
frigida, humida, morsibus inferendis prompta,
repens, sibilans, evomens, afflans,
et suis flexibus tanquam alis irruens?
Hic, procul conspecto elephante,
qui ad vindemiam tenuium surculorum accedit,
densis ramis de industria absconditus,

χεῖται κατ' αὐτοῦ προσβαλόντος ἀθρόον,
καὶ τὰς μὲν ὄψεις ἀσφαλῶς ἀποθλίβει,
ὥσπερ τομὸν τέρετρον ὠθῶν τὸ στόμα·
οἰκτρὸν δὲ λοιπὸν εὑρεθέντα τὸν μέγαν,
καὶ πρὸς μάχην ἄτολμον ἐξ ἀβλεψίας,
σφαιρῶν τὸν ὁλκὸν ἐγκρατῶς ἀποπνίγει.

Τούτους, Βασιλεῦ, τοὺς καλοὺς θῆρας λόγος
θεσμοῖς φυσικοῖς τακτικῶς ἠθροισμένους
τηρεῖν ἀκραιφνῆ τὴν φιλάλληλον σχέσιν·
καὶ γὰρ νέοι γέροντας αἰδοῦνται βλέπειν,
καὶ συλλυποῦνται δυσπραγοῦσι τοῖς φίλοις,
εἰς ἀφρόνων ἔλεγχον ἀνθρώπων φίλων
τὸ κοινὸν εἰσφέροντες, ὡς ἄλας, τρύφος,
καὶ τοῖς ἐν ἀκμῇ συμμαχοῦσιν ἐκθύμως,
Ἰνδῶν ἐπ' αὐτοὺς δυσμενῶν πεφραγμένων
σάλπιγξι, πυρσοῖς, φασγάνοις, ἀκοντίοις,
καὶ τοῖς μεταξὺ μορμολύττουσι ψόφοις.
Ἔστι δ' ὅτε θνήσκουσιν ἀλλήλων χάριν,
καὶ μᾶλλον αὐτῶν τῆς γονῆς τῶν σκυμνίων.
Ὅταν δὲ τὴν σύρρηξιν ὁ χρόνος λύσῃ
καὶ τὰς παρ' ἀμφοῖν τῆς κονίστρας ἐνστάσεις,
σκοποῦσι τοὺς κάμνοντας ἐκ τῶν τραυμάτων,
καὶ πᾶν μὲν ἐξαίρουσι τῇ προβοσκίδι
βέλος πεπηγὸς εἰς μυχοὺς ἀποκρύφους.
Ὡς ἂν δὲ μηδεὶς φλεγμονῆς ὄγκος πάλιν
εἰς ὑποθέρμους ἐκτροπὰς ἀντισπάσῃ,
τὴν πικρὰν ἐγχέαντες ἀλόης δρόσον,
παρῆκαν αὐτοὺς εὐδρομεῖν ἀκινδύνως.
Τούτοις δὲ πᾶσαν ἡμερουμένοις νόσον
οἶνος μέλας ἔλυσεν ἀνθ' Ἱπποκράτους.
Ὦ τίς Γαληνὸς ἢ Γαληνοῦ βιβλίον
τούτους διδάσκει φαρμακεύειν τὰς νόσους;
πόθεν δὲ θηρσὶν ἡ σοφὴ χειρουργία
καὶ τὸ κρίνειν δύναμιν ἁπλοῦ φαρμάκου;
τίνας δὲ τέχνας ἀκριβοῦντες εὐστόχως
αἱμορραγούσας ἐμπεδοῦσι τὰς φλέβας;

Οὗτοι ποταμὸν ἐκπερᾶν ἠπειγμένοι
πτύσσουσι τοῖς κέρασι τὴν προβοσκίδα,
μήπως τὸ ῥεῖθρον εἰσρύῃ τοῖς ἐγκάτοις
καὶ συμποδισθῇ τὸ σφυρήλατον σκάφος
ὑγροῖς χαλασθὲν δυστυχῶς ἐφολκίοις.
Ὑπανέχειν δέ φασιν αὐτῇ τοὺς τόκους,
ἀγωνιῶντας πρὸς τὸ ῥεῦμα τοῦ πόρου.

Ὅταν δέ τις ὄρυγμα βοθρεύσας μέγα
τούτους νομίζῃ συμπεσόντας ἀσκόπως
καὶ προστριβέντας ἐν βραχεῖ συλλαμβάνειν,
ὠθοῦσι τὸν μέγιστον αὐτῶν εἰς μέσον,
καὶ καθάπερ γεφύραν εὐτυχηκότες
τὸ δυσχερὲς φεύγουσι τῆς ῥύμης βάθος.
Τὸ γὰρ κεχηνὸς τοῦ κενοῦ πληρούμενον
ἦγαγεν αὐτοὺς εἰς τὸ τῆς ὄχθης πέραν,
βάδην πατοῦντας ἐξ ἀνάγκης τὸν φίλον.
Καί τις προτείνας τὸν βαρύσφυρον πόδα
παρῆκεν αὐτῷ συμβαλεῖν εὖ τὴν ῥίνα·

subito contra illum accedentem effunditur,
ac *primum belluæ* oculos prorsus elidit,
dum os suum veluti acutam terebram intrudit;
tum quando grandis bestia miserabiliter afflicta
et præ cæcitate ad pugnam timida reddita est,
eam spiris suis implicans valide præfocat.

Has egregias belluas, o Rex, fama est
naturalibus legibus ordine constituto in unum collectas
illibatum servare humanitatis amorisque mutui sensum
Etenim juvenes reverentur vetulorum conspectum,
et cum amicis infortunio affectis dolent,
ad pudorem hominum sine benevolentia amicitiam simulan-
communem offam afferentes, quasi salem; [tium
et una prœlium ineunt animose cum gregalibus robustis,
quum inimici Indi in eos invadunt
tubis, facibus, ensibus, hastis,
et terriculamentorum vario strepitu.
Interdum quoque unus pro altero mortem oppetit,
ac potissimum pro sua sobole pullorum.
Quando vero tandem desiit conflictus
et utrorumque in arena contrarius nisus,
spectant eos qui vulneribus laborant,
et omne telum proboscide extrahunt,
quod in penetralibus corporis hæret.
Ne vero tumor inflammationis postea
in calida puris diverticula abeat,
infundunt amarum aloæ succum, ac
tum eos sinunt periculo liberatos abire.
Iisdem vero jam mansuefactis omnem morbum
solvit vinum nigrum loco Hippocratis.
At quis Galenus aut Galeni liber
hos docet mederi suis morbis?
unde feræ consecutæ sunt illam sapientem chirurgiam,
et illam facultatem dignoscendi simplicia medicamenta?
quas illi artes tam sagaciter excoluerunt,
ut obligare norint venas sauciatas?

Iidem, quum transfretare fluvium contendunt,
cornibus suis comprimunt proboscidem
ne scilicet aqua perfluat in ventrem
et impediatur malleolo ducta cymba
humido onere infeliciter distenta.
Eadem proboscide eum sustinere dicunt pullos suos
undam fluvii transeundi perhorrescentes.

Quum vero venator ampla fovea depressa
se credit eos inconsiderate illapsos
et lapsu læsos brevi comprehensurum,
illi gregalem corporis mole maximum in mediam *foream*
atque ita velut pontem nacti [detruduut.
inimicam profunditatem viæ effugiunt.
Nam hiatus vacui specus ita repletus
eos in marginem alterum foveæ perducit,
necessitate coactos sodalem suum pedibus calcare.
Posthac unus eorum protendit capto ponderosum pedem
et permittit ut ei dextre implicet proboscidem:

ἄλλοι δὲ πλεῖστα συγκομίσαντες ξύλα
ῥίπτουσιν αὐτῷ δραστικῶς πρὸς τοὺς πόδας·
καὶ κατὰ μικρὸν τοῦ βάθους ᾠδηκότος
καὶ τῆς ξένης κλίμακος ἐξειργασμένης,
ὀξυδρόμως ἔξεισι πρὸς τοὺς συννόμους,
σωθεὶς ὁ σωτὴρ ὑπὸ τῶν σεσωσμένων.
Ἄξιον οὖν καὶ τοῦτο θαυμάσαντά σε
μηδὲν παρελθεῖν τοῦ προσήκοντος λόγου·
καὶ γάρ τινος βάλλοντος αὐτὸν τοξότου
καὶ τῷ στοχασμῷ συγκινοῦντος τὸν τόνον,
αὐτὸς θεωρῶν τὰς βολὰς ἀντιστρέφει
καὶ πήγνυσι τὸ σῶμα δίκην ἀσπίδος
ἐν τῇ συνάρσει τῶν μελῶν ἐσφιγμένον.
Ἀλλ' ὦ δικαστὰ τῶν σοφῶν πάντων λόγων,
καὶ νοῦ καθαρέ, τῶν ψυχῶν ἐπιστάτα,
καὶ τῶν ἐπὶ γῆς δυσμενῶν ἀντιστάτα,
καὶ τῶν παρ' ἡμῖν εἰσφορῶν ζυγοστάτα,
καὶ τῆς φυσικῆς μουσικῆς χοροστάτα,
καὶ τῆς καθ' ἡμᾶς φύσεως πρωτοστάτα,
καὶ φῶς ἐναργῶς ἐξελέγχον τὰς φύσεις,
καὶ πῦρ δαπανῶν τῆς ψυχῆς μου τοὺς πόνους,
ὦ γλυκύτης ἄρρητε καὶ θυμηδία,
καὶ τερπνότης ἄφραστε καὶ κραταρχία
νικῶσα καὶ κρύπτουσα πᾶν λόγου σθένος,
ὦ πάντα κινοῦν εἰς θεοῦ δόξαν στόμα
καὶ γλῶσσα λαμπρὰ καὶ θεόφθογγε φράσις,
καὶ σῶμα καινῶν δεκτικὸν χαρισμάτων,
καὶ πνεῦμα κοινὸν εἰς πνοῆς λειτουργίαν,
ὦ κόσμε τῆς γῆς, τῆς φυλῆς, τῆς ἀξίας,
τῆς πορφυρίδος, τῆς γονῆς, τῆς ἑστίας,
τῆς τοῦ στέφους χάριτος, ὡς καὶ τοῦ θρόνου,
τῆς τοῦ βίου πλάστιγγος, ὡς καὶ τοῦ τρόπου,
τῆς τοῦ λόγου σάλπιγγος, ὡς καὶ τοῦ κράτους,
σοῦ πάντες ἁπλῶς ἀγνοοῦμεν τὴν φύσιν·
τὸ γὰρ ἀκατάληπτόν ἐστί σοι φύσις
θεοῦντι μικροῦ τὴν κατ' ἄνθρωπον φύσιν.
Πῶς δ' ἂν βλέπειν γένοιτο κανθάρων γένει
τὸν αἰγυπιὸν, τὸν φρικώδη, τὸν μέγαν;
τί δ' ἂν ψοφεῖν δύναιντο καὶ πιθηκίδες,
ὅταν βρυχηθμῶν ἐξερεύγηται κτύπους
λέων ἐπ' αὐτὰς ἐκδραμὼν τῆς παστάδος;
ἢ μαινίδων ὅμιλος, εἰ κῆτος βλέπει
τέμνον τὸ ῥεῦμα τοῖς πτεροῖς τοῖς ἐνδρόσοις;
Ὁ φιλοπαίστης ψαλμικῶς ἕρπει δράκων.
Σὺ μετριάζων εὐμενῶς πάντας βλέπεις·
καὶ γίνεται τὸ βλέμμα τοῖς καχουμένοις
σαφὴς γλυκασμὸς καὶ θεόβλυστος δρόσος.
Ὅταν δὲ καὶ τὴν χεῖρα κινῇς ὀξέως
καὶ τὰς ἐν ἡμῖν συμφορὰς ἀνατρέπῃς
ἐκ τῆς ἐρυθρᾶς τῶν γραφῶν πανοπλίας,
ἐνταῦθα πολλοὺς τοὺς δορυκτήτους ἄγεις·
ὥστε πρόδηλόν ἐστι, κἂν μηδεὶς λέγοι,
κράξει δὲ πάντως, εἰ θελήσει, καὶ λίθος,
ὡς σὺ καθαρῶς πᾶσαν ἐκνικᾷς φύσιν.

ceteri congesta ligna plurima
alacriter dejiciunt sub pedes ejus :
ita paullatim specu expleto
et mirabili scala perfecta,
ille velociter exit ad gregales suos,
servator servatus ab iis, quos servaverat.
Etiam hoc dignum est quod mireris
nihil prætereundo sermonis ad rem pertinentis :
scilicet quum sagittarius in elephantem jaculatur
et, dum collineat, nervum movet,
ille prævidens sagittæ jactum, reflectit se
et corpus suum, veluti clypeum, objicit
firmiter collectis membris constrictum et compressum.
Sed tu, quorumque doctorum sermonum judex,
et pura mens, et animorum curator,
et inimicorum nostrorum in terra repulsor,
et nostrorum tributorum arbiter,
et naturalis musicæ præsultor,
et humanæ naturæ antesignane,
et lumen, quo ingenia omnia manifeste arguuntur,
et ignis, quo animi mei ærumnæ consumuntur,
o inenarrabilis dulcedo et suavitas,
o consummatissima hilaritas et potentia,
qua omnis vis orationis vincitur et debilitatur,
o sacrum os omnia movens ad Dei gloriam,
o splendidissima lingua et Deum sonans loquela,
o corpus mirificorum Dei munerum capax,
o spiritus communis ad vitam administrandam,
o ornamentum terræ, nationis, dignitatis,
purpuræ, sobolis, foci,
clementissimæ coronæ, ut et throni,
regulæ communis vitæ, ut et morum,
grandisonæ eloquentiæ, ut et majestatis;
tuam omnes omnino ignoramus naturam :
namque, quod incomprehensibilis es, id tibi natura est,
dum humanam in te naturam prope divinam reddis.
Quomodo tandem id contingeret scarabæorum generi,
ut intuerentur aquilam tremendam et magnam?
quid tandem sonare possent parvæ simiæ,
quum rugituum fragores eructat
leo e cubili suo prorumpens in eas?
aut *quid proferret* turba mænularum, si balænam videt
roscidis alis suis fluctus secantem?
Ecce arrepit serpens carmina ludens.
Tu minime superbus omnes adspicis benigne;
isque aspectus tuus afflictis fit
palam mellita quies et ros divinitus effusus.
Quum vero etiam manum tuam moves alacriter
et calamitates nostras dispellis
ex rubro (*Imperatorio*) scripturarum armario,
huc ad te multos tibi captivos et mancipatos adducis :
quod adeo, etiamsi nemo id dicat, apertum cuivis est;
quin vel lapis, si lubebit, omnino clamabit.
a te omne prorsus superari ingenium.

Ἡμεῖς δὲ παταγοῦμεν ὥσπερ ἀγέλαι
πτηνῶν, Βασιλεῦ, τοῦτο δὴ τῶν ἐμψύχων,
ὅταν ὁρῶμεν ἀπὸ γῆς μετάρσιον
ταῖς τῶν φρενῶν πτέρυξιν ἐσκευασμένον
τὸν ἀετόν σε τὸν θεόπτην τοῦ κράτους.
Ἀλλ' εἴγε φασὶ, Βασιλεῦ, τὸ θηρίον,
ὃ μηδὲν εἰς ὄνησιν ἀνθρώποις φέρει,
κἂν τισιν ἴσως τὴν γλυφὴν τῶν ὀστέων
πρὸς θρύψιν ἁβρότητος ἁπλήστου τρόπου,
εἰς τρὶς ἑκατὸν συντεθέντας ζῆν χρόνους,
σὺ παντὸς ἐλέφαντος ὀφθείης πλέον
βιοὺς δι' ἡμᾶς τῶν ἐτῶν σου τὸν δρόμον·
ἐχθρὸς δὲ πᾶς, ἢ δῆλος ἢ κεκρυμμένος,
πρὸ τῶν ποδῶν σου χοῦς βραχὺς γένοιτό σοι
θεοῦ τὸ σεπτὸν εὐγενίζοντος κράτος
καὶ τῆς ἀληθοῦς τοῦ θεοῦ λοχευτρίας,
ἐφ' ἣν βεβαιοῖς τῆς ψυχῆς τὰς ἐλπίδας,
Αὐτόκρατορ μέγιστε, τοῦ γένους λέον.

Nos autem circumstrepimus te more catervæ
alitum crepitantium, o Rex, id quod animantes faciunt,
quum videmus e terra sublimem attolli,
sapientissimæ mentis pennis instructum
te majestatis aquilam in Deum intuentem.
Veruntamen, Rex, si ferunt istam belluam,
quæ nullam hominibus utilitatem præstat,
nisi forte nonnullis eboris sui sculpturam
ad lautitiarum intemperantem luxum,
producere vitam ad trecentos continuos annos:
tu ampliorem, quam ullus unquam elephas, cernaris
permetiri annorum vitæ cursum nostro commodo:
quilibet autem hostis, sive apertus, sive clandestinus,
in pulverem comminutus ad pedes tuos prosternatur:
sic Deus augustissimam tuam majestatem fortunet
et vera Dei genitrix,
in qua animi tui spes figis,
o Imperator maxime, humani generis leo.

EJUSDEM PHILÆ

DE PLANTIS.

ΠΕΡΙ ΣΤΑΧΥΟΣ.

Χθὲς κόκκον ἰδὼν, καὶ λαβὼν τοῖς δακτύλοις,
καὶ πάλιν ἰδὼν καὶ βαλὼν εἰς τὸ στόμα,
καὶ ψηλαφητῇ συντριβῇ περισχίσας
τὸ δέρμα σαπὲν τοῦ χυλοῦ δεδευμένου,
σπορεὺς γεωργὸς οὐδαμοῦ γῆς εὑρέθην·
εὐθὺς γὰρ αὐτὸς ἐνταφεὶς τῇ καρδίᾳ,
καὶ τῶν φυσικῶν εὐπορήσας ἰκμάδων,
καὶ τοῖς λογισμοῖς ἐκραγεὶς τῶν πραγμάτων,
καὶ ταῖς καθ' εἱρμὸν ἐκφυεὶς ὑπουργίαις,
καὶ κατὰ μικρὸν ἐκτραφεὶς ὡς ἐν θέρει,
νυνὶ πρὸς ἄδρὸν ὠργανώθη μοι στάχυν·
κἀντεῦθεν ὡς ἂν μὴ ῥυῇ παρακμάσας,
θερίζεται μὲν τῇ δρεπάνῃ τῶν λόγων,
κομίζεται δὲ πρὸς τὸ σὸν δεῦρο κράτος,
ὦ καὶ Βασιλεῦ καὶ τροφεῦ τῶν Αὐσόνων,
καὶ νοῦ γεωργὲ μυστικῆς εὐκαρπίας.
Τίς οὖν θεωρῶν ἢ κατάστερον πόλον,
ἢ γῆν κρεμαστὴν εἰς ἀνέδραστον βάσιν,
ἢ ῥοῦν θαλασσῶν εἰς παλίνστροφον χύσιν,
μὴ παρενεχθῇ καὶ καλύψῃ τὴν κτίσιν,
ἢ πνεῦμα καὶ πῦρ καὶ ψυχῶν ζωσῶν γένη.
τὸν δημιουργὸν τὸν σοφὸν μὴ θαυμάσει;
Ἐπεὶ δὲ πολλὰ μὴ πρὸς ὄγκον ᾐρμένα
δοκεῖ ταπεινὰ τῇ κατ' αἴσθησιν κρίσει,
τῆς ἐμφύτου χάριτος ἀγνοουμένης,
οἷον λίθοι, κώνωπες, ἐμπίδες, πόαι,
τὰ σμικρὰ καὶ μέγιστα κατ' ἄλλην κρίσιν,
προὔθηκα δὴ τὸν σῖτον ἐξητασμένον,
οὐχ ἵνα λαβὴ προστεθῇ σοι βελτίων,
κἂν εἰς τὰ φαυλότατα πολλάκις βλέποις,
τῷ σῷ, Βασιλεῦ, συμπορίζων τὰς φύσεις·
οὐδὲν γὰρ ἰκμὰς καὶ σταγὼν καὶ πομφόλυξ
πρὸς τοὺς ποταμοὺς τῆς Ἐδὲμ τῆς ὀλβίας·
ἀλλ' ἵνα πᾶς ἄνθρωπος ἐντεῦθεν μάθῃ
κἂν τοῖς ταπεινοῖς εὐλογεῖν τὸν Δεσπότην·
ὡς μικρὸν οὐδέν ἐστι τῶν παρηγμένων
ἐκ τῶν δι' ἡμᾶς ἐκφυέντων σπερμάτων.
Ὁ σῖτος ἐστὶν ὁ τροφεὺς τῶν ἐμψύχων,
ὁ κόκκος αὐτὸς τῆς πνοῆς ὁ προστάτης,
ὁ σάρκας ἰσχνοῖς ἐνστεγάζων ὀστέοις,
καὶ νεῦρα τιθεὶς καὶ φλεβῶν ὑποστάσεις,
ὁ τῆς τελευτῆς εὐσταλὴς ὁδοστάτης,
ὁ τὴν ξένην ἔγερσιν ἡμῶν δεικνύων
ἐκ τῶν κατ' αὐτὸν ἀκριβῶς διδαγμάτων·
ὃς ῥίπτεται μὲν κατὰ γῆς εἰργασμένης,

DE SPICA.

Heri quum granum viderem et digitis caperem,
iterumque contemplarer et ori insererem,
deinde per attactum *linguæ et dentium* contritione scindecorium emollitum succi humectati, rem
exstiti agricola seminans in nullo telluris loco:
nam statim granum infossum cordi meo,
et naturales nactum humores,
et per meditationem rerum erumpens *ex tunica*,
et ordine succedentibus ministeriis procrescens,
et paulatim enutritum, quippe æstatis tempore,
nunc in vegetam formatum est mihi spicam:
hinc jam ne præ maturitate decidat,
en demetitur carminis falce,
atque tuæ huc offertur majestati,
o Imperator et nutritor Romanorum,
et sator mentium mysticæ fœcunditatis.
Ecquis aut cœlum stellis præsigne spectans,
aut terram suspensam in instabili fundamento,
aut marium fluxum vicissitudine æstus temperatum,
ne videlicet sua exundantia res mundanas obruat,
aut ventum, et flammam, et animantium genera,
non admiretur Conditoris sapientiam?
Quum vero multæ res granditate nulla tumentes
sensuum arbitrio humiles judicentur,
quod innata illis gratia ignoratur,
velut lapides, culices, muscæ, germina,
quæ parvæ res, alio respectu profecto magnæ sunt,
igitur speciminis loco proposui explicationem tritici,
non ut tibi ansa præbeatur melior
et vel ad vilissima sæpe respicias,
tuo servo, o Rex, comparans naturæ munera;
nihil enim sunt vapor aut gutta aut bulla,
si cum Edenis beatissimæ fluminibus conferantur:
sed ut quivis homo inde discat
etiam in humilibus rebus prædicare laudes Domini,
quod nihil est parvum omnium quæ producta sunt
ex seminibus ad usus nostros procreatis.
Triticum est nutritor animantium,
granum ipsum est patronus vitalis animæ,
qui carnes includit inter tenuia ossa,
et nervos venarumque substantias apponit:
idem mortis viam expedite monstrat nobis,
ac docet mirabilem resurrectionem nostram
documento sui dato accurate:
quod projicitur in terram cultura præparatam,

ἐνθάπτεται δὲ τοῖς μυχοῖς τῶν αὐλάκων,
καὶ σήπεται μὲν ἐκλυθεὶς ταῖς ἰκμάσιν,
ὑφίσταται δ' οὖν ὡς ὀπὸς πεπηγμένος,
λευκαίνεται δὲ καὶ προκύπτει μετρίως,
λιπαίνεται δὲ καὶ χλοάζει καὶ βρύει
τῆς ἡλιακῆς εἰσβαλούσης λαμπάδος,
καὶ γίνεται μὲν εὐφυοῦς βλάστης πόα,
σκεδάννυται δὲ καὶ πλατύνει τὴν βάσιν,
καὶ ῥιζοποιεῖ μυστικῶς τὰς ἐκφύσεις,
τὴν συνδετικὴν ἐμβολὴν ὑποτρέφων,
ὡς ἂν τὸ βαρὺ τῆς χλιδῆς μὴ συμπέσῃ,
τῶν ἀντιλαβῶν τῆς φυῆς ἠδρασμένων·
στηρίζεται γοῦν καὶ προβάλλει τὴν κόμην
ζωστῆρσί τισιν ἐνδεθεῖς περιστρόφοις,
ἐπὰν τὸν αὖλον εὐδρομοῦντα δεικνύῃ,
μήπου χαλασθεὶς εὑρεθῇ τεθραυσμένος.
Οὕτω δὲ τῆς κρηπῖδος ἡτοιμασμένης
πρὸς τὰς ἐν ἀκμῇ τῆς φυῆς ὑπεκφύσεις,
ἐγκυμονεῖ μὲν ἡ κάλυξ τὸν ἄσταχυν,
ἐκρήγνυται δὲ καὶ προάγει τὸν τόκον,
καὶ σπαργανοῖ τὸν κόκκον, ὡς λεχὼ βρέφος,
μερίζεται δὲ τῆς χλιδῆς πᾶς ὁ σπόρος
ἐξαιρέτοις χιτῶσιν ἐνσπειραμένος,
μὴ καὶ ψεκασθεὶς ἐκτραπῇ τῇ συνθέσει·
ἀδρύνεται δὲ τοῦ κενοῦ πληρουμένου
τῇ κατὰ μικρὸν τῶν δεόντων προσθέσει·
Ἀλλ' ἵνα μηδὲν προσπεσὸν τῶν ὀρνέων
τὸ σπέρμα γυμνὸν εὑρεθὲν διαρπάσῃ,
στιχηδὸν ἀνθέρικας ὀξεῖς ἐκφύει,
λεπταῖς ἀκανθῶν ἐκβολαῖς καθοπλίσας.
Αὖθις δὲ τοῦ δέοντος ἐξικμασμένου
καὶ πρὸς παρακμὴν τῆς γονῆς ὑποστάσης,
τὸ τοῦ θέρους δρέπανον ὡς ἂν προβλέπων
εἰς γῆν ἑαυτὸν ὠχριῶν ἐπικλίνει,
μαραίνεται δὲ κλαυσιῶν ὁ πρεσβύτης,
σοβοῦντος αὐτὸν ἠρέμα τοῦ πνεύματος.
Καὶ τέμνεται μὲν τῷ προσήκοντι χρόνῳ,
καθαίρεται δὲ τῆς καλάμης ἠρμένης,
συντρίβεται δὲ ταῖς κυλίστραις τῶν λίθων
καὶ δείκνυται σταὶς ἐκλεπισθεὶς ὁ στάχυς.
Συστέλλεται δ' οὖν εἰς φυραθεῖσαν ζύμην,
πυγμαῖς περιτταῖς ὡσανεὶ τετυμμένος,
ἐκτείνεται δὲ προσλαβών τινα ζέσιν
ἐκ τῶν ἐπ' αὐτοῦ συντεθέντων ἀμφίων.
Καὶ πλάττεται μὲν εἰς τὸν ἄρτον αὐτίκα,
συντήκεται δὲ τῇ φλογὶ προσεγγίσας.
Καὶ τίς ἱκανῶς τὸν τοσοῦτον θαυμάσει,
ὅταν τὸ καμὸν ἐκ λίμου σῶμα τρέφῃ
καὶ ζωγραφῇ τὴν ὥραν, ἐκ τῶν ἐγκάτων
εἰς τὰς παρειὰς εὐπρεπῶς ἀνατρέχων.
Ἀλλ', ὦ Βασιλεῦ, τῇ πλοκῇ τῶν νῦν λόγων
ἠνιξάμην τὸν σῖτον, οὐκ ἠτησάμην·
εὐμήχανον γὰρ εἰς τὸ λυποῦν ἡ φύσις.
Σὺ δ', ὡς ἔθος, τολμῶντι συγγίνωσκέ μοι.

et in latebris sulcorum sepelitur,
et putrescit, terræ vapore dissolutum :
mox speciem habens concreti lactei humoris subsistit
et albet ot emicat sensim,
porro incrassescit et virescit et herbam protrudit
solis lampade incidente,
atque fit venusti germinis herba,
tum diffundit se ac fulcra sua dilatat,
ac mystice nixas radicibus spargit propagines,
intra se nutriens nisum colligandi eas,
ne luxuriei pondus concidat,
germinationis fibris stabilitis.
Exsurgit idem ac comam protrudit,
cingulis quibusdam inclusum circumjectis,
simulac se caule erexerit suo,
ne munimentis nudatum aliquando frangatur.
Ita fundamento stabilito
ad germina valida plantæ fundenda,
gravida calyx spicæ frugem parturit,
et diffissa fœtum edit,
atque, ut infantem puerpera, granum fasciis involvit;
secernitur vero omne semen ab herbascente luxurie
suis quodque tunicis circumvolutum,
ne forte rore madefactum per conjunctionem corrumpatur;
porro grandescit ad maturitatem, dum vacuum impletur,
partibus necessariis sensim accrescentibus.
Verum ne ulla irruens avicula
granum nudum diripiat,
profert acutas aristas ordine structas,
tenuibus spinarum armatas cuspidibus.
Rursus autem humore, quantum par est, exsiccato,
ubi spica adolevit et ad maturitatem pervenit plenam
tum, quasi æstivi messoris falcem prævideret,
pallescens versus terram declinat,
et marcescit crepitans votula,
afflatu venti leniter agitata.
Tum justo tempore demetitur,
ac purgatur stipula ablata,
teriturque saxorum volutatione,
et putaminibus soluta spica fit farina.
Hæc vero in massam fermentatam compingitur,
validis pugnis tanquam fustigata;
et dilatat se, recepto quodam calore
ex pannorum ipsi injectorum fomentis.
Tum statim in panis figuram efformatur,
et admotus igni coquendo contrahit se.
Jam quis tandem ejus vim satis admirari poterit,
quum fame afflictum corpus enutrit,
et faciei pulchritudinem pingit, sursum ex intestinis
in genas venuste exsurgens.
Verumtamen, o Rex, horum verborum ambagibus
significavi quidem annonam, non efflagitavi :
natura enim in ærumnis ingeniosa est.
Tu vero audaculo mihi, pro tua consuetudine, ignoscas

ΠΕΡΙ ΒΟΤΡΥΟΣ.

Μετὰ στάχυν, Κράτιστε, καὶ βότρυν δέχου.
Τοῦ γὰρ θέρους λυθέντος ἦλθεν ἡ τρύγη·
κἀγὼ δεδοικὼς μὴ ῥυῇ παρακμάσας,
πέπειρον αὐτὸν ἐκ τομῆς ἤνεγκά σοι.
Τῶν καρπίμων ἓν ἐστὶ τὸ κλῆμα ξύλων·
ὃ μέχρι τινὸς ἠγνοεῖτο λανθάνον,
ἀφ' οὗπερ ἐκ γῆς ὁ σπορεὺς τῶν πραγμάτων
ἀνῆκεν εἰς φῶς τὰς γονὰς τῶν σπερμάτων.
Ἀλλ' οἴχεται μὲν ὁ φθορεὺς πάντων, κλύδων,
ὡς ἀπὸ νεύρας τοξικῆς ἀφυβρίσας·
τοῦ γὰρ θεοῦ τὸ τόξον, ὡς Γραφὴ λέγει,
ῥιπτεῖ κατ' αὐτοῦ τὴν βολὴν τῆς αἰθρίας·
γνωρίζεται δὲ τοῖς παροῦσι τὸ ξύλον,
οὓς ἄλλο κοινῇ συντετήρηκε ξύλον,
ὡς ἂν ἔχοι τὸν ὄλβον ἡ καινὴ κτίσις.
Ὁ πρύτανις δὲ τῆς γονῆς τῶν ἐμψύχων
καὶ μὴ προειδὼς τὰς λαβὰς τῆς ἀμπέλου
περιξέσας καθῆκεν εἰς γῆν τὸ ξύλον·
οὐκ ἦν γὰρ εἰκὸς τῆς δορᾶς πεφρυγμένης
εἰκῇ τὸ φυτὸν ἐκροφεῖν τὰς ἰκμάδας.
Τὸ δὲ στενωθὲν εἰς ταφὴν τεθλιμμένην,
ὡς ἂν τὸ θερμὸν τὰς νοτίδας ἁρπάσῃ,
καὶ δίχα μόχλων ἐξανοίγει τοὺς πόρους·
χαυνοῖ γὰρ αὐτοὺς ἡ τριβὴ τῆς ἀτμίδος,
καὶ τῆς ἐν αὐτῷ σπογγίας ἡ θερμότης
ἑλικοειδεῖς ὀργανοῦσα τὰς βάσεις
γόνασι πυκνοῖς τὰς τομὰς διαπλέκει.
Καὶ πήγνυται μὲν ἡ τοσαύτη χαυνότης,
ὑφίσταται δὲ τῆς γονῆς ἡ πυκνότης,
καὶ ζῇ τὸ νεκρὸν ἐκ ταφῆς παλιμβίου·
βλάστη δέ τις ἔνικμος ἐντεῦθεν βρύει,
τεμοῦσα τὸν χοῦν μυστικῇ παραξέσει,
καὶ συνάγει τὰ φύλλα, καθάπερ κάλυξ·
ὀκνεῖ γὰρ ὡς ἂν ἐκπλαγεῖσα τὴν κτίσιν,
ἕως ἐποφθεὶς ὁ τροφεὺς ἑωσφόρος,
καὶ τὴν περιστείλασαν ἐκθλίψας δρόσον,
χωρὶς ἀνασχεῖν τὰς λαβὰς ἀναγκάσῃ.
Μερίζεται γὰρ εἰς τὰ φύλλα τὸ ζέον,
πρὸς τὴν ὑποσμήχουσαν ὁρμῆσαν ζέσιν,
καὶ πιμελῆς δή τινος ὑγρᾶς ἁβρότης
ἐν ὀργάνῳ πρόεισι νευρώδους πάχους.
Μετὰ δὲ μικρὸν προσρυείσης τῆς δρόσου
καὶ παραφυλλὶς τῆς φυῆς ἀποτρέχει,
κηφὴν ἀτεχνῶς εὑρεθεῖσα πρὸς μέλι·
καὶ γὰρ ὑποσπᾷ τοὺς ὀποὺς ἀνηγμένους,
καὶ δημιουργεῖν οὐκ ἐᾷ τὰς ἐκφύσεις,
αἷς δεῖ συνελθεῖν τῆς γονῆς τὰς ἐμφάσεις,
πρὶν ἄν τις αὐτὴν ὡς περιττὴν ἐκσπάσῃ.
Τῆς θρύψεως δὲ προστεθείσης τῷ κλάδῳ,
καὶ τοῦ βάρους εἴργοντος ἑᾗς τὸν δρόμον,
ἀμφιστόμους ἁρπαγὰς ἡ βλάστη βρύει·
καὶ δράττεται μὲν τῆς λαβῆς τῶν ἐγγύθεν·

DE UVA.

Post spicam etiam uvam recipe, Invicte.
Finita enim messe, adest vindemia :
ego autem illius metuens exoletæ corruptionem,
statim a falce attuli tibi maturam mitemque.
Vitis inter frugifera arbusta numeratur.
Ea quondam satis diu ignorata latuerat,
inde ab eo tempore, quo ex terra sator omnium rerum
genera seminum in lucem emiserat.
Sed simulac pernicies universi, diluvium, præterierat
veluti sagittis pulsa, atque desævierat
(nam Dei arcus, ut ait Scriptura,
serenitatis radium in illud demiserat),
tum agnoscebatur hoc lignum a præsentibus,
quos aliud lignum (*Arca*) communiter servaverat,
ut recens creatura hac copia fortunaretur.
Atque auctor sobolis animantium,
qui vitis germen antea non norat,
circumrasum in terram demisit :
non enim verisimile erat, cortice torrefacto,
illam plantam frustra exsorpturam humores.
Hæc igitur in angustæ foveæ sepulcrum depressa,
ut calor attrahere ipsi succos posset,
etiam sine pessulis aperit sibi meatus :
eos enim vaporis attritus aperit,
et calor virium suarum humores imbibentium,
flexuosas formans radices,
crebris geniculis articulos passim jungit.
Tum cogitur tanta radicum laxitas,
fitque fœtus solidus,
ac mortua vitis renascitur e sepulcro;
atque ex eo succi plena planta fruticat,
terram clam abradendo perrumpens;
quæ frondes, ritu rosarum calycis, gerit clausas :
nam veluti ad vitalem auram adstupescens procrescere cun-
donec Lucifer altor conspectus, [ctatur,
qui ambientem eam rorem detergit,
sigillatim exsurgere palmites coegerit.
Namque ita incalescens germen folia spargit,
prorumpens ad calorem sensim tepefacientem;
et adipis cujusdam liquidæ mollities
in textura surgit nervosi corporis.
Paullo post, si humor abundantior affluit,
etiam racemus a planta excurrit,
qui prorsus idem viti, quod fucus melli, esse deprehenditur :
namque subducit succos sursum tractos,
neque patitur generari malleolos,
in quibus emicare debent signa fructus,
antequam superfluus ille racemus evellatur.
Quum autem luxuries pampinorum in vitem ingruit,
eoque onere palmites, ne sursum se attollant, impediuntur,
planta protrudit ancipites claviculas,
et amplectitur proxima quæque, quæ nancisci potest,

στηρίζεται γὰρ εὐχερῶς κἀν τοῖς λίθοις·
ἐντείνεται δὲ καὶ προάγει τὴν κόμην·
καὶ γὰρ τὸ πιστὸν ἐμπεδοῖ ταῖς ἀγκύραις,
καὶ τοῖς ἐπιπνέουσιν ἀντέχει σάλοις,
ὥσπερ τις ὁλκὰς ἱδρυθεῖσα τοῖς κάλοις.
Ἐπὰν δὲ καλῶς ὀργανώσῃ τὸν κλάδον,
κινεῖ καθ' εἱρμὸν τὰς γονὰς ἡ θερμότης,
ἐξ ὧν τι λεπτὸν εἰ προκύψει σπαρτίον,
ἰδοῦ σταφυλὴ καὶ φυὴ καρποτρόφος.
Καὶ τέμνεται μὲν ἡ χλιδὴ τῶν ἀκρίδων·
οὐ δεῖ γὰρ αὐτὴν προσλαβεῖν τὰς ἰκμάδας,
ὑφ' ὧν δυνατὸν ἐκτραφῆναι τὰς ῥάγας·
προέρχεται δὲ συγγενοῦς ἄνθους χνόη,
καὶ πάλιν αὐτῆς ἐκρυείσης αὐτόθεν
ἡ κεγχροειδὴς τῶν ὀπῶν πῆξις βρύει·
σφαιροῖ γὰρ αὐτὴν τῆς πυρᾶς ἡ γοργότης·
ἐκτείνεται δὲ καὶ τὸ τῶν φύλλων δέρας,
καὶ ζῇ καθαρῶς καὶ προκόπτει τὰ βρέφη
εἰς αὐτοφυῆ σπαργανούμενα σκέπην.
Ἀνείργεται γοῦν ἡ βολὶς τοῦ φωσφόρου·
καὶ γὰρ ἀπειλεῖ τὴν βολὴν, ὡς τοξότης,
αἷμα σταφυλῆς ἐκπιεῖν ἠπειγμένος·
ἀνθίσταται δὲ τῆς χαλάζης τοῖς λίθοις
ἡ τοῦ στέγους σύμπτυξις, ἀσπίδος δίκην,
ὅταν ἐπαρθῇ τῶν νεφῶν ἡ σφενδόνη.
Τοὺς ὄμφακας δὲ κατὰ μικρὸν ἁδρύνει
ψυχρῷ τὸ θερμὸν συγκραθὲν κατὰ χρόνον·
θεὸς δὲ τηρεῖ συντεθείσας τὰς ῥάγας,
γίγαρτα πηγνὺς εὐφυῶς ἀντ' ὀστέων,
αἷς ἔστιν ἡ σὰρξ εὐπαθὴς, εἰ περκάσει.
Ὦ θαῦμα! καὶ πῶς τῇ τοσαύτῃ συνθέσει
θλιβεὶς ὁ χιτὼν οὐδαμῶς ἀπορρέει;
καὶ τίς ἀραιοῖ τῇ συνέξει τὰς ῥάγας,
ἢ τίς πάλιν πήγνυσιν εἰς διαστάσεις;
μᾶλλον δὲ πῶς κλήματος ἁπλῆ τις φύσις
ποιεῖ μερισμοὺς, ἂν μερισθῇ, βοτρύων,
καὶ τοὺς μὲν ὡς ὄνυχας ἢ ῥάμφη τρέφει,
τοὺς δὲ στεγανοὺς εἰς κυλίνδρους ἐξάγει,
ἢ κωνοειδεῖς ἢ τριγώνους δεικνύει,
καὶ τοὺς μὲν εἰς ἔρευθος ἠρέμα γράφει,
τοὺς δὲ βρύει μέλανας, ἢ τούτων μέσους,
τοὺς δ' αὐτοφυεῖς ἀκναφεύτους ἀχρόους,
ἐφ' οἷς τὸ λευκὸν ἐγκρατέστερον μένει.
Πῶς γεῦσις αὐτοῖς πᾶσιν ἁπλῶς οὐ μία;
ποικίλλεται γὰρ ἀκριβῶς πρὸς τὰς χρόας
καὶ τὴν *μεταλλεύουσαν ἀρρήτως θέσιν.
Ἀλλ' ὦ κιβωτοῦ σωστικῆς ἐπιστάτα
καὶ τοῦ καθ' ἡμᾶς ἀμπελῶνος ἐργάτα
(ὁ γὰρ λόγος τὴν ὄψιν εἰς σὲ νῦν στρέφει),
σὺ μὲν φυτουργεῖς ἐν στενῷ γῆς τὸ ξύλον,
τὸ δὲ προελθὸν εἰς γονὰς πολυχρόους
εἰς μακρὸν ἐξέτεινε τὰς κληματίδας·
καὶ νῦν ἔχει τὸ κλῆμα τῆς σῆς ἀμπέλου
πᾶσα κτίσις καὶ σύμπαν ἀνθρώπων γένος

quippe quum vel ad lapides facile annitatur;
atque extendit se et comam effundit:
namque suam securitatem servat istis ancoris,
et resistit afflantibus tempestatibus,
sicuti navigium funibus innixum.
Quum vero vitis bene produxerit palmites,
calore eliciuntur fœtus baccæ suo tempore:
e quibus si prominebit tenuis cauliculus,
en adest uva et germen frugiferum.
Porro luxuries amputatur extremorum sarmentorum;
non debet enim hæc ad se trahere succum
nutriendis baccis inserviturum.
Tum cognati floris lanugo emergit;
qui si rursus inde deciderit,
protruditur gemma milio similis e consolidatis succis:
nam vigor innati coloris eam corrotundat;
etiam pampinorum ambitus se dilatat,
ac fœtus uvarum vere vivunt ac proficiunt
tegmine connato, veluti fasciolis, involuti.
Atque ita jacula Luciferi arcentur,
qui veluti sagittarius minatur jactus,
uvæ sanguinem exsorbere properans.
Resistit etiam grandinum lapidibus
hæc tegminis complexio, tanquam clypeus,
quum turbines nubium surgentes impendent.
Ac paullatim roborat uvas adhuc immaturas
alterno frigore calor temperatus;
Deus autem servat baccas rite constructas,
dum duriusculos acinos loco ossium scite ingenerat,
quibus *baccis* caro suavis est, quum colorem duxerit uva.
VII.

Rugosæque et drupæ tibi inferantur olivæ.

VIII.

Bulborum et caulium valere jubeo acetabula
Reliquaque omnia opsonia secundaria.

IX.

Leporis parandi multæ sunt rationes
Multaque præcepta; at optimus ergo hicce est,
Cum esurientibus inferas carnem assam singulis
Calidam, simpliciter sale inspersam, e veru dereptam
Nonnihil crudiusculam. Nec te offendat videre
Saniem e carnibus stillantem, sed magna copia ede.
Reliqui, me judice, inepti sunt semper
Apparatus, si rebus viscidis perfundas, multoque caseo,
Oleove nimis inungas, quasi mustelæ opsonia condiens.

X.

Et anseris altilis simul para pullum
Assum, hunc quoque simpliciter.

XI.

Atque cartilagineos quidem inclyta Miletus optimos
Alit, sed non (?) oportet squatinæ aut lato dorso

Λειοβάτου ποιεῖσθαι· ὁμῶς κροκόδειλον ἂν ὀπτὸν
Δαισαίμην ἀπ' ἰπνοῦ, τερπνὸν παίδεσσιν Ἰώνων.
(Ib. VII, p. 319 e.)

XII.

Ἐν δὲ Τορωναίων ἄστει τοῦ καρχαρία χρὴ
Τοῦ κυνὸς ὀψωνεῖν ὑπογάστρια κοῖλα κάτωθεν·
Εἶτα κυμίνῳ αὐτὰ πάσας, ἁλὶ μὴ συχνῷ ὄπτα.
Ἄλλο δ' ἐκεῖσε, φίλη κεφαλή, μηδὲν προσενέγκῃς,
Εἰ μὴ γλαυκὸν ἔλαιον· ἐπειδὰν δ' ὀπτὰ γένηται
Ἤδη, τριμμάτιόν τε φέρειν, καὶ ἐκεῖνα μετ' αὐτοῦ.
Ὅσσα δ' ἂν ἐν λοπάδος κοίλης πλευρώματι ἔψῃς,
Μήθ' ὕδατος πηγὴν [αὐτοῖς], μήτ' οἶνινον ὄξος
Συμμίξῃς, ἀλλ' αὐτὸ μόνον κατάχευον ἔλαιον,
Αὐχμηρόν τε κύμινον, δμοῦ δ' εὐώδεα φύλλα.
Ἕψε δ' ἐπ' ἀνθρακιῆς, φλόγα τούτοις μὴ προσενεγ-
Καὶ κίνει πυκινῶς, μὴ προσκαυθέντα λάθῃ σε. [κών,
Ἀλλ' οὐ πολλοὶ ἴσασι βροτῶν τόδε θεῖον ἔδεσμα,
Οὐδ' ἔσθειν ἐθέλουσιν ὅσοι κεπφαττελεβώδη
Ψυχὴν κέκτηνται θνητῶν, εἰσίν τ' ἀπόπληκτοι,
Ὡς ἀνθρωποφάγου τοῦ θηρίου ὄντος· ἅπας δὲ
Ἰχθὺς σάρκα φιλεῖ βροτέην, ἂν που περικύρσῃ·
Ὥστε πρέπει καθαρῶς ὁπόσοι τάδε μωρολογοῦσιν
Τοῖς λαχάνοις προσάγειν, καὶ πρὸς Διόδωρον ἰόντας
Τὸν σοφὸν ἐγκρατέως μετ' ἐκείνου πυθαγορίζειν.
(Ib. VII, p. 310 c, et IV, p. 163 d.)

XIII.

Ἐν δὲ Ῥόδῳ γαλεὸν τὸν ἀλωπέκα· κἂν ἀποθνήσκειν
Μέλλῃς, ἂν μή σοι πωλεῖν θέλῃ, ἅρπασον αὐτὸν,
Ὃν καλέουσι Συρακόσιοι κύνα πίονα, κἄτα
Ὕστερον ἤδη πασχ' ὅ τί σοι πεπρωμένον ἐστίν
(Ib. VII, p. 286 a, et 295 a.)

XIV.

Καὶ νάρκην ἑφθὴν ἐν ἐλαίῳ ἠδὲ καὶ οἴνῳ
Καὶ χλόῃ εὐώδει καὶ βαιῷ ξύσματι τυροῦ.
(Ib., p. 314 d.)

XV.

Ἀλλά μοι ὀψώνει γλαύκου κεφαλὴν ἐν Ὀλύνθῳ
Καὶ Μεγάροις· σεμνὸς γὰρ ἁλίσκεται ἐν τενάγεσσιν.
(Ib., p. 295 c.)

XVI.

Βάτραχον ἔνθ' ἂν ἴδῃς, ὀψώνει.... καὶ
Γάστριον αὐτοῦ σκεύασον.
(Ib., p. 286 d.)

XVII.

Καὶ βατίδ' ἑφθὴν ἔσθε μέσου χειμῶνος ἐν ὥρῃ·
Καὶ ταύτῃ τυρὸν καὶ σίλφιον· ἅττα τε σάρκα
Μὴ πίειραν ἔχει πόντου τέκνα, τῷδε τρόπῳ χρὴ
Σκευάζειν· ἤδη σοι ἐγὼ τάδε δεύτερον αὐδῶ.
(Ibid.)

XVIII.

Ἐν δ' Αἴνῳ καὶ τῷ Πόντῳ τὴν ὗν ἀγόραζε,
Ἣν καλέουσί τινες θνητῶν ψαμμῖτιν ὀρυκτήν·

Levis rajæ rationem habere; hac ratione crocodilum quoque
Cœnare possem, oblectamentum Ionum filiis.

XII.

In Toronæorum urbe oportet carchariæ
Canis opsonari cava inferne abdomina,
Deinde assa cum cumino, conspergens sale haud nimio.
Aliud vero huc, o carum caput, haudquaquam adjicias,
Nisi glaucum oleum; ubi autem assa sunt
Jam, tunc intinctum infer, illaque simul cum hoc.
Quod ad ea vero quæ in concavæ patinæ lateribus elixas,
His neque aquæ fontem, neque e vino paratum acetum
Admisce, sed infunde nil nisi oleum ipsum
Aridumque cuminum et simul cum his folia fragrantia.
Coque autem super carbonibus, flammam iis non admovens,
Agitaque frequenter, ne inscio te adurantur.
Verumtamen pauci norunt mortales divinum hoc edulium,
Neque eo vesci volunt quicunque cepplio attelaboque simi-
Habent mentem homines suntque attoniti, [lem
Quippe scilicet humana carne vescitur animal; at quivis
Humanam amat carnem piscis, sicubi fuerit nactus.
Oportet itaque simpliciter qui inepta hæc garriunt
Ad olera adducere, sapientemque Diodorum adeuntes
Temperanter philosophiæ Pythagoricæ operam dare.

XIII.

Rhodi mustelam vulpem; vel si moriendum
Esset, ni tibi vendere voluerint, furto aufer hunc,
Quem Syracusii vocant canem pinguem; ac deinde
Postmodum quod tibi fato destinatum est patere.

XIV.

Et torpedinem elixam in oleo atque etiam vino
Cum fronde fragranti et exiguo casei ramento.

XV.

At glauci mihi caput opsonare Olynthi
Et Megaris; venerandus enim capitur in locis vadosis.

XVI.

Ranam, ubicunque videris, opsonare.... et
Abdomen ejus parato.

XVII.

Elixamque rajam comede mediæ hyemis tempore;
Huic quoque caseum et laser; atque quicumque
Maris filii carnem non pinguem habent, hac ratione oportet
Condire; jam iterum tibi hoc dico.

XVIII.

Aeni atque in Ponto suem opsonare,
Quem mortales nonnulli vocant arenarium effossum;

Τούτου τὴν κεφαλὴν ἕψειν, μηδὲν προσενεγκὼν
Ἥδυσμ', ἀλλ' ἐς ὕδωρ μόνον ἐνθεὶς, καὶ θαμὰ κινῶν,
Ὕσσωπον παράθες τρίψας, κἂν ἄλλο τι χρῄζῃς,
Δριμὺ διεὶς ὄξος· κἄπ' ἔμβαπτ' εὖ καὶ ἐπείγου
Οὕτως, ὡς πνίγεσθαι ὑπὸ σπουδῆς καταπίνων.
Τὴν λοφιὰν δ' ὀπτᾶν αὐτῆς καὶ τἆλλα τὰ πάντα.

(Ib., p. 326 f.)

Hujus caput elixa, nullum adjiciens [piusque agitatum
Condimentum, sed in aquam solummodo immissum sa-
Infer trito cum hyssopo, vel si alia qua re egeas,
Acri aceto dissolve, deindeque rite intinge et festina
Adeo, ut præ festinatione deglutiens stranguleris.
Cristam vero ejus assa reliquaque omnia.

XIX.

Ἀμφὶ δὲ τὴν ἱεράν τε καὶ εὐρύχορον Σάμον ὄψει
Θύννον ἁλισκόμενον σπουδῇ μέγαν, ὃν καλέουσιν
Ὄρκυν, ἄλλοι δ' αὖ κῆτος· τούτου δὲ θεοῖς χρὴ
Ὀψωνεῖν, ἃ πρέπει ταχέως καὶ * μητέρι τιμῆς.
Ἔστι δὲ γενναῖος Βυζαντίῳ ἔν τε Καρύστῳ,
Ἐν Σικελῶν τε κλυτῇ νήσῳ Κεφαλοιδὶς ἀμείνους
Πολλῷ τῶνδε τρέφει θύννους καὶ Τυνδαρὶς ἀκτή.
Ἂν δέ ποτ' Ἰταλίας ἱερᾶς Ἱππώνιον ἔλθῃς, [των
Ἑρπετὸν * εἰς ὑδατοθτεφάνους, πολὺ δή, πολὺ πάν-
Ἐνταῦθ' εἰσὶν ἄριστοι, ἔχουσί τε τέρματα νίκης.
Οἱ δ' ἐπὶ τῶνδε τόπων πεπλανημένοι εἰσὶν ἐκεῖθεν,
Πολλὰ περάσαντες πελάγη βρυχίου διὰ πόντου,
Ὥστ' αὐτοὺς ἡμεῖς θηρεύομεν ὄντας ἀώρους.

(Ib., p. 301 f. Conf. Eustath., p. 994, 50.)

Circa sacram vero spatiosamque Samum videbis
Thynnum capi valde magnum, quem vocant
Orcynum, alii vero cetum; hunc autem diis oportet
Opsonari, atque id prompte facere decet, nec de pretio li-
Est autem generosus Byzantii et Carysti; [tigare (?).
In Siculorum quoque inclyta insula Cephalœdis meliores
Istis multo alit thynnos atque Tyndaris ora.
Si quando vero sacræ Italiæ oppidum Hipponium adeas,
Herpetumque (?) aqua coronatum, longe sane, longe omnium
Ibi sunt optimi habentque victoriæ culmen.
Qui vero hisce in locis, inde palantes venere,
Multis trajectis æquoribus, fremebundum per pontum,
Ita ut nos intempestivos venemur eos.

XX.

Καὶ θύννης οὐραῖον ἔχειν, ἣν θυννίδα φωνῶ
Τὴν μεγάλην, ἧς μητρόπολις Βυζάντιόν ἐστιν·
Εἶτα τεμὼν αὐτὴν ὀρθῶς ὄπτησον ἅπασαν,
Ἁλσὶ μόνον λεπτοῖσι πάσας καὶ ἐλαίῳ ἀλείψας
Θερμά τ' ἔχειν τεμάχη, βάπτων δριμεῖαν ἐς ἅλμην.
Κἂν ξηρὰν ἐθέλῃς ἔσθειν, γενναῖαι πέλονται
Ἀθανάτοισι θεοῖσι φυὴν καὶ εἶδος ὁμοῖαι.
Ἂν δ' ὄξει ῥάνας παράθῃς, ἀπόλωλεν ἐκείνη.

(Ib., p. 303 e. Conf. Eustath., p. 1720, 61.)

Et thynnæ habendum frustum caudale; sic thynnida voco
Magnam, cujus patria est Byzantium.
Hoc deinde concisum omne assa recte,
Contrito sale solummodo conspersum et oleo unctum,
Calidaque habe frusta, quæ in acrem muriam intingas.
Etiamque si siccam edere velis, generosa fuerit,
Immortalibus diis habitu et specie similis.
Sin aceto rigatam inferas, periit illa.

XXI.

Καὶ Σικελοῦ θύννου τέμαχος...
Τμηθὲν, ὅτ' ἐν βίκοισι ταριχεύεσθαι ἔμελλεν.
Σαπέρδῃ δ' ἐνέπω κλαίειν μακρὰ, Ποντικῷ ὄψῳ,
Καὶ τοῖς κείνον ἐπαινοῦσιν· παῦροι γὰρ ἴσασιν
Ἀνθρώπων ὅτι φαῦλον ἔφυ καὶ ἀκιδνὸν ἔδεσμα.
Ἀλλὰ τριταῖον ἔχειν σκόμβρον, πρὶν ἐς ἁλμυρὸν
Ἐλθεῖν ἀμφορέως ἐντὸς, νέον, ἡμιτάριχον. [ὕδωρ
Ἂν δ' ἀφίκῃ κλεινοῦ Βυζαντίου εἰς πόλιν ἁγνὴν,
Ὡραίου φάγε μοι τέμαχος πάλιν· ἔστι γὰρ ἐσθλὸν
Καὶ μαλακόν.

(Ib. III, p. 116. Conf. Eustath., p. 1163, l. 29.)

Et Siculi thynni frustum.....
Concisum, quando in eo est ut in doliis condiatur.
Corvinum vero multum plorare jubeo, Ponticum opsonium
Quique eum laudant; pauci enim norunt
Homines, pravum esse illud et vile edulium.
Verum triduanum habeto scombrum, priusquam salsam
Ingrediatur intra amphoram, recentem, semiconditum.
Sin vero inclyti Byzantii sanctam veneris in urbem,
Æstivi mihi rursus salsamenti frustum comede; est enim
Et tenerum. [præclarum

XXII.

Τὴν δ' ἀμίαν φθινοπώρου, ὅταν Πλειὰς καταδύνῃ,
Πάντα τρόπον σκεύαζε. Τί σοι τάδε μυθολογεύω;
Οὐ γὰρ μὴ σὺ διαφθείρῃς γ', οὐδ' ἂν ἐπιθυμῇς.
Εἰ δ' ἐθέλεις καὶ τοῦτο δαήμεναι, ὦ φίλε Μόσχε,
Ὅντινα χρή σε τρόπον κείνην διαθεῖναι ἄριστα,
Ἐν συκῆς φύλλοις καὶ ὀρειγάνῳ οὐ μάλα πολλῇ.
Μὴ τυρὸν, μὴ λῆρον. Ἁπλῶς δ' οὕτως θεραπεύσας

XXII.

Amiam autem in autumno, ubi Vergiliæ occidunt,
Quovis modo para. Quare tibi has fabulas enarro?
Non enim certe ne tu eam perdas; non posses enim, etiamsi
Si vero et hoc discere velis, care Mosche, [velles quidem.
Qua ratione tu optime illam disponere debeas,
Cum ficus foliis et origano non admodum multo. [curaveris,
Ne caseum adhibeas, ne nugeris. Sed postquam simpliciter ita

Ἐν συκῆς φύλλοις σχοίνῳ κατάδησον ἄνωθεν·
Εἶθ' ὑπὸ θερμὴν ὦσον ἔσω σποδὸν, ἐν φρεσὶ καιρὸν
Γιγνώσκων, ὁπότ' ἐστ' ὀπτὴ, καὶ μὴ κατακαύσῃς.
Ἔστω δ' αὕτη σοι Βυζαντίου ἐξ ἐρατεινοῦ,
Εἴπερ ἔχειν ἀγαθὴν ἐθέλεις· κἂν ἐγγὺς ἁλῷ που
Τοῦδε τόπου, κεδνὴν λήψεις· τηλοῦ δὲ θαλάσσης
Ἑλλησποντιάδος χείρων· κἂν κλεινὸν ἀμείψῃς
Αἰγαίου πελάγους ἔναλον πόρον, οὐκ ἔθ' ὁμοία
Γίγνεται, ἀλλὰ καταισχύνει τὸν πρόσθεν ἔπαινον.

(Ib. VII, p. 278 b.)

Foliis ficus obvolutum funiculo superne obliga
Deinde sub calidum cinerem penitus subde, mente tempus
Cognitum habens, quo assa erit, neque eam exuras.
Sit autem tibi hæc ex Byzantio amœno,
Si bonam habere velis; itidem si qua capta fuerit prope
Hunc locum, bonam nancisceris; procul vero a mari
Hellespontiaco deterior est; atque ubi inclytum trajeceris
Ægæi pelagi marinum fretum, non amplius par
Est, sed pristinam dedecorat laudem.

XXIII.

Ἀλλὰ λαβὲ ξιφίου τέμαχος, Βυζάντιον ἐλθὼν,
Οὐραίου τ' αὐτὸν τὸν σφόνδυλον· ἔστι δὲ κεδνὸς
Κἀν πορθμῷ πρὸς ἄκραισι Πελωριάδος προχοαῖσιν.

(Ib., p. 314 e.)

Sed Byzantium ubi veneris, gladii cape frustum
Caudæque ipsam vertebram; est autem nobilis
Etiam in freto extremos prope Peloriadis gurgites.

XXIV.

Καὶ νεαροῦ μεγάλου τ' αὐλωπία ἐν θέρει ὠνοῦ
Κρανίον, ἂν Φαέθων πυμάτην ἁψῖδα διφρεύῃ,
Καὶ παράθες θερμὸν ταχέως καὶ τρίμμα μετ' αὐτοῦ·
Ὄπτα δ' ἀμφ' ὀβελίσκον ἑλὼν ὑπογάστριον αὐτοῦ.

(Ib., p. 326 b.)

Et recentis magni aulopiæ æstate eme
Calvariam, ubi Phaethon extremum arcum curru perva-
Atque infer calidum cito intritumque cum eo; [dit;
Abdomen autem elegeris, et veruì circumdans assa.

XXV.

Τὸν δ' ἔλοπ' ἔσθε μάλιστα Συρακούσαις ἐνὶ κλειναῖς
Τόν γε κρατιστεύονθ'· οὗτος γὰρ αὖ ἐστιν ἐκεῖθεν
Τὴν ἀρχὴν γεγονώς θην * κἂν ἢ περὶ νήσους,
Ἢ περὶ τὴν ἄλλην που ἁλῷ γῆν, ἢ περὶ Κρήτην,
Λεπτὸς καὶ στερεὸς καὶ κυματοπλὴξ ἀφικνεῖται.

(Ib., p. 300 e.)

Elopem comede maxime Syracusis in celebribus
Præstantissimum utique, nam hicce rursus ibi
Olim natus est profecto; atque si circa insulas
Aut reliquam terram alicubi capiatur, vel circa Cretam,
Macer et durus et fluctibus vexatus advenit.

XXVI.

Καὶ λεβίαν λαβὲ, Μόσχε, τὸν ἥπατον ἐν περικλύστῳ
Δήλῳ καὶ Τήνῳ.

(Ib., p. 301 d.)

Lebiam vero, Mosche, qui et jecorinus, in circumflua cape
Delo aut Teno.

XXVII.

Ἵππουρος δὲ Καρύστιός ἐστιν ἄριστος·
Ἄλλως τ' εὔοψον σφόδρα χωρίον ἐστὶ Κάρυστος.

(Ib., p. 304 d.)

Hippurus vero optimus Carystius est:
Et alioquin exquisito opsonio abundat Carystus.

XXVIII.

Βοσπόρου ἐκπλεύσαντα τὰ λευκότατ', ἀλλὰ προσέστω
Μηδὲν ἐκεῖ στερεᾶς σαρκὸς Μαιώτιδι λίμνῃ
Ἰχθύος αὐξηθέντος, ὃν ἐν μέτρῳ οὐ θέμις εἰπεῖν.

(Ib., p. 284 e.)

E Bosporo evectum albissima, sed nihil adsit
Ibi rigidæ carnis piscis in Mæotide palude
Aucti, quem nominare in carmine non licet.

XXIX.

Αὐτὰρ ἐς Ἀμβρακίαν ἐλθὼν, εὐδαίμονα χώραν,
Κάπρον ἐὰν ἐσίδῃς, ὠνοῦ, καὶ μὴ κατάλειπε,
Κἂν ἰσόχρυσος ἔῃ, μή σοι νέμεσις καταπνεύσῃ
Δεινὴ ἀπ' ἀθανάτων· τὸ γάρ ἐστιν νέκταρος ἄνθος.
Τούτου οὐ θέμις ἐστὶ φαγεῖν θνητοῖσιν ἅπασιν,
Οὐδ' ἐσιδεῖν ὅσσοισιν, ὅσοι μὴ πλεκτὸν ὕφασμα
Σχοίνου ἑλειστρόφου κοῖλον χείρεσσιν ἔχοντες
Εἰώθασι δονεῖν ψήφους αἴθωνι λογισμῷ,
Ἄρθρων μηλείων ἐπὶ γῆν δωρήματα βάλλων.

(Ib., p. 305 e. Conf. Eustath., p. 1872, l. 17.)

Sed Ambraciæ cum veneris beatam in regionem
Aprum si conspexeris, eme nec relinque,
Etiamsi auro contra veneat, ne te vindicta afflet
Dira ab immortalibus; est enim nectaris hic flos.
Hunc edere non omnibus licet mortalibus
Et ne oculis quidem aspicere, nisi qui textam telam
E junco paludum alumno cavam manibus tenentes
Calculos agitare consueverunt acri supputatione,
Artuum ovinorum dona in terram projicientes (?).

XXX.

Καὶ σκάρον ἐν παράλῳ Καλχηδόνι τὸν μέγαν ὄπτα,
Πλύνας εὖ· χρηστὸν δὲ καὶ ἐν Βυζαντίῳ ὄψει
Καὶ μέγεθος κυκλίᾳ ἴσον ἀσπίδι νῶτα φοροῦντα.
Τοῦτον ὅλον θεράπευε τρόπον τοιόνδε· λαβών νιν,
Ἧνίκ' ἂν εὖ τυρῷ καὶ ἐλαίῳ πάντα πυκασθῇ,
Κρίβανον ἐς θερμὸν κρέμασον, κἄπειτα κατόπτα.
Πάσσειν δ' ἁλσὶ κυμινοτρίβοις καὶ γλαύκῳ ἐλαίῳ,
Ἐκ χειρὸς καταχρουνίζων θεοδέγμονα πηγήν.

(Ib., p. 320 b.)

XXXI.

Καὶ σκάρον ἐξ Ἐφέσου ζήτει· χειμῶνι δὲ τρίγλην
Ἔσθι' ἐνὶ ψαφαρῇ ληφθεῖσαν Τειχιοέσσῃ
Μιλήτου κώμῃ Καρῶν πέλας ἀγκυλοκώλων·
Κἀν Θάσῳ ὀψώνει τρίγλην, κοὐ χείρονα λήψει
Ταύτης· ἐν δὲ Τέῳ χείρω· κεδνὴ δὲ καὶ αὐτή·
Ἐν δ' Ἐρυθραῖς ἀγαθὴ θηρεύεται αἰγιαλῖτις.

(Ib., p. 320 a et 325 e.)

XXXII.

Ἐν δὲ Θάσῳ τὸν σκορπίον ὠνοῦ, ἐὰν ᾖ
Μὴ μείζων πυγόνος· μεγάλου δ' ἀπὸ χεῖρας ἔλλε.

(Ib. p. 321 a.)

XXXIII.

Ἡνίκα δ' ἂν, δύνοντος ἐν οὐρανῷ Ὠρίωνος,
Μητὴρ οἰνοφόρου βότρυος χαίτην ἀποβάλλῃ,
Τῆμος ἔχειν ὀπτὸν σαργὸν τυρῷ κατάπαστον,
Εὐμεγέθη, θερμὸν, δριμεῖ δεδαϊγμένον ὄξει·
Σκληρὸς γὰρ φύσει ἐστίν. Ἅπαντα δέ μοι θεράπευε
Τὸν στερεὸν τοιῷδε τρόπῳ μεμνημένος ἰχθύν·
Τὸν δ' ἀγαθὸν μαλακόν τε φύσει καὶ πίονα σάρκα
Ἁλσὶ μόνον λεπτοῖσι πάσας καὶ ἐλαίῳ ἀλείψας·
Τὴν ἀρετὴν γὰρ ἔχει τῆς τέρψιος αὐτὸς ἐν αὐτῷ.

(Ib. c.)

XXXIV.

Σάλπη δὲ κακὸν μὲν ἔγωγε
Ἰχθὺν εἰς αἰεὶ κρίνω· βρωτὴ δὲ μάλιστα
Ἐστὶ, θεριζομένου σίτου· λαβὲ δ' ἐν Μυτιλήνῃ
Αὐτήν.

(Ib. e.)

XXXV.

Σειρίου ἀντέλλοντος [φάγρον χρὴ μόνον ἔσθειν]
Δήλῳ τ' Ἐιρετρίᾳ τε κατ' εὐλιμένους ἁλὸς οἴκους.
Τὴν κεφαλὴν δ' αὐτοῦ μόνον ὠνοῦ, καὶ μετ' ἐκείνης
Οὐραῖον· τὰ δὲ λοιπὰ δόμον μηδ' ἂν ἐσενέγκῃς.

(Ib., p. 327 d.)

XXXVI.

Χρύσοφρυν ἐξ Ἐφέσου τὸν πίονα μὴ παράλειπε,
Ὃν κεῖνοι καλέουσιν ἰωνίσκον· λαβὲ δ' αὐτὸν
Θρέμμα Σελινοῦντος σεμνοῦ· πλῦνον δέ νιν ὀρθῶς,
Εἶθ' ὅλον ὀπτήσας παράθες, κἂν ᾖ δεκάπηχυς.

(Ib., p. 328 b.)

XXX.

Et scarum Chalcedone ad mare sita magnum assa
Bene lotum; præstantem vero etiam Byzantii videbis.
Et magnitudine rotundæ aspidi tergum æquale ferentem.
Hunc integrum cura tali modo: cape eum,
Et postquam caseo et oleo omnia bene stiparis,
Calido in clibano suspende et posthac valide assa.
Consperge vero salibus cumino attritis et glauco oleo,
De manu infundens fontem aquæ deos excipientis.

XXXI.

Atque scarum ex Epheso quære; hyemé vero mullum
Comede, in arida captum Tichiunte
Mileti vico prope Cares curvis artubus instructos.
Etiamque Thasi opsonare mullum, nec deteriorem nancisce
Hac, Tei vero pejorem; nobilis tamen et ipsa est;
Erythris autem bonus capitur littoralis.

XXXII.

Thasi scorpium eme, si non sit
Cubito major; a magno vero abstine manum.

XXXIII.

Quum autem, occidente in cœlo Orione,
Racemi viniferi mater abjicit comam,
Tunc habeto sargum assum, caseo conspersum,
Bene magnum, calentem, acri discerptum aceto:
Natura enim durus est. Omnem autem duriorem
Isto modo mihi curare memento piscem;
Bonum vero et natura mollem pinguemque carne
Sale solummodo contrito conspersum et oleo unctum;
Oblectandi enim virtutem habet in se ipse.

XXXIV.

Salpam vero malum equidem
Semper judico piscem; esui tamen aptissima
Est, ubi metitur frumentum; cape autem Mytilenæ
Hanc.

XXXV.

Oriente Sirio (pagrum unice edere oportet)
Deli Eretriæque in sedibus bonis portibus instructis.
Ejus autem caput solum eme et cum eo
Caudam; reliqua vero ne domum importes.

XXXVI.

Auratam ex Epheso pinguem ne prætermittas,
Quem illi ioniscum vocant; eum autem sume
Venerandæ Selinuntis alumnum, eumque lava probe, [rum.
Deinde assatum integrum infer, si vel decem fuerit cubito-

XXXVII.

Τὸν χρόμιν ἐν Πέλλῃ λήψει μέγαν (ἔστι δὲ πίων,
Ἂν θέρος ᾖ) καὶ ἐν Ἀμβρακίᾳ.

(Ib. a.)

XXXVIII.

Εἶτα λαβεῖν ψῆτταν μεγάλην, καὶ τὴν ὑπότρηχυν
Βούγλωσσον ταύτην θέρεος κατὰ Χαλκίδα κεδνήν.

(Ib., p. 288 b et 330 a.)

XXXIX.

Τὸν ὄνον δ' Ἀνθηδών, τὸν καλλαρίαν καλέουσιν,
Ἐκτρέφει εὐμεγέθη, σομφὴν δὲ τρέφει τινὰ σάρκα,
Κἄλλως οὐχ ἡδεῖαν ἔμοιγ', ἄλλοι δ'.....
Αἰνοῦσιν· χαίρει γὰρ ὁ μὲν τούτοις, ὁ δ' ἐκείνοις.

(Ib., p. 316 a.)

XL.

Μόρμυρος αἰγιαλεὺς κακὸς ἰχθῦς, οὐδέ ποτ' ἐσθλός.

(Ib., p. 313 f.)

XL.

Κεστρέα τὸν θαυμαστὸν, ὅταν χειμὼν ἀφίκηται.

(Ib., p. 314 a.)

XLII.

Λάμβανε δ' ἐκ Γαίσωνος, ὅταν Μίλητον ἵκηαι,
Κεστρέα τὸν κέφαλον καὶ τὸν θεόπαιδα λάβρακα·
Εἰσὶ γὰρ ἐνθάδ' ἄριστοι· ὁ γὰρ τόπος ἐστὶ τοιοῦτος·
Πιότεροι δ' ἕτεροι πολλοὶ Καλυδῶνί τε κλεινῇ,
Ἀμβρακίᾳ τ' ἐνὶ πλουτοφόρῳ, Βολβῇ τ' ἐνὶ λίμνῃ,
Ἀλλ' οὐκ εὐώδη κέκτηνται γαστρὸς ἀλοιφὴν,
Οὐδ' οὕτω δριμεῖαν· ἐκεῖνοι δ' εἰσὶν, ἑταῖρε,
Τὴν ἀρετὴν θαυμαστοί· ὅλους δ' αὐτοὺς ἀλεπίστους
Ὀπτήσας μαλακῶς, χρηστοὺς προσένεγκε δι' ἅλμης.
Μηδὲ προσέλθῃ σοι πρὸς τοὔψον τοῦτο ποιοῦντι
Μήτε Συρακόσιος μηδεὶς, μήτ' Ἰταλιώτης·
Οὐ γὰρ ἐπίστανται χρηστοὺς σκευαζέμεν ὄψους,
Ἀλλὰ διαφθείρουσι, κακῶς τυροῦντες ἅπαντα
Ὄξει τε βαίνοντες ὑγρῷ καὶ σιλφίου ἅλμῃ·
Τῶν δὲ πετραίων ἰχθυδίων τῶν τρισκαταράτων
Πάντων εἰσὶν ἄριστοι ἐπισταμένως διαθεῖναι,
Καὶ πολλὰς ἰδέας κομψῶς παρὰ δαιτὶ δύνανται
Ὀψαρίων τεύχειν γλίσχρων ἡδυσματολήρων.

(Ib., p. 311 a.)

XLIII.

Κεστρέα δ' Αἰγίνης ἐξ ἀμφιρύτης ἀγόραζε,
Ἀνδράσι τ' ἀστείοισιν ὁμιλήσεις.

(Ib., p. 307 d.)

XLIV.

Τὸν δὲ λάτον τὸν κλεινὸν ἐν Ἰταλίῃ πολυδένδρῳ
Ὁ Σκυλλαῖος ἔχει πορθμὸς, θαυμαστὸν ἔδεσμα.

(Ib., p. 311 f.)

XLV.

Κίθαρον δὲ κελεύω
Ἂν μὲν λευκὸς ἔῃ.... στερεός τε πεφύκῃ,

XXXVII.

Chromin Pellæ capies magnum (est autem pinguis
Æstatis tempore) itidemque Ambraciæ.

XXXVIII.

Dein sume passerem magnum et subasperam
Soleam illam æstate Chalcide inclyta.

XXXIX.

Asellum autem, quem callariam vocant, Anthedon
Alit magnitudine insignem; habet vero hic spongiosam quan-
[dam carnem,
Ceteroquin haud gratam, me judice saltem, sed alii
Laudant; gaudet enim alius his, alius illis.

XL.

Mormyr littoralis pravus piscis, neque unquam bonus.

XLI.

Mugilem admirabilem, quum advenerit hyems.

XLII.

Sume ex Gæsone, quum Miletum veneris,
Mugilem cephalum et deorum progeniem lupum;
Sunt enim illic optimi; nam locus sic se habet.
Sunt vero pinguiores alii multi Calydone inclyta
Ambraciæque opulentæ et Bolbe in lacu,
Sed non habent suaveolentem ventris pinguedinem,
Neque adeo acrem; isti vero sunt, amice,
Propter virtutem admirandi; integros autem eos non detra-
Assa leniter, et probandos infer cum muria. [ctis squamis
Ne vero tibi, dum hæc agis, ad opsonium accedat
Syracusius ullus, vel Italus;
Bonos enim nesciunt parare pisces,
Sed corrumpunt, male caseo conspergentes omnia
Acetoque rigantes liquido et laseris muria;
Quod vero ad saxatiles attinet pisciculos ter exsecrandos,
Hos tractare omnium optime intelligunt,
Et lepide norunt in epulis multas species [structorum.
Parare opsoniorum viscidorum nugatoriis condimentis in-

XLIII.

Mugilem autem ex Ægina circumflua mercare,
Et cum viris urbanis rem habebis.

XLIV.

Latum vero nobilem in Italia sylvosa
Scyllæum fretum habet, mirificum edullum.

XLV.

Citharum autem jubeo,
Albus quidem si fuerit carneque firmiori,

Ἕψειν, εἰς ἅλμην καθαρὰν βαιὰ φύλλα καθέντα·
Ἂν δ' ᾖ πυῤῥὸς ἰδεῖν καὶ μὴ λίαν μέγας, ὀπτᾷν,
Ὀρθῇ κεντήσαντα δέμας νεοθῆγι μαχαίρᾳ.
Καὶ πολλῷ τυρῷ καὶ ἐλαίῳ τοῦτον ἄλειφε·
Χαίρει γὰρ δαπανῶντας ὁρῶν, ἐστὶν δ' ἀκόλαστος.

(Ib., p. 306 b.)

Elixare in muria pura, exiguis injectis foliis;
Sin vero rufus sit adspectu, neque perquam magnus, assa,
Postquam compunxeris corpus cultro recto recens exacuto.
Atque multo caseo et oleo hunc inunge; [vus.
Gaudet enim, ubi nos impensam facere videt, estque proter-

XLVI.

Αὐτὰρ τὸν σινόδοντα μὲν, ὃν ζήτει παχὺν εἶναι·
Ἐκ πορθμοῦ δὲ λαβεῖν πειρῶ καὶ τοῦτον, ἑταῖρε.
Ταῦτα δὲ πάντα κυρῶ φράζων καὶ πρός σε, Κλέανδρε.

(Ib., p. 322 c.)

XLVI.

Sed denticem quidem, quí ut pinguis sit operam da.
E freto autem accipere conor et hunc, amice. [Cleandre.
Hæc autem omnia quoque invenio, tecum verba faciens,

XLVII.

Τὴν ἀφύην μίνθου πᾶσαν, πλὴν τὴν ἐν Ἀθήναις·
Τὸν γόνον ἐξαυδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες.
Καὶ λαβὲ πρόσφατον αὐτὸν ἐν εὐκόλποισι Φαλήρου
Ἀγκῶσιν ληφθέντ' ἱεροῖς· κἂν τῇ περικλύστῳ
Ἔστι Ῥόδῳ γενναῖος, ἐὰν ἐπιχώριος ἔλθῃ.
Ἂν δέ που ἱμείρῃς αὐτοῦ γεύσασθαι, ὁμοῦ χρὴ
Κνίδας ὀψωνεῖν, τὰς ἀμφικόμους ἀκαλήφας·
Εἰς ταὐτὸν μίξας δ' αὐτὰς, ἐπὶ τηγάνου ὄπτα,
Εὐώδη τρίψας ἄνθη λαχάνων ἐν ἐλαίῳ.

(Ib., p. 285 b.)

XLVII.

Apuam pro stercore habe omnem præter Atticam;
Fœtum dico, quem *spumam* vocant Iones.
Et sume hanc recentem in sinuosis sanctisque Phaleri
Anfractibus captam; in circumflua itidem
Rhodo bona est, si indigena venerit.
Si quando vero eam gustare cupias, simul oportet
Urticas opsonari, comatas circumcirca urticas;
Has autem postquam una miscueris, assa in sartagine,
Suaveolentibus olerum floribus in oleo tritis.

XLVIII.

Ἰταλίας δὲ μεταξὺ κατὰ στενοκύμονα πορθμὸν
Ἡ πλωτὴ μύραινα καλουμένη ἂν ποτε ληφθῇ,
Ὠνοῦ· τοῦτο γάρ ἐστιν ἐκεῖ θαυμαστὸν ἔδεσμα.

(Ib., p. 313 a.)

XLVIII.

Italiam inter in freto angustis fluctibus agitato
Si quando fluta quæ vocatur muræna capiatur,
Eme; est enim hoc ibi admirabile edulium.

XLIX.

Γόγγρου μὲν γὰρ ἔχεις κεφαλὴν φίλῃ ἐν Σικυῶνι
Πίονος, ἰσχυροῦ, μεγάλου, καὶ πάντα τὰ κοῖλα·
Εἶτα χρόνον πολὺν ἕψε χλόῃ περίπαστον ἐν ἅλμῃ.

(Ib., p. 293 f.)

XLIX.

Nam congri quidem habes caput cara in Sicyone
Pinguis, validi, magni, intestinaque omnia;
Deinde fronde undique conspersum in muria elixa diu.

L.

(Εἶτα περὶ τῶν κατ' Ἰταλίαν τόπων διεξιών φησιν)
Καὶ γόγγρος σπουδαῖος ἁλίσκεται, ὥστε τοσοῦτον
Τῶν ἄλλων πάντων ὄψων κρατεῖ οὗτος ὅσον περ
Θύννος ὁ πιότατος τῶν φαυλοτάτων κορακίνων.

(Ib., p. 294 a.)

L.

(dein de Italicis locis disserens ait)
Et conger capitur adeo bonus, ut tantum
Omnibus aliis opsoniis antecellat, quantum
Pinguissimus thynnus vilissimis corvinis.

LI.

Ἔγχελυν δ' αἰνῶ μὲν πᾶσαν, πολὺ δ' ἐστὶ κρατίστη
Ῥηγίου ἀντιπέραν πορθμοῦ ληφθεῖσα θαλάσσης,
Ἔνθα σὺ τῶν ἄλλων πάντων, Μεσσήνιε, θνητῶν,
Βρῶμα τιθεὶς τοιόνδε διὰ στόματος, πλεονεκτεῖς.
Οὐ μὴν ἀλλὰ κλέος γ' ἀρετῆς μέγα κάρτα φέρουσι
Κωπαῖαι καὶ Στρυμόνιαι· μεγάλαι τε γάρ εἰσι
Καὶ τὸ πάχος θαυμασταί· ὅμως δ' οἶμαι βασιλεύει
Πάντων τῶν περὶ δαῖτα καὶ ἡδονῇ ἡγεμονεύει
Ἔγχελυς, ἣ φύσει ἐστὶν ἀπήρινος μόνος ἰχθύς.

(Ib., p. 298 e. Conf. Eustath., p. 1240, 25.)

LI.

Anguillam autem laudo omnem quidem, sed longe est optima
Quæ Rhegii e regione in maris freto capta est;
Ibi tu omnibus aliis mortalibus, Messenie,
Felicior es, tale edulium ore versans.
Verumtamen permagnam quoque virtutis gloriam reportant
Copææ et Strymoniæ; magnæ enim sunt
Et crassitudine mirabiles; attamen, me judice, regnat
Omnes inter dapes et suavitate præstat
Anguilla, qui piscis solus naturaliter genitali caret.

LII.

Ἀλλὰ παρεὶς λῆρον πολυώνυμον ἀστακὸν ὠνοῦ,
Τὸν τὰς χεῖρας ἔχοντα μακρὰς ἄλλως τε βαρείας,

LII.

At missis nugis, astacum multis nominibus instructum eme,
Manus habentem longas, ceteroquin graves,

Τοὺς δὲ πόδας μικροὺς, βραδέως δ' ἐπὶ γαῖαν ὀρούει.
Εἰσὶ δὲ πλεῖστοι μὲν πάντων ἀρετῇ τε κράτιστοι
Ἐν Λιπάραις· πολλοὺς δὲ καὶ Ἑλλήσποντος ἀθροίζει.

(Ib. III, p. 105 a.)

LIII.

Σηπίαι Ἀβδήροις τε Μαρωνείᾳ τ' ἐνὶ μέσῃ.

(Ib. VII, p. 324 b.)

LIV.

Τευθίδες ἐν Δίῳ τῷ Πιερικῷ παρὰ χεῦμα
Βαφύρα. Καὶ ἐν Ἀμβρακίᾳ παμπληθέας ὄψει.

(Ib., p. 326 d.)

LV.

Πούλυποι ἔν τε Θάσῳ καὶ Καρίᾳ εἰσὶν ἄριστοι·
Καὶ Κέρκυρα τρέφει μεγάλους πολλούς τε τὸ πλῆθος.

(Ib., p. 318 f. Conf. Eustath., p. 1541, l. 29.)

LVI.

Τοὺς μῦς Αἶνος ἔχει μεγάλους, ὄστρεια δ' Ἄβυδος,
Τὰς ἄρκτους Πάριον, τοὺς δὲ κτένας ἡ Μυτιλήνη·
Πλείστους δ' Ἀμβρακία παρέχει καὶ ἄπλατα μετ'
. . . . . [αὐτῶν
Μεσσήνῃ δὲ πελωριάδας στενοπορθμίδι κόγχας,
Κἂν Ἐφέσῳ λήψει τὰς λείας, οὔτι πονηράς·
Τήθεα Καλχηδών· τοὺς κήρυκας δ' ἐπιτρίψαι
Ὁ Ζεὺς τούς τε θαλασσογενεῖς καὶ τοὺς ἀγοραίους
Πλὴν ἑνὸς ἀνθρώπου· κεῖνος δέ μοί ἐστιν ἑταῖρος,
Λέσβον ἐριστάφυλον ναίων· Ἀγάθων δὲ καλεῖται.

(Ib. III, p. 92 d.)

LVII.

Αἰεὶ δὲ στεφάνοισι κάρα παρὰ δαῖτα πυκάζου
Παντοδαποῖς, οἷς ἂν γαίας πέδον ὄλβιον ἀνθῇ,
Καὶ στακτοῖσι μύροις ἀγαθοῖς χαίτην θεράπευε,
Καὶ σμύρναν λίβανόν τε πυρὸς μαλακὴν ἐπὶ τέφραν
Βάλλε πανημέριος, Συρίης εὐώδεα καρπόν.
Ἐμπίνοντι δέ σοι φερέτω τοιόνδε τράγημα,
Γαστέρα καὶ μήτραν ἑφθὴν ὑὸς ἔν τε κυμίνῳ,
Ἔν τ' ὄξει δριμεῖ καὶ σιλφίῳ ἐμβεβαῶσαν,
Ὀρνίθων τ' ὀπτῶν ἁπαλὸν γένος, ὡς ἂν ὑπάρχῃ
Ὥρη. Τῶν δὲ Συρακοσίων τούτων ἀμέλησον,
Οἵ πίνουσι μόνον βατράχων τρόπον, οὐδὲν ἔδοντες,
Ἀλλὰ σὺ μὴ πείθου κείνοις, ἃ δ' ἐγὼ λέγω ἔσθε
Βρωτά· τὰ δ' ἄλλα γ' ἐκεῖνα τραγήματα πάντα πέφυκε
Πτωχείας παράδειγμα κακῆς, ἑφθοί τ' ἐρέβινθοι
Καὶ κύαμοι καὶ μῆλα καὶ ἰσχάδες. Ἀλλὰ πλακοῦντα
Αἶνει Ἀθήνησιν γεγενημένον· εἰ δὲ μή, ἄν που
Αὐτὸν ἔχῃς ἑτέρωθι, μέλι ζήτησον ἀπελθὼν
Ἀττικόν, ὡς τοῦτ' ἐστὶν ὃ ποιεῖ κεῖνον ὑβριστήν.
Οὕτω τοι δεῖ ζῆν τὸν ἐλεύθερον, ἢ κατὰ τῆς γῆς
Καὶ κατὰ τοῦ βαράθρου καὶ ταρτάρου ἐς τὸν ὄλεθρον
Ἥκειν καὶ κατορωρύχθαι σταδίους ἀναρίθμους.

(Ib., p. 101 b. Conf. Eustath., p. 773, l. 36.)

Pedes vero parvas tardeque humi ambulantem.
Inveniuntur autem plurimi omnibusque virtute præstantes
Liparis; multos quoque Hellespontus cogit.

LIII.

Sepiæ Abderis et media in Maronea.

LIV.

Lolligines in Dio Pierico ad fluentum
Baphyræ; in Ambracia quoque permultas videbis.

LV.

Polypi et in Thaso et in Caria sunt optimi;
Etiam Corcyra magnos alit numeroque multos.

LVI.

Musculos Ænus habet magnos, ostrea vero Abydus,
Ursas Parium, pectines vero Mytilene.
Plurimos autem præbet Ambracia atque immensa cum illis
. . . . . .
Messenæ autem ad angustum fretum sitæ peloridas chamas,
Ephesi vero læves capies, haudquaquam pravas;
Tethea Chalcedon (profert); præcones vero (buccina)
Juppiter, tam in mari genitos quam forenses, [obterat
Uno viro excepto, qui mihi est familiaris
Lesbumque incolit vitiferam; vocatur autem Agatho.

LVII.

Semper autem coronis caput inter cœnam ornato
Omnifariis, quibuscunque terræ solum floret opulentum,
Et stillatitiis bonis unguentis comam curato,
Ac myrrham et thus ignis cinerem in mollem
Injice per totum diem, Syriæ fragrantem fructum.
Potanti vero tibi inferant hujusmodi bellarium:
Ventrem et vulvam suis elixatam cumino,
Aceto acri laserique innisam,
Aviumque assatarum tenerum genus, prouti fuerit
Anni tempus. Syracusios vero hos ne cura,
Qui bibunt tantum ranarum instar, nihil edentes,
Sed tu ne crede illis, at quæ ego præcipio ede
Alimenta; alia vero omnia ista bellaria
Paupertatis malæ sunt argumenta: cicera cocta,
Et fabæ et mala et caricæ. At placentam
Lauda Athenis factam; sin vero non habeas, eamque
Aliunde qua petas, mel tamen abi quæreque
Atticum; nam hoc est quod eam reddit injuriosam.
Sic vivere decet hominem liberum, aut sub terram
Barathrumque et tartarum in exitium
Ire, atque stadiis innumeris sub humo sepeliri.

LVIII.

Κλέαρχος δ' ὁ περιπατητικὸς, ἐν τοῖς περὶ παροιμιῶν περὶ τῆς ἀφύης φησίν· διὰ τὸ μικροῦ δεῖσθαι πυρὸς ἐν τοῖς τηγάνοις οἱ περὶ Ἀρχέστρατον ἐπιβάλλοντες κελεύουσιν ἐπὶ θερμὸν τήγανον σίζουσαν ἀφαιρεῖν· ἅμα δ' ἥπται καὶ σίζει, καθάπερ τοὔλαιον, εὐθύς· διὸ λέγεται· Ἶδε πῦρ ἀφύη.

(Ib. VII, p. 285 c.)

LIX

Ἀρχέστρατος ὁ τὸν αὐτὸν Σαρδαναπάλλῳ ζήσας βίον, περὶ τοῦ ἐν Ῥόδῳ γαλεοῦ λέγων, τὸν αὐτὸν εἶναι ἡγεῖται τῷ παρὰ Ῥωμαίοις μετ' αὐλῶν καὶ στεφάνων εἰς τὰ δεῖπνα περιφερομένῳ, ἐστεφανωμένων καὶ τῶν φερόντων αὐτὸν, καλουμένόν τε ἀκκιπήσιον.

(Ib., p. 294 e.)

LX.

Θαυμαστοὶ δ' εἰσὶ τῶν κεστρέων οἱ περὶ Ἄβδηρα ἁλισκόμενοι, ὡς καὶ Ἀρχέστρατος εἴρηκεν· δεύτεροι δ' οἱ ἐκ Σινώπης.

(Ib., p. 307 b.)

LVIII.

Clearchus vero Peripateticus in libris de Proverbiis de apua dicit: quia exiguo igne opus habet in sartaginibus, jubet Archestratus calidæ injectam sartagini auferre stridentem; simul enim atque ignem tetigit, stridet quoque, sicut oleum. Itaque dici solet: Vidit ignem apua.

LIX.

Archestratus vero qui eandem ac Sardanapallus vitam egit, de galeo Rhodio loquens, eundem esse piscem censet atque eum qui apud Romanos coronis ornatus ad tibiæ cantum mensis infertur, coronatis etiam qui inferunt famulis; quem accipenserem vocant.

LX.

Admirabiles vero sunt qui circa Abdera capiuntur mugiles, quemadmodum et Archestratus dixit; his proximi Sinopenses.

ΝΟΥΜΗΝΙΟΥ ΤΟΥ ΗΡΑΚΛΕΩΤΟΥ

ΤΑ ΛΕΙΨΑΝΑ

ΕΚ ΤΟΥ ΑΛΙΕΥΤΙΚΟΥ.

I.

Καὶ δὲ σύ γε μνήσαιο δελείατος, ὅττι παρ' ἄκρα
Δήεις αἰγιαλοῖο γεώλοφα· τοὶ μὲν ἴουλοι
Κέκληνται, μέλανες, γαιηφάγοι, ἔντερα γαίης.
Ἠὲ καὶ ἐρπύλλας δολιχήποδας, ὅπποτε πέτραι
Ἀμμώδεις κλύζονται ἐπ' ἀκρῇ κύματος ἀγῇ,
Ἔνθεν ὀρύξασθαι θέμεναί τ' εἰς ἄγγος ἀολλεῖς.

(Athen. VII, p. 305 a. Conf. Eustath. p. 1215, 7.)

II.

Ἢ λευκὴν συνόδοντα, βόηκάς τε τριγκούς τε.

(Ib., p. 286 f, et 322 b.)

III.

Ἢ βαιῇ καρῖδι, καὶ εἴ ποτε βεμβράδι· κείνῃ
Ζωὴ ἐπ' ἀγρώστοιο· τάδε σκέψαιο δέλετρα.

(Ib., p. 287 c.)

IV.

Ὕκην ἢ κάλλιχθυν, ἢ χρόμιν, ἄλλοτε δ' ὀρφὸν,
Ἢ γλαῦκον περόωντα κατὰ μνία σιγαλόεντα.

(Ib., p. 295 b, et 328 a.)

V.

Ἢ σκάρον, ἢ κῶθον τροφίην καὶ ἀναιδέα λίην,
Χάννας τ' ἐγχέλυας καὶ ἐννυχίην πίτυνον,
Ἢ μύας, ἢ ἵππους, ἠὲ γλαυκὴν κορύδυλιν.

(Ib., p. 304 e, 306 c, 309 c et 327 f.)

VI.

Κεῖνο δὲ δὴ σκέπτοιο, τό κεν καὶ ἰουλίδα μάργον
Πολλὸν ἀποτρωπῷτο καὶ ἰοβόλον σκολόπενδραν.

(Ib., p. 304 f.)

VII.

Γλαύκους, ἢ ὀρφῶν ἕναλον γένος, ἠὲ μελάγχρων
Κόσσυφον, ἢ κίχλας ἁλιειδέας, ἄλλοτέ τ' ἄλλῃ
Σαργὸν ἐπικέλσοντα, λινοπληγέστατον ἰχθύν.

(Ib., p. 305 c, 321 b et 315 b.)

VIII.

Τοῖσί κεν ἅρμενα πάντα, παροπλίσσαιο δὲ μῦρα,
Κούρυλον, ἢ πηρῖνα, ἢ εἰναλίην ἔρπυλλαν.

(Ib., p. 306 c.)

NUMENII HERACLEOTÆ

QUÆ SUPERSUNT

EX HALIEUTICO.

I.

Porro tu memento escæ, quam ad summas
Invenies littoris colles; hi quidem vocantur Iuli,
Nigri, terra vescentes, intestina terræ.
Aut cicadæ (marinæ) quoque longipedes, quum rupes
Arenosæ proluuntur summa fluctuum adlisione,
Inde effodiendæ sunt confertimque in vas reponendæ.

II.

Aut album denticem et boces trincosque.

III.

Aut exiguæ squillæ, et si quando bembradi, cui
Victus in gramine (?); has dispice escas.

IV.

Hycam, aut pulcrum piscem, aut chromin, alio vero tempore
Aut glaucum per molles incedentem algas. [orphum,

V.

Aut scarum, aut gobium altilem valdeque impudentem,
Hiatulas, anguillasque et nocturnum pitynum,
Aut mures, aut equos, aut glaucum corydylin.

VI.

Illud igitur dispice, quo Iulidem voracem [scolopendram.
Magnoque numero (irruentem) avertas et virus jaculantem

VII.

Glaucos, aut orphorum marinum genus, aut nigro corpore
Merulam, aut turdos purpureos, et modo hic modo illic
Irruiturum sargum, piscem retibus perniciosissimum.

VIII.

Adversus hæc omnia supellectilia, instrueres autem unguenta,
Curylum, aut pudendum (marinum), aut marinam cicadam.

IX.

Ἄλλοτε καρχαρίην, ὁτὲ δὲ ῥόθιον ψαμαθῖδα
(Ib., p. 306 b et 327 a.)

X.

Ῥηϊδίως ἕλκοιτο καὶ αἰολίην κορακῖνον.
(Ib., p. 308 e.)

XI.

Ἄλλοτ' ἐρυθρὸν
Κόκκυγα, ἢ ὀλίγας πεμφηρίδας, ἄλλοτε σαῦρον.
(Ib., p. 309 f.)

XII.

Ἢ ψόρον, ἢ σάλπας ἢ αἰγιαλῆα δράκοντα.
(Ib., p. 313 e.)

XIII.

Τοῖσί κεν εὐμαρέως θαλάμης ἄπο μακρὸν ἀείροις
Σκορπίον, ἢ ὀρφὸν περιτρηχέα· τῶν γὰρ ἐπ' ἄκρης
(Ib., p. 315 b.)

XIV.

Ἄλλοτε δ' αὖ πέρκας, ὁτὲ δὲ στροφάδας παρὰ πέτρην
Φυκίδας ἀλφηστήν τε καὶ ἐν χροιῇσιν ἐρυθρὸν
Σκορπίον, ἢ πέρκαισι καθηγητὴν μελάνουρον.
(Ib., p. 282 a, 313 d, 319 b, 320 e.)

XV.

Τοῖσί κε θηρήσαιο λαβὼν λελιημένος ἰχθύν,
Ἠὲ μέγαν συνόδοντα, ἢ ἀρνευτὴν ἵππουρον,
Ἠὲ φάγρον λοφίην, ὁτὲ δ' ἀγρόμενον σκιαδῆα.
(Ib., p. 304 d, 322 b et f.)

XVI.

Ἀκονίας, κίγκλους τε καὶ αὐλοπίην, τράχουρον.
(Ib., p. 326 a.)

XVII.

Κανθαρίδα προφανεῖσαν ὕαινάν τε τρίγλην τε.
(Ib , p. 326 f.)

XVIII.

Ἢ σπάρον, ἢ ὕκας ἀγεληΐδας, ἢ ἐπὶ φάγρον
Πέτρῃ ἁλώμενον.
(Ib., p. 320 d et 327 b.)

XIX.

Σὺ δ' ἂν καὶ χαλκίδ' ἐκείνην
Αὔτως ἀμπείρειας (?) καὶ ὀλίγην μαινῖδα.
(Ib., p. 328 d.)

XX.

Φύλλων δ' ὅσσ' ἄσπαρτα, τά τ' ἐῤῥίζωται ἀρούραις
Χείματος, ἠὸ' ὁπόταν πολυάνθεμον εἶαρ ἵκηται,
Αὐχμηρὴν σκόλυμόν τε καὶ ἀγριάδα σταφυλῖνον,
Ῥάφυν τ' ἔμπεδον [ἠδὲ] καὶ καυλίδα τ' ἀγροιῶτιν.
(Ib. IX, p. 371 b.)

IX.

Modo carchariam, modo vero impetuosam psamathidem

X.

Facile extraberet variegatum (?) corvinum.

XI.

Modo rubrum
Cuculum aut exiguas pempheridas, modo lacertum.

XII.

Aut psorum aut salpas aut littoralem draconem.

XIII.

His facile e cubili grandem extraxeris
Scorpium aut orphum valde asperum; horum enim a summa

XIV.

Modo rursus percas, modo vero oberrantes ad rupem
Phycidas et cinædum et cute rubrum
Scorpium et percarum ducem melanurum

XV.

His sumptis, venaberis, si cupis, piscem;
Sive magnum denticem, sive subsultorem hippurum,
Seu alta cervice pagrum, aliquando et gregatim viventem
[sciænam.

XVI.

Aconias, cinclosque et aulopiam, trachurum.

XVII.

Cantharidem apparentem et suculam mullumque.

XVIII.

Aut sparum, aut hycas prædatores, aut pagrum
Ad saxa vagantem.

XIX.

Tu autem chalcidem illam
Frustra transfixeris et parvam mænam.

XX.

Foliorum quæcunque vel sponte crescunt, vel in arvis radices
Hyeme, aut quum floribus abundans ver advenerit, [agunt
Aridum carduum et agrestem pastinacam
Et rapam in solo fixam et rusticam cauliculam.

ΕΚ ΤΩΝ ΘΗΡΙΑΚΩΝ.

XXI.

Ὑπόχλωρον μὲν ἕλκος
Κυκλαίνει, τὸ δὲ πολλὸν ἀνέδραμεν αὐτόθεν ἕλκος.

(Schol. Nic. Ther. 237.)

XXII.

Ἄνθεσσί γε μὲν εἶδετ' ἔπ' ἰχὼρ
Ἠρόεις, τοτὲ δ' αὖ μολίβῳ ἐναλίγκιον εἶδος
Ἀμφί ἑ κυδαίνει κάλχῃ ἶσον.

(Ib. 257.)

XXIII.

Ὅτι δὲ δύο εἴδη (ἐχίου), μαρτυρεῖ καὶ Νουμήνιος ἐν Θηριακοῖς, καί φησι τὸ ἕτερον ὠφελεῖν.

(Ib. 637.)

PANCRATIS ARCADIS

QUÆ SUPERSUNT

EX OPERIBUS MARITIMIS.

I.

Quibus jam turdum vinosum, quem piscatores
Lacertum vocant et variegatum, orphiscum
Capite pinguissimum.

II.

Et salpæ pisces pari magnitudine,
Quas boves vocant piscatores e mari viventes
Quod algam ventri semper molunt dentibus.

III.

Pompilus quem sacrum piscem vocant mare navigantes.

IV.

Narrat (Pancrates) non modo apud Neptunum in honore esse pompilum, sed etiam apud deos Samothraciam incolentes; itaque piscatorem quemdam huic pisci poenam dedisse, cum aureum adhuc seculum inter homines esset; nomen ei erat Epopeo, ex Icaro insula oriundo; hunc igitur una cum filio piscantem, infaustaque captura nullis aliis piscibus nisi pompilis potitum ab horum esu non abstinuisse, sed omnes cum filio comedisse, atque non multo post pœnas dedisse impietatis; cetum enim impetu in navim facto, Epopeum in conspectu filii devorasse. Narrat etiam Pancrates, delphino quoque infestum esse pompilum, neque illum impune abire, si pompilum comederit; iners enim fit et tremens atque a fluctibus in littus ejectus mergis et gaviis cibo inservit; interdum etiam a viris qui in salsamentariorum officinis excubias agunt contumelia afficitur.

Ε THERIACIS.

XXI.

Subpallidum quidem ulcus
Circumdat et pleraque pars ulceris ex eo ipso loco exsurgit.

XXII.

In floribus quidem conspicitur sanies
Tenebricosa, alias rursus plumbo similis species
Undique eum illustrat purpuram simulans.

XXIII.

Duas extare echii species testatur etiam Numenius in Theriacis alteramque juvare ait.

ΠΑΓΚΡΑΤΟΥΣ ΑΡΚΑΔΟΣ

ΤΑ ΛΕΙΨΑΝΑ

ΕΚ ΤΩΝ ΘΑΛΑΣΣΙΩΝ ΕΡΓΩΝ.

I.

Οἷς ἤδη κίχλην οἰνώδεα, τὴν καλαμῆες
Σαῦρον κικλήσκουσι καὶ αἰολίην, ὀρφίσκον
Πιότατον κεφαλῇ.

(Athenæus VII, p. 305 c.)

II.

σάλπαι τ' ἰσομήκεες ἰχθῦς,
Ἃς τε βόας πορκῆες ἁλίζωοι καλέουσιν,
Οὕνεκα γαστέρι φῦκος ἀεὶ ἁλέουσιν ὀδοῦσιν.

(Ib., p. 321 f.)

III.

Πομπίλος ὃν καλέουσιν ἁλίπλοοι ἱερὸν ἰχθύν.

(Ib., p. 283 a.)

IV.

Διηγεῖται (ὁ Παγκράτης) ὡς οὐ μόνον τῷ Ποσειδῶνι ὁ πομπίλος ἐστὶ διὰ τιμῆς, ἀλλ' ὅτι καὶ τοῖς τὴν Σαμοθράκην κατέχουσι θεοῖς· ἁλιέα γοῦν τινα πρεσβύτην τῷ ἰχθύϊ τούτῳ κόλασιν ὑποσχεῖν, ἔτι τοῦ χρυσοῦ γένους κατ' ἀνθρώπους ὄντος· ὄνομα δ' ἦν αὐτῷ Ἐπωπεύς, καὶ ἐξ Ἰκάρου ἦν τῆς νήσου· καὶ τοῦτον οὖν ἅμα τῷ υἱῷ ἁλιεύοντα καὶ οὐκ εὐτυχήσαντα ἄλλων ἰχθύων ἐν τῇ ἄγρᾳ ἢ πομπίλων οὐκ ἀποσχέσθαι τῆς τούτων ἐδωδῆς, ἀλλὰ πάντας μετὰ τοῦ υἱοῦ καταθοινηθῆναι, καὶ μετ' οὐ πολὺ δίκας ἐκτῖσαι τῆς δυσσεβείας· κῆτος γὰρ ἐπελθὸν τῇ νηὶ τὸν Ἐπωπέα ἐν ὄψει τοῦ παιδὸς καταπιεῖν. Ἱστορεῖ δ' ὁ Παγκράτης, ὡς καὶ πολέμιός ἐστιν ὁ πομπίλος τῷ δελφῖνι, καὶ ὅτι οὐδ' οὗτος ἀτιμώρητος ἐκφεύγει, πομπίλου φαγών· ἀχρεῖος τῶν γίνεται καὶ σφαδάζων, ἐπειδὰν φάγῃ, καὶ ἐπὶ τοὺς αἰγιαλοὺς ἐκκυμανθεὶς βορὰ γίνεται αἰθυίαις τε καὶ λάροις, ἐνίοτε δὲ καὶ ὑπὸ τῶν ταῖς κηπείαις παρεδρευόντων ἀνδρῶν παρανομεῖται.

(Ibid.)

ΙΑΤΡΙΚΩΝ ΠΟΙΗΜΑΤΩΝ

ΤΑ ΛΕΙΨΑΝΑ.

ΟΡΚΟΣ ΙΑΤΡΙΚΟΣ.

Αὐτὸν ἐν ἀχράντοισι μέγαν θεὸν ὄμνυμι φωναῖς·
Οὔτε τινὰ ξεῖνον δηλήσομαι ἀνέρα νούσῳ,
Οὔτε τιν' ἐνδήμων, ὀλοφώϊα ἔργα τελειῶν,
Οὔτε μέ τις δώροισι παραιβασίην ἀλεγεινὴν
Ἐκτελέσειν πείσειε καὶ ἀνέρι φάρμακα δοῦναι
Λυγρὰ, τάπερ κακότητα θυμοφθόρον οἶδεν ὀπάζειν,
Οὔτε χάριν φιλίης ἑτέρῳ κατὰ νεῖμαι ὑποστῶ,
Ἀλλ' ὁσίας μὲν χεῖρας ἐς αἰθέρα λαμπρὸν ἀείρω,
Καὶ κακίης ἀμόλυντον ἔχω κατὰ πάντα λογισμόν.
Ἔρδειν κεῖνά γε μήσομ' ἅπερ σόον ἀνέρα θήσει,
Πορσυνέω δέ τε πᾶσι φίλην βιόδωρον ὑγείην.

(E. cod. Colonnæ 12 et Cod. Laurent. 3. Plut. 74.)

JUSJURANDUM MEDICUM.

Ipsum per magnum juro deum puris vocibus:
Neque hospitem virum ullum morbo lædam,
Neque civem quemquam, exitialia facinora patrans,
Neque donis me quis persuaderet delictum triste
Committere, vel viro venena dare
Perniciosa, quæ malum animum perdens norunt inferre,
Neque amicitiæ causa alii mala conciliare sustinerem,
Sed sanctas equidem manus ad splendidum cœlum attollo
Et scelere intemeratam servo prorsus mentem.
Illa facere molibor quæ salvum reddent virum
Et omnibus parabo sanitatem vita donantem.

ΗΛΙΟΔΟΡΟΥ ΤΟΥ ΑΘΗΝΑΙΟΥ ΤΩΝ ΑΠΟΛΥΤΙΚΩΝ ΠΡΟΣ ΝΙΚΟΜΑΧΟΝ Η ΑΡΧΗ.

Οὐ μὰ τὸν ἐν Τρίκκῃ πρηῢν θεὸν, οὐ μὰ τὸν ὕψοῦ
Ἥλιον σπείροντα θεοῖς φαεσίμβροτον αἴγλην,
Οὐ μὰ θεῶν σκηπτοῦχον, ὑπερμενέα Κρονίωνα,
Οὔτε μέ τις δώροισι παρήγαγεν, οὔθ' ὑπ' ἀνάγκης,
Οὔτε χάριν φιλίης ἑτέρῳ κακὰ νεῖμαι ὑπέστην,
Ἀλλ' ὁσίας μὲν χεῖρας ἐς ἠέρα λαμπρὸν ἀείρω,
Καὶ κακίης ἀμόλυντον ἔχω κατὰ πάντα λογισμόν.

(Gal. Antid. II, P. II, p. 445.)

HELIODORI ATHENIENSIS LETALIUM POTIONUM AD NICOMACHUM INITIUM.

Non sanctum per numen Triccæ quod venerantur,
Quique Deos late conspergit lumine Phœbum,
Sceptrigerumque Jovem Saturno rege creatum,
Muneribus quisquam, nec vi, nec gratia amoris
Adduxit aliis me propinare venena,
Sed palmas sacras splendentia ad æthera tendo,
Nullius atque mali mens est sibi conscia nostra.

ΡΟΥΦΟΥ ΕΦΕΣΙΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΟΝ ΠΕΡΙ ΛΑΔΑΝΟΥ.

Ἄλλο δέ που κατὰ γαῖαν Ἐρέμβων λήδανον εὕροις
Αἰγῶν ἀμφὶ γένεια· τὸ γὰρ καταθύμιον αἰξὶ
Κίστου ἀνθήεντος ἐπέδμεναι ἄκρα πέτηλα.
Τοῦ δ' ἀπὸ λαχνήεντος ἀνεπλήσθησαν ἀλοιφῆς
Αἶγες ὑπαὶ λασίῃσι γενειάσι πλευρά τε πάντα.
Οὐ μὲν δὴ νούσοις τόδε κάλλιον, ἀλλ' ἄρα πνοιῇ
Ἔξοχον, οὕνεκα πολλὰ μεμιγμένα φάρμακ' ἔχουσιν
Ἀμβρόσι', οἷά τε γαῖα φύει πεδίοισιν Ἐρέμβων.

(Gal., Sec. loc. 1, 2, II. p. 160.)

RUFI EPHESII FRAGMENTUM DE LADANO.

Ladanum Eremborum reperitur et alterum in arvis.
Caprarum circum barbas, nam pabula capris
Florentis cisti summæ gratissima frondes.
Istius verò lanuginis unguen inhæret
Caprarum hirsutisque genis atque undique costis.
Non adeo in morbis prodest, sed spirat odorem
Eximium, quare præstantia pharmaca miscent
Plurima, Eremborum et tellus fert qualia campis.

ΑΝΩΝΥΜΟΥ ΘΗΡΙΑΚΗ.

Θηριακὴν ὧδ' ἄν τις ἐπιχεράσαιτο·
Δαύκου μὲν καρπὸς, πάνακός τ' ὀπὸς, ἄσφαλτός τε
Καὶ σαγαπηνὸν ἴσον, καὶ χαλβάνη, ἄμμι δὲ αὖτις,
Λεπτὴ ἀριστολόχεια, καὶ ὄρχις κάστορος εἴη,
Καὶ κενταυρείοιο κόμης ἴσον, αὖτις ἐπ' αὐτοῖς

IGNOTI AUCTORIS THERIACA.

Theriacen ratione aliquis contemperet ista:
Dauci equidem fructus, panacis liquor, atque bitumen,
Et sagapenum itidem, tum galbana rursus, et ammi
Cum tenui terræ malo, cum castoris ipso
Testiculo, atque coma centauri pondera sument

Διπλάσιον στύρακός τε καὶ ἄμμεος, ἀννήσου τε
Καὶ φοῦ, καὶ πολίοιο κόμης, μήου τ' ἀκόρου τε
Ἠδὲ χαμαιπίτυος, καὶ φύλλα μαλαβάθροιο
Ἔστω, καὶ σφραγὶς Λήμνου ἄπο, χαλκίτεώς τε,
Χυλὸς καὶ ξανθῆς ὑποκιστίδος, αὖτις ἐπ' αὐτοῖς
Κόμμι τε καὶ νάρδος Κελτῶν ἄπο, θλάσπεος λεπτῆς
Καὶ σεσέλεως τὸ σπέρμα, καὶ ἐκ Κρήτης μαράθροιο,
Καὶ καρδαμώμου· ἀπὸ πάντων τέτταρες ἔστων
Δραχμαὶ, σμύρνης δ' αὖ καὶ στοιχάδος, ἠδὲ πρασίου,
Κόστου, δικτάμνου τε δραχμὰς ἓξ ἑμβαλ' ἑκάστου,
Καὶ μὴν καὶ πεπέρεως μακροῦ, ἑτέρην δ' ἐπὶ τῇδε
Ἀργεννὴν, ῥητίνης τε ἴσον, ξανθοῖό τε χαίτην
Κωρυκίου τε κρόκου, καὶ ῥίζαν πενταπετήλου,
Καὶ δέ νυ καὶ καλαμίνθην, ἴσα σχοίνου τ' εὐώδους,
Τερμίνθου δ' ἄπο ῥητίνην, νάρδοιο τε ῥίζαν
Ἰνδῆς, καὶ κασίης σύριγας, λιβάνοιο τ' ἀτμήτου
Χόνδρους, σπέρμα τε λεπτὸν ἐν οὔρεσιν ἀλδήσκοντος
Πετροσελίνου μίσγε δραχμὰς ἓξ, σταθμὸν ἰσάζων.
Διπλάσιον δ' ἔστω σκορδίου, γογγυλίδος τε
Σπέρματος ἀγροτέρης, ἰριδός τε, ῥόδων τε πέτηλα
Ξηρὰ, καὶ ἀγαρικὸν, ῥίζης ἐπὶ τοῖσι γλυκείης
Χυλὸς, καὶ βλασάμου ὀπὸς, [ἠδὲ] καὶ κιννάμωμον,
Καὶ δριμὺ ζιγγίβερι δραχμὰς δύο. Μάγματος ἔστω
Δὶς τόσον ἡδυχρόου πεπέρεως μέλανός τε, καὶ αὐτοὶ
Ἀρτίσκοι θηρῶν ἴσοι μήκωνος ὀποῖο
Σταθμῷ, οἷς δέ τι τόσσον ἐν ἀρτίσκοις βάρος εἴη
Πικρῆς ἐκ σκίλλης, μελίτος δ' ἐπὶ πᾶσι χέασθαι.
Ἡδυχρόου δέ τι μάγμα μάρου μὲν ἔχει δύο δραχμὰς,
Ἴσας δ' αὖτ' ἀσάρου τε, καὶ ἀμαράκ', ἀσπαλάθου τε,
Καὶ σχοίνου, καλάμου τ' εὐώδεος, ἐκ Πόντου τε
Φοῦ, ξυλοβαλσάμου, τ' ὀποβαλσάμου δραχμὰς τρεῖς·
Καὶ κιναμώμου εἰσὶν ἴσαι, καὶ κόστου ἐπ' αὐτῷ·
Σμύρνης θ' ἓξ δραχμὰς, καὶ φύλλα μαλαβάθροιο,
Ἶσον δ' αὖτ' Ἰνδῆς νάρδου, ξανθοῦ τε κρόκοιο·
Καὶ μὴν καὶ κασίης ἴσαι, διπλαῖ δέ τ' ἀμώμου,
Λοιπὴ δ' ἐκ κραναῆς Χίου δραχμῆς βάρος εἴη
Μαστίχη· οἴνῳ δ' αὖ Φαλερίνῳ φυράσασθαι.

(Gal. Antid. I, p. 438 et 439.)

Æqua, et duplicia styracisque, ameosque, et anisi,
Phu, poliique comæ pariter, meique, acorique,
Atque chamæpityos, foliorum itidem malabathri,
Sigilli ex Lemno, mox chalciteos, hypocistis
Flaventis succi, gummi, et quam Gallia donat
Nardi, præterea tenuis thlaspi, atque perinde
Seminis e seseli, marathri quod Creta ministrat,
Et cardamomi drachmæ cujusque parantur
Quattuor, at myrrha et prasion, cum stœchade costus,
Dictamnus senas capient hæc singula drachmas,
Quin etiam piper oblongum, album, præterea rheu,
Atque crocus qui Corycio defertur ab antro,
Quinque simul folii radix et juncus odorus,
Atque nepita drachmas æquales, et terebinthi
Resina accipient, nardi simul Indica radix,
Fistula jam casiæ, insectum thus, petroselini
Montani tenuis semen sex singula drachmis,
Junge; modo verum duplicato scordion adde,
Et rapæ semen sylvestris, et iris odoræ, et
Sicca rosæ folia, agaricum, succus glycyrrhizæ,
Balsameusque liquor, cinamomum, gingiber ardens
Binas accipient drachmas; et magmatis esto
Bis tantum hedychroi, piperisque nigri, insuper orbes
Theriaci æquabunt opium, hos bis vincere deben
Pondere scillini, et cunctis mel desuper adde.
Hedychroi vult magma mari binas sibi drachmas,
Æquales et amaraci habens, asari, aspalathique,
Et junci teretis, calami qui suavis odore est,
Phu Ponti, ligni et succi quem balsamon edit
Tres sunto drachmæ, totidem costi, cinamomi;
Myrrhæ sex alias misces, folii malabathri,
Indorum nardi, flavique croci insuper æquas,
Quinetiam casiæ totidem, sed pondus amomi
Sume duplum, drachmam Chiæ sed masticlæ habebit;
Hæc vino debent conspergi cuncta Falerno.

Η ΦΙΛΩΝΟΣ
ΑΝΤΙΔΟΤΟΣ.

Τάρσεος ἰητροῖο μέγα θνητοῖσι Φίλωνος
Εὕρεμα πρὸς πολλὰς εἰμι παθῶν ὀδύνας,
Εἴτε κόλον πάσχει τις, ἅπαξ δοθὲν, εἴτε τις ἦπαρ,
Εἴτε δυσουρίῃ ἴσχεται, εἴτε λίθῳ.
Ἰῶμαι καὶ σπλῆνα, καὶ ὀρθόπνοιαν ἀναιρῶ,
Καὶ φθίσιν ἰῶμαι, σπασμὸν ἐνιστάμενον,
Καὶ σφαλερὴν πλευρῖτιν· ἀποπτύων δέ τις αἷμα
Ἢ ἐμέων, ἕξει μ' ἀντίπαλον θανάτου.
Πάντα δ' ὅσα σπλάγχνοισιν ἐνίσταται ἄλγεα παύω,
Βῆχά τε καὶ πνιγμὸν, λύγγα τε καὶ κατάρουν.
Γέγραμμαι δὲ σοφοῖσι, μαθὼν δέ τις οὐ βραχύ μ' ἕξει

PHILONIS
ANTIDOTUS.

En me Tarsensis medici prægrande Philonis
Inventum, mala quod multa dolore levo,
Sive colum doleas, seu tu jecur, auxiliabor,
Seu lapis infestet, difficile aut lotium.
Et medeor spleni hinc, orthopnoeæque molestæ,
Convulsa atque tabem protinus exsupero.
Pleuritimque malam et sputum vomitumque cruoris
Evinco, mortis terror et hostis ego
Viscera tentantes omnes ego sedo dolores,
Interna et quicquid membra dolore quatit.
Tussim, singultum destillantesque fluores
Sisto, etiam si quid strangulet, excipio.
Me dedit ille auctor sapienti munera magna

Δῶρον· ἐς ἀξυνέτους δ' οὐκ ἐπόθησα περᾶν.
Ξανθὴν μὲν τρίχα βάλλε μυρίπνοον ἰσοθέοιο,
Οὗ λύθρος Ἑρμείαις λάμπεται ἐν βοτάναις,
Κρόκου δὲ σταθμὸν φρένας ἀνέρος· οὐ γὰρ ἄδηλον.
Βάλλε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως,
Καὶ τρίτον ἐν Τρώεσσι Μενοιτιάδαο φονῆος
Δραχμὴν τὴν μήλων γαστέρι σωζομένην.
Ὁλκὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,
Εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης,
Δραχμὴν καὶ ῥίζης ψευδωνύμου, ἣν ἀνέθρεψε
Χῶρος ὁ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος.
Πῖον δὲ γράψας, ἄρθρον βάλε πρῶτον ἐπ' αὐτὸ
Ἄῤῥεν ἐνὶ δραχμαῖς πέντε δὶς ἑλκόμενον,
Νᾶμα δὲ θυγατέρων ταύρων καὶ Κεκροπίδαισι
Συγγενὲς, οἱ Τρίκκης ὡς ἐνέπουσιν ἐμοί.

(Gal. Sec. loc. IX, 4; t. II, p. 297.)

Γαληνοῦ ἐξάπλωσις τῆς Φίλωνος ἀντιδότου.

Ἐν τούτοις τοῖς ἔπεσιν ὁ Φίλων κελεύει κρόκου μὲν < ε' ἐμβάλλεσθαι, πυρέθρου δὲ μίαν, εὐφορβίου μίαν, στάχυος νάρδου μίαν, πεπέρεως δὲ λευκοῦ καὶ ὑοσκυάμου τὸ ἴσον, ἑκατέρου <κ', ὀπίου δὲ ι'. Οἱ μὲν οὖν πρῶτοι δύο στίχοι τὸν κρόκον δηλοῦσι, ξανθὸν μὲν τῇ χρόᾳ ὄντα, τριχοειδῆ δὲ τῇ λεπτότητι. Λύθρον δὲ τοῦ κρόκου φησὶν ἐν ταῖς Ἑρμείαις, τουτέστι ταῖς τοῦ Ἑρμοῦ, λάμπεσθαι βοτάναις, ἐπειδὴ μειράκιον καλούμενον Κρόκος, ἅμα τῷ Ἑρμῇ δισκεῦον, εἶθ' ἑστὼς ἀμελέστερον, ἐμπεσόντος αὐτῷ δίσκου τῇ κεφαλῇ, συνέβη μὲν ἀποθανεῖν αὐτίκα, τοῦ δὲ αἵματος εἰς τὴν γῆν ἀναχθέντος, ἐξ αὐτοῦ φῦναι τὸν κρόκον. Λάμπεσθαι δ' εἶπε τὸν λύθρον, τουτέστι τὸν ἀπὸ τοῦ σφαγέντος αἷμα, διὰ τὸ στιλπνὸν τῆς χρόας τοῦ κρόκου. Γράφεται δὲ οὐ μόνον βοτάναις, ἀλλὰ καὶ πεδίοις ὡδί πως ὁ στίχος·

Ἑρμείοις λάμπεται ἐν πεδίοις.

Σταθμὸν δὲ ἀξιοῖ τοῦ κρόκου πέντε δραχμὰς εἶναι, φρένας ἀνέρος εἰπὼν τὰς αἰσθήσεις, οὔσας πέντε. Ὅτι δὲ δραχμὰς πέντε βούλεται εἶναι, καὶ οὔτε ὀβολοὺς, οὔτε λίτρας, οὔτε ἄλλο τι τοιοῦτον, ἐνδείκνυται διὰ τῶν ἑξῆς, πρῶτον μὲν εἰπὼν

Μίσγε δὲ καὶ δραχμὴν Ναυπλίου Εὐβοέως,

εἶθ' ἑξῆς καὶ τοῖς ἄλλοις προστιθεὶς ταὐτὸν ὄνομα τὸ τῆς δραχμῆς. Ναύπλιον μὲν οὖν Εὐβοέα τὸ πύρεθρον λέγει, διότι Ναύπλιος πυρὰς μεγάλας καύσας, ὥς φασι, κατὰ τὸν τῆς Εὐβοίας λιμένα, πολλοὺς τῶν Ἑλλήνων ἐξηπάτησεν, ὡς ἐπὶ χώραν εὐλίμενον καταίροντας ἀπολέσθαι. Ἐργάσασθαι δέ φασιν αὐτὸν τοῦτο διὰ τὸν τοῦ Παλαμήδους θάνατον. Καὶ μὴν καὶ τὸ εὐφόρβιον αἰνιγματωδῶς ὁμοίως τούτοις κέκληκεν, εἰπών

Καὶ τρίτον ἐν Τρώεσσι Μενοιτιάδαο φονῆος,

ἐπειδὴ ὁ ποιητὴς ἐποίησε λέγοντα τὸν Πάτροκλον (Il. π 849.)

Ἀλλά με Μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἄνδρων δ' Εὔφορβος.

Μήλων δὲ, τουτέστι προβάτων, ἐν τῇ γαστρὶ διασώζεσθαί φησι τὸ εὐφόρβιον, ὅτι μόνην ταύτην οὐ διαβιβρώσκει, καὶ διὰ τοῦτο δυνατόν ἐστιν ἀποτίθεσθαι κατ' αὐτὴν τὸ φάρμακον· ὀπὸς δ' ἐστὶ φυτοῦ τινος ἀκανθώδους ἐν τῇ τῶν Μαυρουσίων γῇ φυομένου, θερμότατος τῇ δυνάμει, καὶ γέγραπται περὶ αὐτοῦ βιβλίδιόν τι σμικρὸν Ἰόβᾳ τῷ βασιλεύσαντι τῶν Μαυρουσίων. Ἐφεξῆς δ' ὁ Φίλων φησίν·

Δραχμὰς δ' ἀργεννοῖο πυρώδεος εἴκοσι βάλλε,

ὡς λευκὸν πέπερι σημαίνων· ἔστι δὲ εὐστομαχώτερον καὶ δριμύτερον τοῦ μέλανος. Εἴκοσι δ' ἀξιοῖ δραχμὰς ἐμβάλλεσθαι σπέρματος ὑοσκυάμου, γράψας καὶ τοῦτο αἰνιγματωδῶς·

Εἴκοσι καὶ κυάμου θηρὸς ἀπ' Ἀρκαδίης,

Discipulo, stupidos nil ego curo viros.
Fragrantem fulvumque pilum pueri cape, cujus
Fulget adhuc plantis Mercurii ille cruor;
Pondus ad humanos sensus perpendito prudens.
Dein drachmæ pondo Nauplion Euboïcum,
Inde Menoetiadæ occisoris ponito drachmam
Qui pecoris densis ventribus excipitur.
Viginti et candentis drachmas indito flammæ,
Et totidem fabæ post suis Arcadicæ,
Et drachmam dictæ falso radicis ab ipsa
Terra, Pisseo quæ Jove clara manet.
Cumque *pion* scribes, voci caput amplius addes
Masculum Achivorum nominis articulum,
Indeque post drachmas expensas sumito lance
Quinque bis. Atque isthæc providus excipito
In laticem tauri natarum Cecropidarum,
Ut retulit Triccæ mi inclyta progenies.

Galeni explicatio antidoti Philonis.

In his versibus Philo jubet croci dr. quinque conjici, pyrethri unam, euphorbii unam, spicæ nardi unam, piperis autem albi et hyoscyami par pondus, utriusque dr. viginti, opii vero dr. decem. Primi quidem igitur versus crocum indicant, ut qui fulvus colore sit et tenuis ad formam pilorum. Cruorem autem croci fulgere adhuc in herbis Mercurii dicit: adolescens enim Crocus appellatus cum Mercurio disco ludens et negligentius consistens, illapso in caput ipsius disco, statim mortuus est; ex sanguine autem ipsius in terram acto crocus natus est. Fulgere vero cruorem dixit, hoc est sanguinem jam occisi propter coloris croci splendorem. Scribitur autem non solum plantis, sed et campis in versu hoc modo:

Fulget adhuc campis Mercurii ille cruor.

Ceterum pondus croci dr. quinque esse vult, quum humanos sensus perpendere jussit, qui quinque numero sunt. Se autem dr. quinque velle, et neque obolos, neque libras, neque aliud quicquam tale, per sequentia commonstrat, primum quidem quum ait:

Dein drachmæ pondo Nauplion Euboicum,

deinde vero et consequenter, cum reliquis idem dr. nomen apponit. Nauplion itaque Euboicum vocat pyrethrum propterea quod Nauplius, magnis rogis accensis, ut ajunt, circa Eubœæ portum, multos Græcos decepit, ut perirent, tamquam ad regionem portus bonos habentem applicantes. Id ipsum vero ob Palamedis necem eum fecisse tradunt. At vero et euphorbium similiter his ænigmatice indicavit, dicens,

Inde Menœtiadæ occisoris ponito drachmam,

quandoquidem poeta Patroclum sic locutum esse cecinit:

At me Parca ferox Latonæ et filius aufert,
Atque vir Euphorbus.

Pecoris autem, hoc est ovium ventribus excipi euphorbium ait propterea quod hos solos non corrodit, et ideo in his reponi hocce medicamentum potest; est autem euphorbium plantæ cujusdam spinosæ in Mauritanorum terra nascentis succus, facultate calidissimus, de quo libellum parvum conscripsit Juba Mauritanorum rex. Pergit deinde Philo:

Viginti et candentis drachmas indito flammæ,

piper album per hoc significans; est autem stomacho commodius et acrius quam nigrum. Viginti insuper dr. seminis hyoscyami injicere jubet, hunc quoque ænigmatice depingens his verbis:

Viginti et fabæ post suis Arcadicæ,

ἐπειδὴ τὸν Ἐρυμάνθιον κάπρον ὁ Ἡρακλῆς ἀποκτεῖναι λέγεται κατὰ τὴν τῶν Ἀρκάδων γῆν αὐξηθέντα. Νάρδου δὲ καὶ αὐτῆς < α' ἀξιοῖ βάλλειν, ἣν ψευδώνυμον εἰρηκε ῥίζαν, ἐπειδὴ στάχυς ὀνομάζεται νάρδου· βούλεται δ' αὐτὴν εἶναι Κρητικὴν, ἔνθα φησίν·

ἣν ἀνέθρεψε
Χεῖρος ὁ τὸν Πίσσῃ Ζῆνα λοχευσάμενος,

ἐπειδὴ τὸν Δία φασὶν οἱ μυθολόγοι κατὰ τὸ Δικταῖον ὄρος ἐν Κρήτῃ τραφῆναι, κρυπτόμενον ὑπὸ τῆς μητρὸς Ῥέας, ὅπως μὴ καὶ αὐτὸς ὑπὸ τοῦ πατρὸς τοῦ Κρόνου καταποθῇ. Προσέθηκε δὲ τῷ Διὶ τὴν Πίσσαν, ὡς εἰώθασι καὶ πολλοὶ χωρὶς ποιητικῆς ἐν τῷ βίῳ λέγειν· μὰ τὸν ἐν Περγάμῳ Ἀσκληπιὸν, μὰ τὴν ἐν Ἐφέσῳ Ἄρτεμιν, μὰ τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, μὰ τὸ ἐν Ἐλευσῖνι πῦρ. Ἔνιοι δὲ οὐ τὴν Κρητικὴν χώραν, ἀλλὰ τὴν Ἰνδικὴν εἰρῆσθαί φασιν, ἐξ ἧς ὁ ἐλέφας φέρεται· ἐκ τούτου γὰρ τὸ ἐν Πίσσῃ τοῦ Διὸς ἄγαλμα λελοχεῦσθαι, τουτέστι γεγενῆσθαι. Τούτοις ἅπασι μίγνυσθαι κελεύει τὸν τοῦ μήκωνος ὀπὸν, εἰθισμένον ὑπὸ τῶν ἰατρῶν ὄπιον ἰδίως ὀνομάζεσθαι, μηδενὸς τῶν ἄλλων ὀπῶν, καίτοι παμπόλλων ὄντων, κατὰ τὸ καλούμενον οὐδέτερον γένος ὀνομαζομένων· ἐπεὶ τοίνυν τὸ ὄνομα ἐκ τῆς ο ωνῆς καὶ τῆς πῖον σύγκειται, διὰ τοῦτο ἔφη·

Πῖον δὲ γράψας ἄρθρον βάλε πρῶτον ἐπ' αὐτὸ
Ἄρρεν ἐνὶ δραχμαῖς πέντε δὶς ἑλκόμενον,

ὅπερ ἐστίν· ἔμβαλλε καὶ τοῦ ὀπίου < ι. Ὑπόλοιπον δ' ἐστὶν, ᾧ πάντα ταῦτα ἀναλαμβάνεται λειωθέντα, τὸ μέλι, κεκλημένον ὑπ' αὐτοῦ συμβολικῶς νᾶμα ταύρου θυγατέρων, ἐπειδὴ σημαινόντων τῶν ταύρων γεννᾶσθαί φασι τὰς μελίσσας. Ἀττικὸν δ' αὐτὸ βουλόμενος εἶναι συγγενὲς ἔφη τοῖς Κεκροπίδαις, τουτέστι τοῖς Ἀθηναίοις. Διὰ δὲ τοῦ τελευταίου τῶν ἐπῶν δηλοῖ καὶ τοὺς Ἀσκληπιάδας οὕτως ὀνομάζειν· ἐκ Τρίκκης γὰρ τὸ γένος αὐτῶν ἐστιν, ὡς καὶ ὁ ποιητής ἐστιν (φησιν) (Il. β' 729.).

quandoquidem aprum Erymanthium Hercules occidisse fertur, qui in Arcadum terra fuit enutritus. Quin et nardi ipsius dr. unam injiciendam esse censet, quam radicem falso dictam appellavit, quia spica nardi nominatur; hanc autem e Creta esse jubet his verbis :

ab ipsa
Terra, Pissæo quæ Jove clara manet,

quandoquidem fabularum scriptores Jovem in Dictæo Cretæ monte educatum ajunt, occultatum a matre Rhea, ne et ipse a patre Saturno devoraretur. Addidit autem Jovi epitheton Pissæum, quemadmodum etiam omissis carminibus in communi sermone multi dicere solent : per Æsculapium Pergamenum, per Dianam Ephesiam, per Delphicum Apollinem, per ignem Eleusinium. Quidam vero non Creticam terram, sed Indicam indicatum esse ajunt, ex qua ebur affertur : ex hoc enim statuam Jovis Pissæam progenitam, id est factam esse. His omnibus et papaveris succum admisceri jubet, qui recepto a medicis more privatim *opium* appellatur, quum nullus alius succus, quantumvis multi sint, neutro genere, opium nempe, nominetur. Itaque quoniam ipsum nomen *opion* e litera o et *pion* componitur, ob id sane dicit :

Cumque *pion* scribes, voci caput amplius addes
Masculum archivorum nominis articulum.
Indeque post drachmas expensas sumito lance
Quinque bis,

hoc est, injice et opii dr. decem Superest quo omnia hæc trita excipiuntur, mel nempe, itidem ab eo alius rei ope designatum nomine *naturum tauri laticis*, quandoquidem e tauris putrescentibus apes generari dicuntur. Quod autem Atticum ipsum mel esse velit, ea gratia addidit *Cecropidis affine*, id est Atheniensibus. Ultimo autem versu ostendit Asclepiadas quoque hoc nomine id designare : e Tricca enim generis sui originem ducunt, uti et poeta dicit.

ΘΗΡΙΑΚΗ ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΦΙΛΟΜΗΤΟΡΟΣ.

ΠΑΡ' ΕΥΔΗΜΟΥ ΕΜΜΕΤΡΩΣ ΑΝΑΓΕΓΡΑΜΜΕΝΗ.

Ἴησιν μάθε τήνδε πρὸς ἑρπετὰ, ἣν Φιλομήτωρ
Νικήσας πείρᾳ κέκρικεν Ἀντίοχος.
Μήου ἄπο ῥίζης ὁλκὴν δίδραχμον ὁρύξας,
Σὺν τῷ δ' ἑρπύλλου κλῶνας ἰσορρεπέας,
Σὺν δ' ὀπὸν ἐκ πάνακος στήσας ἴσον, ἠδὲ τριφύλλου
Καρπὸν ὅσον δραχμῆς σταθμὸν ἄγοντα δίδου,
Ἀννήσου, μαράθου τε καὶ ἄμμιος, ἠδὲ σελίνου
Ἐξ ἑνὸς ἓν πληρῶν σπέρματος ὀξύβαφον,
Σὺν δ' ὀρόβου λείου δύο ὀξύβαφ' ἔμπασ' ἀλεύρου·
Πάντα δ' ὁμοῦ Χίῳ νέκταρι συγκεράσας
Κυκλοτερεῖς ἀνάπλασσε τροχοὺς, ἰσότητι μερίζων
Ἡμιδράχμοιο ροπῆς, ὅφρ ἂν ἕκαστος ἔχῃ.
Χίῳ δ' ἐγκεράσας τάδε μίγματα πικρὸν ἐχίδνης
Ἡμίσεως δραχμὴν ἰὸν ἀποσκεδάσεις·
Τῷ δὲ ποτῷ καὶ δεινὰ φαλάγγια καὶ σκολιοῖο
Σκορπίου ἐκφεύξῃ κέντρα φέροντ' ὀδύνας.

(Gal. Antid. II bis, p. 452 et 454.)

THERIACA ANTIOCHI PHILOMETORIS

AB EUDEMO VERSIBUS CONSCRIPTA.

Hoc cape præsidium ad reptilia quod Philometor
Usu præcipuum repperit Antiochus.
Meu drachmas binas radicis ponito, tantum
Germina serpylli ponderis accipiant,
Et panacis totidem drachmas liquor asserit, æque
Triffolii quantum drachmula fructus habet,
Oxybaphum marathri, nec non ameos et anisi
Atque apii sument semina quæque suum,
Ast ervi pones acetabula bina farinæ;
Omnia cum Chio nectare consocians
Orbiculos finges, justo qui singuli in illis
Drachmæ dimidium pondere constituant.
Dimidia drachma hæc miscens Chio effugies tu
Virus quod fundit vipera terribilis;
Hoc itidem fugies horrenda phalangia potu;
Scorpi etiam stimulum non vereare gravem.

ΑΝΔΡΟΜΑΧΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΘΗΡΙΑΚΗ ΔΙ' ΕΧΙΔΝΩΝ Η ΚΑΛΟΥΜΕΝΗ ΓΑΛΗΝΗ.

Κλῦθι πολυθρονίου βριαρὸν σθένος ἀντιδότοιο,
Καῖσαρ, ἀδειμάντου δῶτορ ἐλευθερίης,
Κλῦθι, Νέρων, Ἵλαρὴν μιν ἐπικλείουσι, Γαλήνην,
Εὔδιον, ἣ κυανῶν οὐκ ὄθεται λιμένων.
Οὐδ' εἴ τις μήκωνος ἀπεχθέα δράγματα θλίψας,
Χανδὸν ὑπὲρ στυγνῆς χείλος ἔχοι κύλικος,
Οὐδ' εἰ κωνείου πλήσει γένυν, οὔτ' ἀκονίτου,
Μέμψατο, οὐ ψυχροῦ χυλοῦ ὑοσκυάμου·
Οὐ θερμὴν θάψον τε καὶ ὠκύμορον πόμα Μήδης,
Οὐδὲ μὲν αἱμηρῶν ἕλκεα κανθαρίδων,
Οὐ ζοφερῆς ἐχιός τε καὶ ἀλγεινοῖο κεράστου
Τύμματα, καὶ ξηρῆς διψάδος οὐκ ἀλέγοι.
Σκορπίος οὐκ ἐπὶ τήνδε κορύσσεται, οὐδὲ μὲν αὐτὴ
Ἀσπὶς ἀδηρίτων ἰὸν ἔχουσα γόων.
Οὐ μὲν ἀπεχθόμενος καὶ δρύας ἀντιάσειε,
Καὶ κατὰ φωλειὸν θερμὸς ἔνερθε μένοι.
Οὐκ ἀλέγοι δρυΐνα ἄν· ἀναίμακτον δ' ἔχει ἰὸν
Αἱμόῤῥους, τοίῳ δαμναμένη πόματι.
Οὐ μὲν ἀπεχθήεντα φαλάγγια σίνεται οὕτως
Ἀνέρα, φρικαλέον δ' ἄχθος ἔθηκε πόνων.
Οὐχ ὕδρος, οὐκ ἐπὶ χέρσον, ὅθ' ὕδατα καρκίνος αἴθει,
Βοσκόμενος (θερμῆς ἤρξατο πρῶτον ἄλης)
Χέρσυδρος θανάτῳ πεπαλαγμένα χείλεα σύρων
Ἀντόμενος γλυκεροῦ τέρμα φέροι βιότου.
Τῇ πίσυνος λειμῶσι θέρους ἐπιτέρπεο, Καῖσαρ,
Καὶ Λιβυκὴν στείχων οὐκ ἀλέγοις ψάμαθον·
Οὐδὲ μὲν ἀμφίσβαινα φέρει μόρον, οὐδέ τις ἤδη
Φρῦνος ἐνὶ ξηροῖς βοσκόμενος πεδίοις.
Ῥεῖα δὲ καὶ στομάχοιο φέροις ἄκος οἰδήναντος,
Καὶ θοὸν ἰήσαις ἆσθμα κυλινδόμενον·
Ἢ ὁπόταν περὶ γαστρὶ κυκώμενον ἔνδοθι πνεῦμα
Κυμαίνῃ, κωφὸν κῦμα βιαζόμενον·
Ἢ ὅτ' ἐνὶ στροφάλιγγι ἀπηνέϊ κυμήνειεν
Ἔντερον, ἢ ταναοῦ σφυγμὸν ἔχωσι κόλου·
Ἢ ὁπόταν χολόεντες ὅλον δέμας, ἔξοχα δ' ὅσσε,
Καὶ μερόπων χροιὴν πάμπαν ἀνηνάμενοι
Ἴκτερον ἁλίσκωνται (?) ἀπηνέα, μηδ' ἐπὶ θοίνας,
Εἰ καί σφιν μακρὸν Ζεὺς πετάσειε κέρας(?),
Νεύοιεν, μοῦνον δὲ κατηφέα θυμὸν ἔχοντες
Φεύγωσι σφετέρων ἤθεα κηδομένων.
Εἰ δέ που ἢ κακοεργὸν ἴδοις ἐπὶ σώμασιν ὦχρον,
Ῥύσαις ὑδρηλὴν νοῦσον ἐπεσσυμένην,
Καὶ φαέων ἀμβλεῖαν ἄφαρ λάμψειεν ὀπωπὴν
Τῷ· καὶ ἀρχομένης οὐκ ἀλέγοις φθίσιος.
Οἴη καὶ τετάνοιο καὶ ἀρχομένοιο τενόντων
Σπάσματος ἦρε βυθοῦ ἄχθος ὀπισθοτόνου·
Ἦτ' ἄρα καὶ θώρηκος ὅσην ὠτρύνατο χώρην
Λοξὸς ἀναθλίβων πνεύμονα κοῦφον ὑμήν·
Ἢ ὅτε φρικαλέην τις ἔχοι περὶ κύστιν ἀνίην

ANDROMACHI SENIORIS

THERIACA TRANQUILLITAS DICTA.

Accipe quas habeat vires, clarissime Cæsar,
Antidotus multis e medicaminibus
Conficienda, auguste Nero, quo præside sancta
Pax viget et tellus libera jura tenet;
Tranquillamque Hilaremque vocant pariterque Serenam,
Stagna Acherusiados non timet atra lacus.
Non si quis cupidis expressa papavera labris
Hauserit, exitium pocula sumpta ferent
Non si quis gelida compleverit ora cicuta,
Sive quis altercum, sive aconita bibat,
Non si cantharides, aut præsens morte venenum
Sumat Medeæ, aut, fervida thapse, tuum.
Arida non dipsas, non clarus fraude cerastes,
Non fert impresso vipera dente necem.
Scorpius adversum hanc, itidem nil promovet aspis
Virus quæ reliquis exitiale tenet.
Non dryas audebit calido progressa cubili,
Ut prius, adversa cominus ire via;
Enervat dryinas, hæmorrhum, sanguinis expers
Ut fundat virus, hæc medicina jubet.
Claudere non cogent odiosa phalangia summum
Concussu tremulo frigoribusque diem.
Non hydrus, aut, ubi cancer aquas concalfacit, inter
Chersydrus tepidi pabula læta soli,
Quum ripas linquit viridique in gramine late
Lugubre sanguineo volvitur ore tumens.
Hac fidens æstu per rura vagabere, Cæsar,
In Libya quamvis progrediare solo.
Hæc rursus stomacho præsens medicina tumenti est,
Hæc ab anhelanti pectore tollit onus;
Aut intus toto quum spiritus undique ventre
Fluctuat et surdis viscera pulsat aquis;
Intestinaque ubi inclementia tormina vexant,
Et saliunt longi membra dolore coli;
Decolor hæc corpus suffusa bile repurgat,
Regium et ulterius non sinit ire malum,
Quum jam non homini similis cutis aurea livet,
Luridus et tinxit lumina fœda color;
Hi positas nolunt miseri contingere mensas,
Non si longum illis divum hominumque pater
Pandat cornu, animo sed tristes limina vitant
Ejus qui medicam polliceatur opem;
Si videas pallore malo candentia membra,
Tollet hydropa suis viribus antidotus;
Hinc hebetes oculi sibi pristina lumina sument;
Hac phthisis incipiens victa recedit ope;
Sive retro cervix prorsus seu flexa recessit,
Hanc per ope incipiens vulsio nulla caret;
Vel quum succingens costas membrana laborat,

Ἕλκεος, ἢ καί που δαμναμένοιο πόρου
Οὖρον ἐπιφράσσοιτο, ὅτ' ἔσχε τὸ πολλάκι καυλὸς
Ὁρμὴν, εἰς κενεὴν σεύμενος Κυθερέην.
Νεφρῶν δ' ἡνίκα φῶτα κατ' ἰξύος ἄλγος ἐπείγοι,
Θαῤῥῶν τοιαύτην ἐξελάσεις ὀδύνην.
Καὶ μογερῶν στέρνων ἀπολύσεται ἔμπυον ἰλὺν,
Πινομένη πολλοὺς μέχρις ἐπ' ἠελίους.
Ἀλθαίνει καὶ λοιμὸν ἀηδέα πᾶσαν ἐπ' ἠὼ
Δύσπνοον, ἐκ τοίης παρθέμενος πόσιος.
Καὶ κυνὸς ὑδροφόβην γενύων λυσσῶσαν ἐριννὺν
Φεύξεται εὐόδμῳ γαῦρος ἐπ' ἀντιδότῳ.
Τῆς δή τοι κυάμοιο, τὸν ἔτρεφεν εὔσκιον ὕδωρ
Τέλμασι, καὶ πολλοῖς κρυπτομένου πετάλοις,
Νειλῴου κυάμοιο διὰ βάρος ἄμμιγα χεύαις(?),
Θερμὸν ὕδωρ τρισσῶν κιρνάμενος κυάθων.
Πίνοιεν δ' ὅτε κοῖτον ἄγοι κνέφας, ἄλλοτε δ' ἠοῦς,
Ἄλλοτε καὶ διπλῆν ἐς πόσιν ὀρνύμενοι·
Ἠοῦς μὲν κεράσαιο, παρηγορέων κακοῦ ὁρμὴν,
Ὅσσοις ἀλγεινὸς λάμπεται ἠέλιος·
Νυκτὶ δ' ὁμῶς, ὅσσοις περ ἐπώδυνος ἔσπεται ὄρφνη,
Εὐνάστειραν ἔχοις τειρομένων πρόποσιν.
Ἰοβόλων δ' εἰ καί τις ὑπὸ γναμπτῆρι δαμείη,
Ἢ μογερὸν κυανοῦ πῶμα λάβοι θανάτου,
Ἴσην δ' ἐντύναιο κατ' ὀρφναίην τε καὶ ἠὼ,
Δαμναμένοις ἱλαρὴν παρθέμενος κύλικα.
Καί κεν ἀεὶ πνείοντας ἄγοις ἐπὶ κοῖτον ἑτοίμως
Γηθαλέους ταύτῃ, Καῖσαρ, ἀνωδυνίῃ.
Πρῶτα μὲν ἀγρεύσαιτο κακήθεας ἐμπέραμος φὼς,
Τολμηρῇ μάρπτων χειρὶ θοοὺς ὄφιας,
Τοὺς ἤδη κρυεροῦ ἀπὸ χείματος οὐκέτι γαίης
Κρύπτουσι στεινοὶ πάμπαν ἔνερθε μυχοὶ,
Εἰαρινὴν ἐφ' ἅλωα, χυτὸν βόσκωνται ἂν ἄλσος,
Διζόμενοι χλοεροῦ σπέρμα λαβεῖν μαράθρου,
Ὀξυτέρην τὸ τίθησιν ἐφ' ἑρπυστῆσιν ὀπωπὴν,
Πιαῖνον δειλοῖς ἄλγεα βουπελάταις.
Τῶν δ' αὐτῶν οὐράς τε καὶ ἰοβόλους ἀπὸ κόρσας
Τάμνοις, καὶ κενεὰς γαστέρας ἐξερύοις·
Οὖλα γὰρ ἀμφοτέρωθε φέρει ἐπὶ τύμμασιν ἄχθη
Λυγρὸν ὑπ' οὐραίην ἰὸν ἔχων φολίδα·
Τοὔνεκά οἱ τμήσαιο κατ' αὐχένα ἠδὲ κατ' ἄκρα
Ὅσσον πυγμαίης χειρὸς ἔνερθε βάθος·
Λοίγια δὲ σταλάουσι σὺν αἵματι, τῶν ἄπο πέζαν
Ἐκτὸς ἔχων ἱλαρὴν δέρξεται ἀντολίην.
Ὁππότε δὴ τὰ γένοιτο, τότ' ἐν κεραμηΐδι χύτρῃ
Κατθέμενος πυρσοῦ σάρκας ἔτι φλεγέτω,
Ὕδατι ἐγχεύσας ὅσον ἄρκιον, καὶ ἀνήθου
Κλῶνας ἐχιδναίῃ σαρκὶ συνεψομένας.
Ἡνίκα δὲ σκολιαὶ μὲν ἀποῤῥείωσιν ἄκανθαι,
Καὶ κακὸν οἰδήνῃ νῶτον ὕπερθεν ἔχις,
Ἐκτὸς ἕλοις, ζείοντα καταψύχων κυκεῶνα,
Ὄφρ' ἑκὰς ἐντύναις σάρκας ἀπεχθομένας,
Ἑρπυστόν τ' ἰόεντας ἀποῤῥύψειεν ἀκάνθας,
Πάμπαν ὑπ' εὐδίφρου χειρὸς ἐλεγχομένας.
Αὐαλέου δ' ἐπὶ ταῖσι βάλοις εὐεργέος ἄρτου

Pulmones reprimens desuper, ista levat;
Hac etiam magno vesica dolore levari
Horrifici stimulis ulceris icta solet;
Ista potest clausos penis reserare meatus,
Irrita quos urit sollicitatque venus.
Cinxerunt lumbos renum quandoque dolores;
Hauriat hæc aliquis pocula; sanus erit;
Ista potest itidem multis accepta diebus
Tollere de læso pectore puris onus.
Pestiferamque luem curat quæ tempus in omne
Spiratu gravis, hoc administrata modo.
Hanc sumas quantum pondus pendet faba, Nili
Umbrosissima alit quam stagnantis aqua
Multis protectam foliis, dein accipe, ternis
Antidoto calidam consocians cyathis.
Sume capis quando somnum, vel luce reversa,
Uno vel pariter pocula bina die:
Morbi certa dabit crudi solatia, mane
Sumpta, quibus tristis lux solet esse magis;
Vespere cui magnos nox advehit atra labores
Languenti custos atque levamen erit.
Exitiale animal si læsit vulnere diro,
Sive venenatum quid poculum nocuit,
Et quum mane novum, et quum se sol abdidit undis,
Sumas ab æquali pondere, tutus eris.
Quin et perpetuo spiranti nocte quietem
Præbebis, Cæsar, hac placidam antidoto.
Principio expertus vir in arte venabitur angues
Audaci miros celeritate manu;
Hos, quum tristis hyems abiit, non amplius arctas
In terra latebras cernis habere suas;
Missis jam latebris, subeunt nemora ampla, virentis
Sedulo ut anquirant semina fœniculi;
Hoc etenim exacuens reddit vim luminis illis
Et pestem miseris educat agricolis.
Captis tunc igitur summum caput imaque cauda
Demenda, huic ventrem te removere decet;
Infert nam sævos hinc atque hinc vipera luctus
Et squamma caudæ dira venena tegit;
Cervicisque ideo tantum caudæque secabis
In pugnum quantum est ipsa reducta manus;
Sanguine sed mistum caveas stillante venenum;
Vere hilarem nam sic experiere diem.
His tibi sic factis, carnes in fictile mittens,
Una compositas igne parabis ita:
Lymphæ quod satis est infundes, germen anethi,
Cum anguina junctum carne coquens pariter.
Ast ubi spina cadit cocta de carne recurva,
Desuper atque feræ noxia terga tument,
Eximito, ut frigescant conferventia, dein
Carnes has per se te tractare decet;
Hinc spinasque nigras prudens subducito dextra,
Quas bene si tractes, sentiet apta manus.
Carnibus addas dein panis sicci et bene pisti

Ὅσσον τερσῦναι σάρκα δύναιτο, τροχοὺς
Πλάσσασθαί τ'· ὅτε μιγδα κύτει περιηγέος ὅλμου
Θλασθείη, σκιεροῦ κάτθες ὑπὲρ δαπέδου.
Αὐτίκα δὲ σκίλλην τριχώδεσιν ἄμμιγα φλοιοῖς
Σταιτὶ περιπλάσσας, θάλπε κατὰ φλογιῆς,
Ὄφρα κεν ὀπταλέην τε καὶ οὐ σκληρὴν περὶ κόρσην
Ἐντείναις, σποδιῆς ἠρέμα δαιομένης.
Καί ῥ' ὅτε θαλπομένη ῥήξῃ, σέλας ἔκτοθι πυρσοῦ
Κάτθεο, καὶ τρισσὴν σαρκὸς ἔχοις μερίδα
Ὅλμοις, καὶ στρυφνοῖο βάλοις δύω (?) ὀρόβοιο,
Εὖ δ' ὑπέρῳ μίξας, συνδονέων μυχόθεν
Αἴνυσο, καὶ δινήεντας ἀνάπλασσε τροχίσκους·
Τοὺς δ' ἑκὰς ἠελίου ψύχεο τερσομένους.
Τῶν δ' ἤτοι δραχμὰς μὲν ὑπὸ πλάστιγγος ἀφέλκοις
Δοιὰς, τὴν πέμπτην παρθέμενος δεκάδα,
Ἥμισυ θηρείοιο βαλὼν τροχοειδέος ἄρτου·
Καὶ δολιχὸν σταθμῷ τόσσον ἔχοι πέπερι·
Ἴσα δ' ὁποῦ μήκωνος ἔχοι, καὶ μάγματος αὕτως,
Μάγματος ἡδυχρόου τόσσον ἐφελκομένου.
Δώδεκα δὲ ξηροῖο ῥόδου δραχμαῖσιν ἰσάζοις
Φύλλα, καὶ Ἰλλυρίην ἶριδα κατθέμενος·
Κυανέης μίξαιο μελιπτόρθου γλυκυρίζης
Τόσσον, καὶ γλυκερῆς σπέρματος βουνιάδος·
Σκόρδιον, καὶ κεῖνον ὁπὸν μίσγοιο θυώδη
Βλασάμου, Ἀσσυρίης ἔνδοθεν αἰνύμενος·
Τοῖς δ' ἔπι κιννάμωμον ἰσάζεο· μηδέ σε λήθῃ
Ἀγαρικὸν τούτοις ἰσοβαρὲς θέμεναι.
Ἢ ἔτι καὶ σμύρνης τε καὶ εὐόδμου κόστοιο,
Καὶ κρόκου, ὃν γ' ἄντρον θρέψατο Κωρύκιον,
Καὶ κασίην Ἰνδήν τε βάλοις εὐώδεα νάρδον·
Καὶ σχοῖνον νομάδων θῦμα φέροις Ἀράβων
Καὶ λίβανον μίσγοιο, καὶ ἀγλαΐὴν στήσαιο,
Ἄμμιγα κυανεῷ κατθέμενος πεπέρει
Δικτάμνου τε κλῶνας ἰδὲ χλοεροῦ πρασίοιο,
Καὶ ῥῆον· στοιχὰς δ' οὐκ ἀπάνευθε μένοι,
Οὐδέ νυ πετροσέλινον ἰδ' εὐώδης καλαμίνθη,
Δριμύ τε τερμίνθου δάκρυ Λιβυστιάδος,
Ζίγγιβερι θερμὸν κεὔκλωνον πενταπέτηλον·
Τὰς δοιὰς δραχμῶν πάντα φέροι τριάδας.
Αὐτίκα καὶ πολίου πίσυρας ὁλκὰς βαρυέσσας,
Ἡδὲ χαμαιζήλου πτόρθου ἄγοις πίτυος,
Καὶ στύρακος, μήου τε καὶ βοτρυοέντος ἀμώμου,
Καὶ νάρδου, Γαλάτης ἣν ἐκόμισσεν ἀνὴρ,
Λημνιάδος μίλτου, καὶ ἐκ Πόντου παράλοιο
Φοῦ· καὶ Κρηταίης σπέρμα χαμαιδρυάδος,
Μαλαβάθρου καλὰ φύλλα, καὶ ὀπταλέην χαλκῖτιν
Μίσγεσθαι ῥίζης οὐ δίχα γεντιάδος.
Ἄννησον, χυλόν θ' ὑποκιστίδος, ἠδέ νυ καρπὸν
Βαλσάμου, λιπαρὸν κόμμι διηνάμενον,
Καὶ μαράθροιο σπέρμα, καὶ Ἰδαῖον κραδάμωμον,
Καὶ ψαφαρὸν στήσαις παρθέμενος σέσελι.
Δάκρυον εὖ μίσγοιο βαλὼν κυανωπὸν ἀκάνθης·
Θλάσπι τε σὺν τούτοις ἰσοβαρὲς τελέθοι·
Τόσσον δ' ὑπερικοῦ, τόσσον δ' ἐπιμίσγεται ἄμμι·

Ut rotulæ fiant massaque ut arida sit;
Inque cava mistum postquam hæc versaveris pila,
Finge rotas, aptum det quibus umbra locum.
Inde capillato scillam cum cortice sumptam
Pulte linas medio constituasque foco;
Atque ita ferventi mergens versato favilla,
Dum caleat placido molliter igne caput;
At postquam calefacta nimis disrumpitur, ipsam
Deponas cura procul ab igne loco;
Hujus partes erunt ternæ, quibus insuper ervi
Una deficiens parte farina datur;
Quæ tereti in rotulas pistillo trita reforma;
A Phœbi et fiant arida luce procul.
His igitur lancem cumulare decebit et octo
Bisque decem drachmas indere bisque decem;
Dimidium superadde rotæ quam vipera fecit,
Et piperis longi sit quoque pondus idem;
Sitque opii tantum, tantum medicaminis ejus,
Quod grati nomen magma coloris habet.
Bis senis siccæ drachmis folia ingeris inde
Rosæ, conjunges irin et Illyricam;
Addaturque tui, radix dulcissima, succi
Et dulcis tantum seminis inde napi;
Scordion accedat (Latio est frixago palustris)
Et longe Assyrio balsama nata solo;
Istis æquali cinamonum pondere junges;
Indere tantundem sis memor agarici.
Hinc superest myrrham costum atque crocum imposuisse
Corycio ex antro maxime odoriferum;
Jam casiam et nardum quæ extremis fertur ab Indis,
Juncumque Arabibus suffimen Superis;
Inde nigrum conjunge piper thurisque nitori,
Dictamnum atque virens marrubium foliis;
Huc addatur babens Ponti cognomina rheon
Cum nepeta huicque suam Stœchas jungat opem,
Et lacrimæ, terminthe, tuæ petræque selinum
Quæque herba a foliis nomina quinque tulit;
Gingiber his calidum superaddito; bis tria drachmæ
Pondera ut ad trutinam singula pensa trahant.
Actutum polii quaternas ponite drachmas,
Tot styracis faciens atque chamæpityos;
Meu totidem drachmas, et amomi postulat uva;
Nardus quam generat Gallica terra simul,
Lemnia terra pares; pliu Ponti, itidemque chamædrys
Semina Cretensis, malabathri folia,
Chalcitis assa atque anisum, succus hypocistis,
Gentiados radix hoc quoque pondus amant;
Balsameum fructum, gummi dein fœniculumque
Et cradamomum, quod ex Ida petitur,
Atque atram lacrimam Nili quam spina remittit
Admiscere jube; fragile post seseli;
Thlaspi, ammi, sagapeni, atque hyperici addito binas
Bis drachmas reliquis tunc medicaminibus.
Pondere dimidio tum quos sibi castor ad Istrum

Καὶ σαγαπηνὸν ἄγοις τετράδα τοσσατίην.
Δοιὰς δ' εἰσάξεις τά περ Ἴστριος ἔκβαλε κάστωρ
Μήδεα, καὶ λεπτὴν ῥίζαν ἀριστολόχου,
Δαύκου τε σπέρμα *, καὶ αὐαλέην ἄσφαλτον,
Ἰοβόλων κοίταις ἄντια δαιομένην·
Ἶσα δ' ὁποῦ πάνακος συμμίσγεο κενταυρείῳ,
Χαλβανίδος λιπαρῆς ἰσόμορον θέμενος.
Καὶ τὰ μὲν ἐν θυίῃ πολιῷ μαλθάσσεο οἴνῳ
Ὅσσα περ ὑγροτέροις δάκρυσιν ἐμφέρεται·
Κόψας δ' εὖ λεπτῶς τὰ γέ κεν ξυλοειδέα πάντα,
Ἀκταίῳ μίσγοις συγκεράσας μέλιτι.
Ἰλήκοις ὃς τήνδε, μάκαρ, τεκτήναο, Παίων,
Εἴτε σε Τρικκαῖοι, δαῖμον, ἔχουσι λόφοι,
Ἡ Ῥόδος, ἢ Βούρινα, καὶ ἀγχιάλη Ἐπίδαυρος,
Ἰλήκοις, ἵλαρὴν δ' αἰὲν ἄνακτι δίδου
Παῖδα τεὴν Πανάκειαν· ὁ δ' εὐαγέεσσι θυηλαῖς
Ἱλάσεται τὴν σὴν αἰὲν ἀνωδυνίην.

(Antid. I, P. II, p. 428 et 429.)

Ore secat testes imposuisse decet;
Queis nec aristolochi radix siccumque bitumen,
Anguis ab accensi cujus odore fugit,
Addere neglige, nec dauci succus panacisve
Aut centaurium et galbanidis laticem
Antiquo primum solves tamen omnia vino,
Humida quæ fuerint ut liquor et lacrimæ,
Sed lignosa minutim conteris, omnia miscens
Melle quod Actæo littore fecit apis.
Hæc qui nos primus docuisti, maxime Pæan,
Adsis, seu Triccæ te juga summa tenent,
Seu Burinna, Rhodos, mari aut propinqua Epidaurus,
Des hilarem regi perpetuo antidotum,
Nempe tuam gnatam Panaceam, namque salutem
Ille datam puro semper honore colet.

ΠΡΟΣ ΤΑΣ ΑΡΧΟΜΕΝΑΣ ΥΠΟΧΥΣΕΙΣ

ΑΓΛΑΙΟΥ, ΕΥΓΕΝΕΣΤΑΤΟΥ ΒΥΖΑΝΤΙΩΝ, ΕΞ ΗΡΑΚΛΕΟΥΣ ΤΟ ΓΕΝΟΣ ΚΑΤΑΓΟΝΤΟΣ,

Ἀλεξάνδρου μαθητοῦ, συμμαθητοῦ δὲ Δημοσθένους καὶ φίλου,

ΣΤΙΧΟΙ ΗΡΩΕΛΕΓΕΙΟΙ.

Ἀγλαΐας τόδε σοι Βυζάντιος ἐσθλὸν ἰάλλω
Ἰητὴρ ἑτάρῳ δῶρον ἀοιδοπόλῳ,
Ὀφθαλμῶν μὲν ἄκος, Δημήτερα (?) τῶν ὑποχεῖσθαι
Ἀρχομένων, ὑπ' ἐμῆς δ' εὑρεθὲν εὐμογίης.
Καί σοι δ' ἔξοχον ἔσται ἐς ἄχθεα, παντί τ' ὄνειαρ
Παρμόνιμον, κάμψῃς ἄχρι κεν ἐς πλέονας.
Ὅσσα δ' ἔχει θρόνα λέξαι ἔοικε μοι, ὡς ἐπαρήγειν
Οἷς ἄν τι σθεναρὴ σύνθεσις ἥδε πέλει.
Ἄνθους μὲν χαλκοῦ πεντώβολον, ἰσοβαρὲς δὲ
Τοῦ συοδηλήτου τὴν ἀρετὴν γενέτιν·
Καὶ μεῖον τούτων ὀβολῷ στρόγγυλμα πυραιθὲς
Πρόσθες, ὃ Γαλλαϊκοῖς (?) ἀλδαίνετ' ἐν δαπέδοις·
Καὶ δύο διδράχμω, τὸ μὲν ἐκ ξανθότριχος ἄνθους,
Ἔνυμα * δ' ἐκ μηδέων θάτερον ἱπποδάμου·
Ἡμίσταθμον, ὃ τοῦ πατρὸς ψευδώνυμος, ἔστω
Ὃς γῆμαι δμωῆς υἱέϊ δῶκε κόρην·
Στῆσον δ' αὖ ἀλόϊον ἓν ἥμισυ τοῦ προτέροιο
Ἄχθος· ἄγε στάχυος Σινδογενοῦς ὀβολόν·
Διστάσιος δ' αὐτῷ πελέτω λίθος εἰαριήτης·
Διστάσιον δ' ἀφροῦ θρύμμα φακουσιακοῦ·
Σὺν δὲ τριάκοντα δραχμαῖς ἔτι καὶ δύο μίσγε
Ὁλκὰς ἐξ ἄνθους ναμασιπηγὸς ἁλός·
Καὶ Ζακορίσου * Μούσαις ἰσάριθμον ὄπισμα
Δραχμόθεν ἔστω σοι συγκατακιρνάμενον
Τετραμόρῳ κοτύλης, ὃ τιτύσκεται οὐ διὰ χειρῶν

ADVERSUS SUFFUSIONES INCIPIENTES

AGLAIÆ, BYZANTINORUM NOBILISSIMI, AB HERCULE GENUS DEDUCENTIS,

discipuli Alexandri, Demosthenis vero condiscipuli et amici,

VERSUS HEROELEGIACI.

Aglaias hoc tibi Byzantius eximium mitto
Medicus sodali donum poetæ,
Oculorum quidem remedium, Cererem suffundi
Incipientium, mea inventum assiduitate. [lium
Tibique egregium erit contra molestias, atque cuivis auxi-
Perpetuum, donec ad plures te convertas. [opem ferat
Quot autem contineat medicamenta dicere mihi placet, ut
Quibus aliquanti æstimanda est efficax hæc confectio:
Floris æris quidem quinque obolos, eodem vero pondere
Speciem matrem a sue interfecti;
His uno obolo minus adde globi igne fulgentis
Qui Gallaico viget in solo;
Et bis duas drachmas, primum floris flavicomi, [mitoris;
Dein materiæ quæ continetur (?) naturalibus equorum do-
Dimidium pondus rei sit falso nomine nuncupatæ e patre,
Qui filiam in matrimonium locavit ancillæ filio;
Pende rursus omphacium sesquialterum præcedentis
Pondus; libra spicæ Sinda ortæ obolum;
Duplex hujus insit lapis hæmatitis;
Duplex scobs spumæ Phacusiacæ;
Cum triginta autem drachmis duas præterea misce
Drachmas floris salis in fluctibus concrescentis;
Zacorisique * succus eodem quo Musæ numero
Per drachmas tibi admisceatur
Quartæ parti cotylæ rei quam non manibus fabricantur

Ἐν δαπεδοῖς * Βάκτης, ἀλλὰ διὰ στομάτων.
Λεῖα δὲ πάντα καθ' ἓν τρίψας ἀνάμισγε σὺν ὑγροῖς,
Τημελεως τ' ἀπόθου τεῦχος ἐς ἀργύρεον.

Sichel, Revue de Philologie II, 1, p. 7 sqq.)

11. Τὸ δένδρον ἡ πεπερὶς εἰκασται τῷ παρ' Ἕλλησιν ἄγνῳ τά τε ἄλλα καὶ τὸν κόρυμβον τοῦ καρποῦ. Φύεται δ' ἔν τισι τόποις οὐκ ἐφικτοῖς τοῖς ἀνθρώποις, οὗ λέγεται πιθήκων οἰκεῖν δῆμος ἐν μυχοῖς τοῦ ὄρους· οὓς πολλοῦ ἀξίους οἱ Ἰνδοὶ νομίζοντες, ἐπειδὴ τὸ πέπερι ἀποτρυγῶσι, τοὺς λέοντας ἀπ' αὐτῶν ἐρύκουσιν ὅπλοις· ἐπιτίθεται δὲ πιθήκῳ λέων, νοσῶν· μὲν ὑπὲρ φαρμάκου, γεγηρακὼς δ' ὑπὲρ σίτου. Τὰ δὲ πραττόμενα περὶ τὰς πεπερίδας ὧδε ἔχει· προσελθόντες οἱ Ἰνδοὶ τοῖς κάτω δένδρεσι, τὸν καρπὸν ἀποθερίσαντες, ἕλως ποιοῦνται μικρὰς περὶ τὰ δένδρα, καὶ τὸ πέπερι περὶ αὐτὰς συμφοροῦσιν, οἷον ῥιπτοῦντες ὡς ἄτιμόν τι καὶ μὴ ἐν σπουδῇ τοῖς ἀνθρώποις. Οἱ δὲ ἄνωθεν καὶ ἐκ τῶν ἀδάτων καθεωρακότες ταῦτα, νυκτὸς γενομένης, ὑποκρίνονται τὸ τῶν Ἰνδῶν ἔργον, καὶ τοὺς βοστρύχους τῶν δένδρων περισπῶντες ῥιπτοῦσι φέροντες εἰς τὰς ἅλως. Οἱ Ἰνδοὶ δὲ ἅμα ἡμέρᾳ σωροὺς ἀναιροῦνται τοῦ ἀρώματος, οὐδὲ πονήσαντες οὐδὲν, ἀλλὰ ῥᾳθυμοί τε καὶ καθεύδοντες.

15. Ψευδώνυμον τὴν πικρὰν χολήν· τοιαύτη γὰρ οὖσα γλυκεῖα λέγεται.

16. Ὃς δὲ, ἤτοι ὁ Ἀλέκτωρ γαμῆσαι ἔδωκε δμωῆς υἱεῖ (δούλου υἱῷ) γενηθέντι Μενελάου παιδὶ Μεγαπένθῃ· λέγει γὰρ Ὅμηρος (Od. δ, 10?)·

ἡ γὰρ Σπάρτηθεν Ἀλέκτορι μίγη δόλῳ.

10. Τοῦ ὑπὸ συὸς διεφθαρμένου· οὗτος δέ ἐστιν ὁ Ἄδωνις. Γενέτην, ἤγουν μητέρα· ὠνόμασται δὲ αὕτη Σμύρνα.

12. Γαλλαϊκοῖς· κατὰ τὸν Γάγγην ποταμὸν αὐξάνεται τὸν ἐν τῇ Ἰνδικῇ.

17. Ἀλόϊον ὀμφάκιον· οὕτω λέγεται παρὰ Πολυείδῃ τῷ ἰατρῷ ἐν ταῖς τῶν φαρμάκων συνωνυμίαις.

19. Εἰαριήτης· αἱματίνης λίθος· τὸ γὰρ ἔαρ Καλλίμαχος (fr. 247) αἷμα λέγει· Νίκανδρος (Alex. 87 et 314) δὲ εἶαρ.

20. Θρύμμα φακουσιακοῦ· νίτρου ἀφροῦ· φακούσιον γὰρ καλεῖται τὸ νίτρον· ὁ Πολυείδης.

22. Ναμασιπηγὸς ἁλός· ἐξ ὕδατος πεπηγότος ἁλὸς ἄχνης· οὕτω Πολυείδης.

23. Ὄπισμα· ὀποβάλσαμον· Πολύδωρος γὰρ Ζακορύτιον λέγει.

26. Ἀλλὰ διὰ στομάτων· αἱ γὰρ μέλισσαι διὰ στομάτων ἐργάζονται τὸ μέλι.

Αἱ ἑρμηνεῖαι αὗται οὐδεμίαν ἀμφιβολίαν ἔχουσι διὰ τὸ τοῦ συγγραφέως Ἀγλαΐου εἶναι· διὰ δὲ τὸ σαφὲς καὶ ἡ συσταθμία τῆς δυνάμεως ἐγράφθη· χαλκοῦ ἄνθους — ε', σμύρνης — ε', πεπέρεως — δ', κρόκου <β', καστορίου <β', ἀλέκτορος [χολῆς] <α', ὀμφακίου <α', νάρδου Ἰνδικῆς — α'β'', αἱματίτου λίθου — β', νίτρου — β', ἁλὸς ἄχνης <λδ', ὀποβαλσάμου <θ', μέλιτος Ἀττικοῦ κοτύλη.

In Bactæ * solo, verum oribus.
Lævia autem omnia simul trita commisce liquidis,
Diligenterque repone in vas argenteum.

11. Arbor piper vocata similis est vitici in Græcia inveniundæ, cum alioquin, tum ratione corymborum fructus. Crescit autem in locis quibusdam hominibus fere inaccessis, quæ simiarum multitudo incolere fertur in montium recessibus; quas cum multi faciunt Indi, quia nempe piper colligunt, leones ab iis telorum ope defendunt; eas enim adoritur leo ægrotus medelæ causa, senescens vero cibi. Quæ autem fiunt circa has arbores hæc sunt: Indi ad inferiores arbores aggressi, decerptis fructibus, areas struunt parvas et piper circa eas comportant, quasi abjicientes, tamquam rem vilem quam nihili faciunt homines. Simiæ autem supra e locis inaccessis hæc conspicati, simul ac nox ingruit, Indorum opus imitantur et dereptos arborum cirrhos abjiciunt, ad areas comportantes. Indi autem simul cum diluculo acervos auferunt aromatis nullo labore, sed desides ac dormientes.

15. Falso nomine nuncupata, i. e. amara bilis; talis enim cum sit, dulcis vocatur.

16. Quî autem, sive Alector in matrimonium locavit qui ex ancilla, i. e. serva, progenitus erat Megapenthi Menelai filio; dicit enim Homerus:

ex Sparta oriunda dolo cum Alectore concubuit.

10. A sue interfecti: hicce autem Adonis est. Genitricem, sive matrem; vocabatur autem hæc Myrrha.

12. Gallaïcis: circa Gangem Indiæ fluvium crescit.

17. Aloïon, omphacium: ita vocatur apud Polyidem medicum in medicaminum multiplici nomenclatura.

19 Jarietes: lapis hæmatitis; Callimachus enim sanguinem vocat *ear* (ver), Nicander vero *eiar*.

20. Scobs phacusiacæ: spuma nitri: phacusium enim vocatur nitrum: Polyides.

22. In fluctibus concrescentis: quæ in aqua concrevit salis lanugo: ita Polyides.

23. Succus: opobalsamum; Polydorus enim Zacorytium vocat.

26. Verum oribus: apes enim oribus mel fabricantur.

Hæ interpretationes nulli dubitationi ansam dare possunt, quippe ab ipso Aglaia medicamenti auctore profectæ; perspicuitatis autem gratia etiam proportio ponderum medicaminis addita est: floris æris ob. V, myrrhæ ob. V, piperis ob. IV, croci dr. II, castorii dr. II, [bilis] galli gallinacei dr. I, omphacii dr. I, nardi Indicæ ob. IS, lapidis hæmatitidis ob. II, nitri ob. II, lanuginis salis dr. XXXII, opobalsami dr. IX, mellis Attici hemina.

ΜΝΗΣΙΘΕΟΥ ΤΟΥ ΑΘΗΝΑΙΟΥ

ΠΕΡΙ ΟΙΝΟΥ.

Τὸν οἶνον τοὺς θεοὺς
Θνητοῖς καταδεῖξαι, τοῖς μὲν ὀρθῶς χρωμένοις
Ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν·
Τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
Ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν·

MNESITHEI ATHENIENSIS

DE VINO.

Dono Deûm
Obvenit vinum nobis, ingens his bonum
Qui recte utuntur, aliis pestis pessima;
Alimentum namque præstat recte utentibus,
Additque vires pariter animo et corpori;

Εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
Καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
Καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ' ἔχει,
Ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
Τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
Εὐθυμίαν· ἐὰν δ' ὑπερβάλῃς, ὕβριν·
Ἐὰν δ' ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ·
Ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.
Διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ
Ἰατρόν· ἡ δὲ Πυθία
Εἴρηκέ τισι Διόνυσον ὑγιάτην καλεῖν.

(Athen. II, 36 a. Conf. Eustath. p. 1624, 34.)

Sed et ad medicinam maximos usus habet,
Miscetur quippe poculentis remediis,
Opemque fert vulneribus præsentissimam.
Quotidianis hominum autem in convictibus
His qui bene temperatum nec nimium bibunt
Dat hilaritatem; ulterius insolentiam;
Si par aquæ bibatur, etiam insaniam;
Si purum, siderationem corporum.
Merito propterea Liber medici nomine
Passim indigitatur, atque eundem Pythia
Jussit vocari sispitem.

ΣΕΡΒΙΛΙΟΙ ΔΑΜΟΚΡΑΤΟΥΣ

ΤΑ ΛΕΙΨΑΝΑ.

SERVILII DAMOCRATIS

QUÆ EXSTANT.

ΕΚ ΤΟΥ ΠΥΘΙΚΟΥ.

E PYTHICO.

Ὀδοντοτρίμμασιν δὲ τούτοις χρώμενος,
Λευκοὺς τηρήσεις τοὺς ὀδόντας κἀσινεῖς,
Τὰ πλαδαρά τ' οὖλα [καὶ] καταστελεῖς ἅμα,
Ἀρεῖς δὲ καὶ τὰς τῶν στομάτων δυσωδίας.
Ποιῶν τὸ μὲν ἄκρως λευκὸν οὕτω σκεύασαι·
Κέρατος ἐλαφείου τετράκις κεκαυμένου
Λίτρας [τε] τέσσαρας, λίτραν ἁλὸς μίαν,
Ἀμμωνιακοῦ ξηροῦ τε καὶ μὴ τοῦ πικροῦ,
Χόνδρου τε λίτραν μίαν, μαστίχης Χίας λίτραν,
Κόστου λίτρας τὸ τρίτον ἢ [καὶ] πλέον βραχύ,
Σχοίνου λευκῆς ταὐτὸ, καὶ λευκοῦ πεπέρεως
Οὐγγίαν μίαν, φύλλου μαλαβάθρ' οὐγγίας δύο.
Κόψας ἐν ὅλμῳ πάντα καὶ σήσας ἅμα,
Χρῆσθαι κελεύσεις, ὡς φράσω μετ' οὐ πολύ.
Εἰ δὲ ἐθελήσεις αὐτὸ σκευάσαι ποτὲ
Πρὸς φλεγμονὴν οὖλων καὶ ἔχοντα τραύματα
Σαρκῶν ἐπιφύσεις τετυλωμένας, σχιστῆς
Προσέμβαλε στυπτηρίας λίτραν μίαν.

Si dentifriciis voles uti bonis,
Quæ candidos custodiant, atque integros
Dentes conservent oris et graveolentiam
Laxasque gingivas sedent et comprimant,
Album hoc parabis optimum sic pharmacum:
Cervi cape cornu sic quater usti quam optime
Quatuor pondo libras, salis solam libram,
Ammoniaci sicci, nec amari hinc amplius,
Alicæque, mastiches Chiæ solam libram,
Costi quadrantem aut paululum quid amplius,
Albique junci tantum, et piperis candidi
Unam unciam, folii malabathri uncias duas.
Contusa, cribrata omnia hæc mortario
Utenda præbebis modo quem dixero.
Quod si velis parare quando ad phlegmonas,
Et utile gingivis cruentis, sauciis
Carnemque callosam simul promentibus
Alun inis conjungito his scissi libram.

ΑΛΛΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΟΔΟΝΤΟΤΡΙΜΜΑ.

ALIUD DAMOCRATIS DENTIFRICIUM.

Τόδε [δὴ] οὕτω μᾶλλον γενέσθαι δυνάμενον
Μετ' εὐχερείας καὶ τὸ συμφέρον πολὺ
Ἔχον μετά τινος ἡδονῆς τῶν χρωμένων.
Χλωρὰν ἐπὶ πολὺ τὴν σιδηρῖτιν πόαν
Εἰς λοπάδα καινὴν εὐμεγέθη πολλὴν βαλὼν,
Κριθῆς παράμισγε τὸ μέτριον τῆς προσφάτου,
Καταθεὶς τ' ἐπ' αὐτῇ τῆς πόας δεσμίδιον,
Ἅλας περίπασσε, εἶτα τῆς πόας πάλιν,
Εἶτα πάλιν κριθὴν, εἶτα τοῦτο πολλάκις
Ποιῶν ἀποπλήρου τὸ πᾶν τῆς λωπάδος.
Ἄνωθεν δ' ἱκανὸν τῆς πόας τιθεὶς πάλιν,
Εἰς ἵπνον ἔχοντα θερμασίαν ἢ κλιβάνῳ
Θεῖναι κέλευσον νύχθ' ὅλην ἵν' ἐκφρυγῇ,
Μᾶλλον δ' ἵν' ἐκκαῇ καὶ δυνηθῇ ῥᾳδίως

Verum magis parabile hoc fortasse erit,
Et promptius factum minus nec commodum,
Admixta et hoc quadam simul dulcedine.
Multum sideritin viridem capito herbulam,
Magnam in novam quam tu patinam mox inditam
Miscebis hordeo recenti atque modico
Sic, hordeo ut posito sequatur fasciculus
Herbæ, sal hinc, herba atque iterum mox hordeum,
Fiantque tamdiu vicissim hæc omnia,
Donec patinæ omnem expleris amplitudinem,
Ut mox supernum rursus herba habeat locum.
Furnoque mox calente aut clibano indita
Torrenda per noctem sines sive potius
Urenda, quo teri queant ita promptius

Λεῖον γενέσθαι καὶ διελθεῖν κοσκίνῳ.
Εὐωδίας δέ [τε] χάριν πρόσβαλε βραχὺ
Λευκοῦ πεπέρρεως καὶ λιβάνου μὴ πολύ,
Σχοίνου δὲ πλεῖον καὶ κυπείρου τῆς καλῆς.
Ἀφαιρῶν ταῦτα πάντα καταμίσγεις μόνον
Χίας πολὺ πλέον μαστίχης ξηρᾶς πάνυ.
Διδόναι χρὴ τοῖς θέλουσιν εἰς [τὴν] ἑσπέραν·
Ὄρθρου πάλιν δὲ τοῖς καθαρίοις ἀνδράσιν.
Ἐπιδιακλύζεσθαι μετὰ τὰ φάρμακα κράμα·
Πρόσταττε, χρῆσθαι καὶ μάλιστ' εἰς ἑσπέραν
Ὄρθρου δὲ δι' ὀξυμέλιτος εὖ κεκραμένου,
Μάλιστα πρὸς τὰς τῶν στομάτων δυσωδίας

(Gal. sec. loc. V, P. II, p. 236.)

Cribroque mox, sed arctiore hinc excuti.
Odoris addes gratia his parum tamen
Albi piperis, thurisque mox item parum,
Hinc junci odori plus, cyperique optimæ.
At omnibus mixtis probe et jam repositis,
Mastiches plus aridæ Chiæ conjunxeris.
Dabis sed hinc in vesperam volentibus,
Maneque rursus maxime puris viris.
Sed colluant a medicamento mox bromium
Lymphis sociatum, et maxime hoc in vesperam,
Sed mane acetum mulsum aquosum præstitrit
Oris levandis turpibus fœtoribus.

ΕΚ ΤΟΥ ΦΙΛΙΑΤΡΟΥ.

Η ΔΙΑ ΚΩΔΥΩΝ.

Μήκωνος, ἣν λέγουσιν οἱ γεηπόνοι
Μήκωνα ἀγρίαν· οὐ γάρ πω σπείρεται·
Κεφαλὰς ἔτι χλωρὰς, ἃς λέγομεν καὶ κωδύας,
Τὸ σπέρμ' ἐχούσας κιρρὸν, οὐδέ πω μέλαν,
Τρὶς τεσσαράκοντα μετρίας τοῖς μεγέθεσι
Βάλ' εἰς χύτραν καινήν τε καὶ πλατύστομον,
Καὶ περιχέας τρεῖς ὕδατος ὀμβρίου μέτρῳ
Ξέστας ἀπόβρεξον νύκτα χἡμέραν μίαν,
Εἶτ' αὖ μίξας ἐπιπλέον οὐ λαβρῷ πυρὶ,
Ἀπόθλιβ' ἀπ' αὐτῶν ἅπαν ὕδωρ εἰς τὴν χύτραν,
Καὶ προσβαλὼν τρεῖς μέλιτος Ἀττικοῦ λίτρας,
Πάλιν ἕψε κουφοτέρᾳ καὶ μετρίῳ φλογὶ,
Καὶ ἕψ' ἕως σχῇ, μέλιτος οὐχ ὑγροῦ πάχος.
Ψύξας δ' ἀποθήσεις εἰς ἀγγεῖον ὑελοῦν.
Ἡμεῖς μὲν οὕτως· ὁ Θεμίσων δ' ὅτ' ἤρξατο
Χρῆσθαι, προσέβαλλε σμύρναν, ἀκακίαν, κρόκον,
Ὑποκιστίδος χυλόν τε· νῦν δ' οὐ βάλλεται·
Ἁπλουστέρα γὰρ οὖσα καὶ τὸ συμφέρον
Ἔχει μᾶλλον πολὺ, καὶ προσηνής ἐστ' ἄγαν.
Δίδου δὲ πλῆθος μικροτάτου μύστρου ποτὲ
Εἰς νύκτα τοῦτο, ποτὲ δ' ἔλαττον ἡμέρας,
Ἐν τῷ στόματι καὶ διακρατοῦντ' ὀλίγῳ χρόνῳ
Κέλευε τήκειν καὶ καταπίνειν ἠρέμα.
Εἰ δ' αὐτὸ βούλει κοιλίας ἐφεκτικὸν
Τῶν ῥευμάτων τε τοῦ στομάχου καὶ πνεύμονος,
Αἱμορῥαγιῶν τε τῶν ἄνω διαφράγματος
Ποιεῖν, Παταρικῆς ἢ τὸ κρεῖττον Ποντικῆς
Ῥοὸς καταμίξεις χυλὸν ὡς δραχμὰς δύο,
Ταὐτὸν δ' ἀκακίας τῆς καλῆς καὶ προσφάτου.
Μέλλων δ' ἀφαιρεῖν τοῦ πυρὸς τὸ φάρμακον,
Γλυκεῖ διαχέας ταῦτα [τὰ] δύο μίγματα,
Παράχει κατὰ μικρὸν τοῖς ζέουσι τῆς χύτρας·
Συνεκζέσας ἀποτίθου ὑάλῳ ψυγέν.

(Gal sec. loc. VII, P. II, p. 261.)

E MEDICINÆ STUDIOSO.

MEDICAMENTUM E PAPAVERIS CAPITIBUS.

Papaveris, quod nominant ipsi agricolæ
Agreste, nam spontaneum est neque seritur,
Capita virentia et recentia integra,
Semen fulvum, nondum nigrum gerentia,
Centena bisque dena magnitudinis
Mediocris, in novam ollulam ore amplo indito;
Infunde tres pluvia de aqua sextarios;
Macerato in his totam diem noctem simul;
Dein coquito lento igne ac diutiuscule, et
Omnem liquorem expressum in ollulam excipe,
Et mellis Attici libras tres addito;
Coquito dein rursus leniorem ad flammulam,
Dum mellis haud fiat liquidi bona compages.
Mox frigefacta in vitreum vas condito.
Sic nos quidem. At Themison prior qui prodidit
Usum, addebat myrrham, acaciam et rubrum crocum, et
Hypocistidis succum; ast ea obsoleta jam;
Simplex enim parata commodissima est,
Jucunda valde, lenis atque viribus.
Ex hac datur mystri minuti quantitas
Aliquando sub noctem, verum ad diem minus,
Ut hanc in ore detineant ita brevi
Jussis liquentem, sensim ita ut post devorent.
Quodsi voles alvum morandi gratia, et
Sistatur ut pulmonis et stomachi fluor,
Eruptioque sanguinis septum supra,
Facere, Patariсæ aut tu potius hinc Ponticæ
Addes rhois succi simul drachmas duas,
Tantumdem et acaciæ non veteris, sed bonæ.
Auferre jam volens ab igne pharmacum,
Vino diluta dulci ambo hæc confundito;
Paulatim adhuc in ollula ferventibus
Indito, quo ferveant simul; mox vasculo
Refrigerata indantur inde vitreo.

ΕΚ ΤΟΥ ΚΑΙΝΙΚΟΥ.

(ΠΕΡΙ ΙΒΗΡΙΔΟΣ ΒΟΤΑΝΗΣ).

Φύεται δὲ πολλὴ πανταχοῦ, μάλιστα δὲ
Παρὰ τοῖς παλαιοῖς μνήμασιν τοίχοισί τε,
Ἢ ταῖς ὁδοῖσι ταῖς πάλαι τετριμμέναις,
Παρ' αἷς γεωργὸς τὰ λήϊα οὔ ποτ' ἤροσεν·
Ἀεὶ δὲ θάλλει, φύλλ' ἔχουσα καρδάμου,
Ἔαρος μὲν εὐθαλῆ τε καὶ μείζω πολύ·
Καύλῳ δὲ αὐτῆς ὄντι μῆκος πήχεως,
Μικρῷ τ' ἔλαττον καὶ πάλιν μικρῷ πλέον,
Θέρους περίκειται λεπτὰ φύλλα, μέχρι περ ἂν,
Κρύους γενομένου, φρυγανώδη τἆλλα μὲν
Τὰ φύλλα ἀποβάλλει τε καὶ μαραίνεται,
Πρὸς τῇ δὲ βίζῃ προσπεφύκασίν τινα.
Φέρει δ' ὁ καυλὸς ἐν θέρει λεπτὸν πάνυ
Πολύχροον ἄνθος, τῇ χρόᾳ γαλάκτινον,
Εἶτ' ἐπακολουθεῖ παντελῶς τούτῳ βραχὺ
Σπέρμα τι, ἀκριβῶς [ὡς] αὐτὸ μηδ' ὁρᾶν τινα.
Ἡ βίζα δὴ καὶ ὀσμὴν δριμυτάτην ἔχει,
Μάλιστα πάντων καρδάμῳ προσεμφερῆ.
Ταύτην ὀρύξας καὶ λαβὼν πλῆθος πολύ·
Θέρους μάλιστα δ' ἐστὶ πρακτικωτάτη
Καὶ πρόσφατος· ξηρὰ γὰρ ἀδρανὴς τυγχάνει·
Κόψας ἐπιμελῶς· ἔστι γὰρ καὶ δύσκοπος·
Ἀξουγγίῳ λίπανον ὀλίγῳ παντελῶς,
Εἶτα ἐπιθεὶς κοτύλῃ τε καὶ παντὶ σκέλει,
Δήσας τ' ἄφες ὥρας μὴ μένειν ἐλάττονας,
Γοναιξὶ μὲν δύ', ἀνδράσιν δὲ τεττάρων·
Εἶτ' εἰς βαλανεῖον ἐσάγων αὐτοὺς, μηθενὶ
Μήτε προαλείψας, μήτε χρίσας σμήγματι,
Σμικρᾶς δὲ νοτίδος γενομένης, εἰς τὴν μακρὰν
Καθεὶς κράτησον· ἐπιφέρει γὰρ πολλάκις
Δηγμὸν φέροντ' αἴσθησιν ἔνθερμόν τινα·
Μικρὸν δ' ἀποβρέξας αὐτοὺς ἔξω ἔξαγε·
Κἂν ὦσι πολλῶν χερσὶν εἰσκεκομισμένοι,
Ἰδίοις ἕκαστος ἐξελεύσεται ποσίν.
Μίξας δ' ἐλαίῳ δαψιλεῖ βραχὺν πάνυ
Οἶνον ἀνάκοπτε καὶ συνάλειφ' αὐτοὺς ὅλους,
Ἁράς τ' ὀθονίοις ἱκμάδ' ἅπασαν καὶ λίπος,
Σκέπασον τὸ κῶλον κουφοτάτοις ἐριδίοις,
Ἄλλα τε κέλευε πάντα πράττειν ὅσα θέλει
Ἐν τοῖς συνήθεσιν ὄντα καὶ τοῖς ἡδέσιν·
Τὸ γὰρ βοήθημ' αὐτοτελὲς ὂν τυγχάνει,
Οὐ χρῄζον ἄλλου συμβάλλεσθ' αὐτῷ τινος.
Κἂν μὲν δίχα πόνου διαμένωσιν, ὃ γίνεται
Τὰ πολλὰ, χαίρων προσκύνει τὸ ῥιζίον.
Ἂν δὲ καταλειφθῇ τοῦ πάθους ἴχνος [γ'] ἔτι,
Ἅπαν ἐπαλείψεις αὐτὸ χρίσει δευτέρᾳ,
Μέσας διαλιπὼν ἡμέρας ὡς εἴκοσιν.

(Gal. sec. loc. X, P. II, p. 310.)

E CLINICO.

(DE PLANTA IBERIDE.)

Herba hæc ubique multaque frequens nascitur
Monumenta juxta antiqua, murosque veteres,
Tritasque quondam publice pedibus vias,
Quas juxta aratrum duxit haud quis agricola.
Semper virescens frondibus nasturtii
Florentibus, vere attamen majoribus,
Caulem cubitalis longitudinis gerit,
Paulo minorem aut rursus ampliorem; ad hunc
Æstate pendent folia, donec multa hyems
Sarmentitiam deducat hæc ad imaginem et
Dejecta et exsiccata depereant gelu,
Adnata radici cernes tamen aliqua.
Æstate florem fert colore lacteo
Multum tenuem variumque valde cauliculus,
Ad quem sequitur semen penitus sic exiguum,
Visum fere ut fallens oculos quoque effugiat.
Odorem habet radix at inde acerrimum,
Vero similem quam maxime nasturtio.
Hanc erutam larga satis cape copia
Æstate, nam tunc optima et fortissima est
Adhuc recens, siccata nam fit debilior;
Tusam hinc probe, nam difficulter tunditur,
Pauca subactamque excipies axungia,
Crurique toti et maxime coxendici
Adhibebis et ligabis et sines duas
Horas mulieribus, viris sed quattuor;
Hinc balneo inductos, nec ullo ex unguine
Nec smegmate ullo pinguiore collines,
Sudore sed modico exiliente, in solium
Merges; manere coge, quoniam sæpius
Morsum caloris quempiam ac sensum afferat;
Verum hinc rigatos leniter producito;
Illati enim quamvis manibus sint plurimum,
Exibit attamen suis pedibus valens.
Miscebis hinc vinum modicum multum ad oleum,
Et concuties et illines totos eo;
Ac mox madore terso et pinguitudine,
Totum teges tu crus lanis levissimis,
Jubens obire assueta vitæ munia
Quæcunque vult et non gravatim suscipit.
Hoc auxilium certum atque constans integre est
Et nullo alio adjiciendo ei simul indigum.
Expers doloris et ubi manserint, fere
Quod accidit, radiculam lætus cole.
Quodsi tamen inde affectionis vestigium
Quoddam supersit, iterum totum hoc illines,
Diebus ut multum præteritis bis decem.

ΕΞ ΑΔΗΛΩΝ ΒΙΒΛΙΩΝ.

ΤΑ ΥΠΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΜΑΛΑΓΜΑΤΑ ΓΕΓΡΑΜΜΕΝΑ ΠΡΟΣ ΗΠΑΡ ΚΑΙ ΥΠΟΧΟΝΔΡΙΟΝ· ΤΙΝΑ ΔΕ ΑΥΤΩΝ ΚΑΙ ΠΡΟΣ ΟΛΗΝ ΤΗΝ ΓΑΣΤΕΡΑ ΚΑΙ ΤΟΝ ΣΠΛΗΝΑ.

Ὑποχονδρίοις δὲ τοῖς πεπονθόσιν θέλων
Διὰ στομάχου κάκωσιν, ἢ τῆς κοιλίας,
Τῶν ἐντέρων τε καὶ κώλου τοῦ θ' ἥπατος,
Ἄλλου θ' ὁμοίως κυρίου σπλάγχνου τινὸς,
Μάλαγμ' ἐπιρίπτειν, τοῦτο, πρῶτον σκευάσας
Ἔμπροσθεν αὐτό· προσφάτως γὰρ γενόμενον
Ἔλαττον ἔσται τοῖς νοσοῦσι χρήσιμον.
Ἔστιν δὲ κηροῦ Ποντικοῦ λίτραι δύο·
Ἀμμωνιακοῦ θυμιάματος λίτρα μία,
Τερμινθίνης τε τῆς πεφρυγμένης λίτρα,
Καὶ τῆς πιτυΐνης τῆς κεκαυμένης λίτρα,
Λίτρας δὲ τὸ τρίτον καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπείρου ταὐτὸν [καὶ] σμύρνης ἴσον,
Ἶσον τε ἑνὶ τούτων ἴρεως λευκῆς σταθμῷ
Κεκαθαρμένης τε Κελτικῆς οὐγγίαι δύο,
Κρόκου δὲ οὐγγίαν μίαν καὶ ἥμισυ,
[Καὶ] ἓξ δὲ μελιλώτου πρὸς αὖ γε ταῖς δύο·
Τὸ δ' Ἀττικὸν μελίλωτον αἱρετώτερον·
Κυπρίνου δ' ἐλαίου προσφάτου λίτραι δύο.
Κυπρίνον μὲν οὖν καὶ τἆλλα τηκτὰ μίγματα
Ἕψε φλογὶ τῇ κούφῃ [καὶ] εἶθ' οὕτω ξύσον.
Τὰ δὲ λοιπὰ κόψας σῆσον, εἶτ' οἴνῳ κάλῳ
Φύρασον, εἶτα νύκτα χἠμέραν μίαν
Ἄφες τὸν οἶνον ἀναπιεῖν τὰ μίγματα,
Χεῖράς τ' ἀλείψας τῷ κυπρίνῳ, τὰ φάρμακα
Ἅπαντα μίξας ἐν θυείᾳ πλατυτέρᾳ,
Οὕτως ἀποτίθου, δέρμασι μαλακοῖς σκέπε.

ΑΛΛΟ ΜΑΛΑΓΜΑ ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς ταὐτὰ ποιοῦν ἕτερον· ἂν χρόνον λάβῃ
Τὰ πάθη φόβους ἔχοντα τοὺς καχεξίας,
Τοῦτ' ὠφελεῖ τε μᾶλλον, ὅσα μὴ πνεύμασι
Τὰ σπλάγχνα βλάπτει φλεγμοναῖς μακρωτέραις·
Πυκνῶς γὰρ ὀξύνοντα μετὰ πόνων σφοδρῶν
Καὶ σκληριῶν καὶ σκίῤῥων γε δυσλύτους φόβους·
Λύει δὲ αὐτῶν τὰς κατασκευὰς ταχύ.
Σκεύαζε δ' οὕτω· τῆς καλῆς τερμινθίνης
Λίτρας δύ' ἥμισυ, Ποντικοῦ κηροῦ ἴσον,
Κεκαθαρμένης δὲ τήλεως λίτραν μίαν,
Νίτρου τε ταὐτὸ καὶ πάνακος λίτραν μίαν,
Πάλιν (τ') ἀννήσου σπέρματος λίτραν μίαν,
Μόσχου τε λίπους κεκαθαρμένου λίτραν μίαν,
Καὶ ταὐτὸ λευκῆς ἴρεως κεκομμένης,
Ὄξους δὲ κυάθους δύο [καὶ] ἥμισυ βραχὺ,
Μέλιτος δὲ λίτρας δύ' Ἀττικοῦ τοῦ προσφάτου,

EX INCERTIS LIBRIS.

MALAGMATA A DAMOCRATE CONSCRIPTA AD HEPAR ET PRÆCORDIA; QUÆDAM EX EIS ETIAM AD TOTUM VENTREM ET SPLENEM.

Affectus si quis per stomachum præcordia,
Et per jecur, intestina per, dein per colum,
Per ventriculum aut viscus aliud quod maximi
Momenti ad corporis nostri est bonum, volet
Malagmate contegere bono et percommodo,
Primum paratum habebit hoc longe antea;
Recens enim est ægris minus firmum ac valens;
Ceræ capit quod Ponticæ libras duas,
Ammoniaci thymiamatis solam libram,
Terebinthinæ frictæ pariter solam libram,
Ustæque resinæ piceæ simul libram,
Et post trientem cardamomi seminis,
Siccæ cyperi tantumdem, item myrrhæ bonæ,
Pondusque par uni horumque iris candidæ,
Sextantem et inde Celticæ spicæ integræ,
Hinc unciam unam et dimidiam croci boni,
Et sex meliloti, item duas, bessem puto;
Verum melilotum præstiterit hic Atticum;
Recentis et cyprini libras olei duas.
Oleum cyprinum tu cum reliquis liquoribus
Et decoque lenta flammula et deradito.
Dein tusa cribrataque-reliqua vino bono
Rigata per noctem integram et totam diem,
Vinum omne donec combibant, seponito,
Unctisque post cyprino manibus hæc pharmaca
Mortario amplo sat simul committito,
Mollique pelle tecta simul reponito.

ALIUD MALAGMA EJUSDEM.

Aliud valens, ætas itidem si accesserit,
Verum hoc mage affectus, queis est habitus timor
Ne vitietur, quicunque non cum flatibus
Et phlegmonis lædunt diutioribus
Juvat; nam sæpe cum magnis doloribus
Quando augetur duritiei et scirrhi timor,
Solvit, soluta mole earum celeriter.
Paratur hoc modo ut bonæ terebinthinæ
Libras duas semis et ceræ Ponticæ
Totidem, fœni Græci unam indes puri libram,
Et de nitro atque de panace unicam libram,
Rursusque anisi seminis unicam libram;
Pinguedinis puræ vituli simul libram;
Pondusque par contusæ et albidæ iridis;
Parum de aceto, tres cyathos sine dimidio;
Mellis duas libras recentis Attici;

Ἀμμωνιακοῦ θυμιάματος λίτραν μίαν
Τινὲς κατέμιξαν, ἄλλοι δ' [αὖ] λίτρας δύο.
Τὰ ξηρὰ σήσας πάντα λεπτῷ κοσκίνῳ,
Ἔψησον ὡς κατάπλασμα, προσβαλὼν μέλι,
Ὄξος τε μὴ πᾶν, καὶ ποιήσας εὐαφὲς,
Πρόσβαλε τῷ θερμῷ, παραχέων ὄξος βραχὺ
Τετηγμένῳ κηρῷ τε καὶ λιπάσματι
Τερμινθίνῃ τε, καὶ καλῶς ἐψυγμένα
Ταῖς χερσί τε ἅμα πάνθ' ἑνώσας ἐπιμελῶς
Ἐν μείζονι ἄγγει χρήσαι μὴ παραυτίκα·
Ἀδρανέστερον γάρ ἐστιν ἄρτι γενόμενον.

Ammoniaci thymiamatis solam libram
Quidam addidere, verum alii libras duas.
Tunc sicca cribro excussaque tenuissimo
Cataplasmatis modo coque, et mel addito,
Nec omne acetum, sed quando molle fuerit,
Addas calenti exiguam aceti stillulam
Ceræ liquatæ infusamque et pinguedini et
Terebinthinæ, atque siccata egregie simul
Omnia manibus exactius committito,
Et vasculo majore derasa excipe,
Usurus haud mox; invalidum est factum recens.

ΑΛΛΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΜΑΛΑΓΜΑ.

Καὶ τοῦτο εὐῶδές τε καὶ τὰς ἥπατος
Ἄῤῥον διαθέσεις τὰς νεφρῶν τε καὶ κόλου,
Τὰς τοῦ στομάχου τε χρονίας τῆς ὑστέρας·
Ἐπίβαλλε δ' αὐτὸ καὶ καχέκταις διὰ νόσους
Μακρὰς γεγονόσιν ὠχροτέροις, ὑδερώδεσι,
Καὶ τὸ βραχὺ μὴ πέττουσιν ἀνορεκτοῦσί τε.
Ἔστιν δ' ἀμώμου Σκυθικοῦ, ξυλοβαλσάμου,
Βδελλίου διαυγοῦς, καρδαμώμου σπέρματος,
Ξηρᾶς κυπείρου καὶ λιβάνου πάντων ἴσα
Τούτων ἀνὰ λίτραν, καὶ κασίας δαφνίτιδος,
Σμύρνης τε χρηστῆς καὶ κρόκου, τούτων πάλιν
Λίτρας ἑκάστου τὸ τρίτον, ἢ σμικρῷ πλέον·
Στάχυος τε νάρδου Συριακῆς δυ' οὐγγίας·
Τερμινθίνης τε τῆς καθαρᾶς λίτρας δύο·
Κηροῦ τε λευκοῦ τοῦ καθαροῦ λίτραν μίαν·
Κυπρίνου τε μύρου προσφάτου [βάλε καὶ] λίτραν
Οἴνου Φαλερίνου τοῦ καλοῦ ξέστην ἕνα. [μίαν·
Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ,
Λίβανον δὲ καὶ βδέλλιον εἰς ὅλμον ἐμβαλὼν,
Σμύρναν τε χρηστὴν καὶ κρόκον λελεασμένον
Θραύων παράχεε κύπρινον διὰ οἴνου βραχὺ,
Εἶτ' ὁλμοκόπει ὡς μέλιτος ἔχειν ὑγροῦ πάχος,
Προσεμβαλών τε τἄλλα λεῖ ἀρώματα,
Οἴνου τε τὸ λοιπὸν παραχέας, ἑνοῦ καλῶς,
Ἄφες τε συμπιεῖν ἡμέραν καὶ νύχθ' ὅλην,
Τέρμινθίνην τε καὶ κύπρινον κηρόν θ' ἅμα
Τήξας, ἔασον ἐπὶ πυρὸς κουφοτάτου,
Καὶ πάντα μίξας χερσὶ τῶν μύρων τινι
Λελιπασμέναις ἔασον, οὕτως ἀποτίθου,
Μετὰ χρόνον αὐτῷ, μὴ παραχρῆμα χρώμενος.
Τὰ πολλὰ μίγνυ ξυσθὲν ἐκ μέρους τινὸς,
Κηρωτάριον γενόμενον εὐαφέστερον.
Σπανίως δὲ χρήσαι καὶ μόνῳ τῷ φαρμάκῳ.

ALIUD DAMOCRATIS MALAGMA.

Odorum et hoc tollensque mox vitia hepatis,
Affectiones renibus, colo et graves,
Colli simul uteri diutiusculas;
Idemque jam corrupto habitu superdatur,
Morboque longo pallidis, hydropicis,
Et qui minus coquunt cibum et fastidiunt.
Habet hoc amomi Scythici, xylobalsami,
Et cardamomi, bdellique lucidi,
Siccæ cyperi, thuris boni omnium parem
Modum libram, post cassiæ daphnitidis,
Myrrhæ bonæ, croci pariter de singulis
Libræ trientem aut amplius quid paululum;
Nardi spicæ post Syriacæ uncias duas;
Terebinthinæ puræ bonæ libras duas;
Albæque ceræ perpolitæ unam libram;
Recentis unguenti cyprini libram unicam;
Vini Falerni hinc optimi sextarium.
Reliqua tunde et cribro tenui concernito;
Thus, bdellium contra in pilam conjicito,
Myrrham bonam crocumque tritum his addito,
Fractisque parum cyprini cum vino infundito;
Dein tundito, ut liquidum mel crassitudine
Æquet, mox his aromata contrita addito,
Et quod superest vinum addito, committito
Totam diem, noctem simul, quo combibant;
Terebinthinam vero, cyprinum, ceram et simul
Liquato, tunc lentissimo igni imponito,
Unctisque post manibus per unguen quodpiam,
Subacta sic committito et reponito.
Nec mox parato uti velis tu pharmaco,
Sed tempore interjecto. Et ut cerotulum
Sit mollius, rasum partim subinde tu
Misceto, solo rarius sed utitor.

ΑΛΛΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΜΑΛΑΓΜΑ.

Πρὸς τὰς διαθέσεις τὰς ἄγαν κεχρονισμένας
Ἕτερον μάλαγμα πρὸς ἃ προεῖπον εὔτονον.
Τοῖς σπληνικοῖς πάντων δὲ μᾶλλον ἁρμόσει,
Κἂν ὦσιν ὠχροὶ καὶ πυρέσσωσιν σφοδρῶς,
Ὕδωρ τ' ἔχωσιν ἐν ὑποχονδρίῳ βραχύ·
Πολὺ γὰρ θεραπεύειν ἀδύνατον μαλάγμασιν.
Σύκων λιπαρῶν ξηρῶν μὲν, ἔτι δὲ προσφάτων
Τὸ σπέρμ' ἀπάρας τὸ πολὺ καὶ τὸν ὀμφαλὸν,
Στῆσον δραχμὰς τρὶς πέντε καὶ ἑτέρας δέκα·
Κηροῦ τε λευκοῦ Ποντικοῦ ταύταις ἴσας·
Μυροβαλάνου τε τῆς λιπαρᾶς λίτραν μίαν·
Νίτρου θαλασσίου δὲ λίτρας ἥμισυ·
Στυπτηρίας τε σχιστῆς δραχμὰς δώδεκα,
Μιᾶς τε δραχμῆς ἥμισυ τριώβολον·
Βδέλλης ὀνυχός τε τὰς ἴσας στυπτηρίᾳ·
Ἴσον τε νίτρου τ' ἄνθους Ἀσσίου λίθου·
Ἀμμωνιακοῦ τε ταὐτὸ θυμιάματος·
Καὶ τήλεως δὲ σπέρματος καὶ καρδάμου
Καὶ καρδαμώμου καὶ καλῆς ὀρειγάνου
Ξέστου τέταρτον ἐξ ἑκάστου μίγματος·
Ἐρεγμοῦ τε τὸ μέτριον [καὶ] ἰρίνου μύρου.
Τὸ μάλαγμα δὲ σκεύαζε τοῦτον τὸν τρόπον·
Βδέλλιον οἴνῳ διάβροχον ποιῶν γλυκεῖ,
Μάλασσ' ἐν ὅλμῳ, γενομένῳ λείῳ δ' ἄγαν
Πρόσβαλλε σῦκα καὶ κόπτε πάλιν [αὖ] ἅμα·
Οἶνον παραχεών, λεῖα ποίησον καλῶς·
Προσεμπάσας δὲ τἆλλα πάντα μίγματα,
Ἐν ὕδατι θερμῷ κηρὸν ἐμβρέξας καλῶς,
Μάλασσε χερσὶ, καὶ πλατύνας πρόσβαλε
Τοῖς ὁλμοκοπουμένοις, ὑπέρῳ τε χρώμενος
Ξυλίνῳ, λιπαίνων ταῦτα συνεχῶς τῷ μύρῳ.
Καιρὸς δὲ πάντων χρήσεως μαλαγμάτων,
Ὅσα κοιλίᾳ, στομάχῳ [τε] καὶ τοῖς ἐντέροις
Ἐπιβάλλεται κάλλιστος ὁ μέχρι τῆς τροφῆς,
Ἧς ἔλαβον, ἐν τῇ γαστρὶ μὴ παρακειμένης.

(Sec. loc. VIII, P. II, p. 289 et 290.)

ALIUD DAMOCRATIS MALAGMA.

Aliud malagma ad jam relatas commodum
Affectiones, si fuerint diutinæ;
Confert lienosis, vel omnium optime,
Si palleant ac febrem patiantur gravem,
Aquamque habeant præcordiis si pauculam;
Multam nequeunt curare enim malagmata.
Ficus cape pingues sicciores, sed novas,
Et semine ejecto plurimo, et umbiliculo
Appende drachmas quinquies tres ac decem,
Albæque ceræ Ponticæ parem modum,
Myrobalani pinguis libram post integram,
Nitri marini sed libram modo dimidiam,
Aluminis scissi duas supra decem
Drachmas superque dimidiam triobolon;
Et mox onychis, quod sic vocatur, bdellii
Addes parem tu aluminis dictum modum,
Nitro parem florem lapidis sed Assii,
Ammoniaci tantumque thymiamatis,
Et seminis fœni Græci et nasturtii,
Et cardamomi, quam optimique origani,
De singulis sextarii quartam modo;
Lomentique, irini unguinis quod sufficit.
Paratur at tandem malagma in hunc modum:
Vino rigatum dulci bdellium tundito
Pila, levissimoque facto adjicito
Ficus simul, rursusque rite tundito,
Quo trita vini stillulis fiant probe;
Mixtura mox addatur inde inspersilis;
At post rigatam fervida ceram ex aqua
Mollem manibus, factamque latam adjicito,
Et tusa mox ligni radio compingito,
Guttis et unguinis frequens madefacito.
Usus malagmatum omnium quæ ventriclo
Induntur et stomacho, simul interanei
Est tempus, in quo qui cibus congestus est
Non amplius resident in ventriculi cavo.

ΠΕΡΙ ΛΕΥΚΗΣ ΕΜΠΛΑΣΤΡΟΥ.

Δεῖ δὲ μετὰ τούτων τοὺς φιλιάτρους ἔχειν
Λευκὴν καλὴν ἔμπλαστρον εἰς ἀποσύρματα,
Καὶ τὰ πυρίκαυτα καὶ τὰ χωρὶς αἰτίας
Ἐξεπιπολῆς γινόμενα φανερᾶς ἕλκεα.
Σκευάζεται δ' οὕτως· ψιμυθίου λίτραν·
Λιθαργύρου τε τῆς τρυφερᾶς καὶ μάλιστα νῦν
Λίτραν μίαν τε καὶ μέρος λίτρας τρίτον·
Κηροῦ τε καθαροῦ Ποντικοῦ πέντ' οὐγγίας·
Τερμινθίνης τε οὐγγίαν τῆς καθαρωτάτης·
Λιβάνου δὲ μάννης, ἢ λιβάνου πεντ' οὐγγίας·
Λευκοῦ δ' ἐλαίου τοῦ καλοῦ καὶ προσφάτου

DE ALBO EMPLASTRO.

At cum his habere emplastrum medicis convenit
Album, efficax adversus avulsam cutem,
Ambusta ad ulcera, et per summa corporis
Occasionem citra manifestam edita.
Ita confit; cerussæ libra una sumitur,
Lythargyrique delicatæ postea
Libra una et pars deinde libræ tertia;
Ceræque puræ Ponticæ quinque unciæ;
Terebinthinæ pondo uncia et purissimæ,
Thurisque mannæ vel thuris quinæ unciæ,
Candidi olei boni recentis selibra

Δύ' ἥμισυ λίτρας, καὶ ὕδατος ξέστην μίαν.
Ἔψε δ' ἔλαιον, ψιμύθιον, λιθάργυρον,
Ὕδωρ πυρὶ κούφῳ, τῇ σπάθῃ κινῶν ἀεί.
Ὅταν δὲ πᾶν μὲν ἐκφρυγῇ καλῶς ὕδωρ,
Τὸ δὲ φάρμακον λευκόν τε καὶ λεῖον βλέπῃς,
Μαλακὸν ἀμόλυντον, τότε βάλλεις τερμινθίνην,
Ἔπειτα κηρὸν, εἶτα λίβανον ὕστερον·
Ἆρας τε κίνει τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Ὑποψυγέν τε συμμέτρως τὸ φάρμακον
Εἰς τὴν θυείαν καταχέας ἀναλάμβανε.
Ἐπί τε γυναικῶν ἢ τρυφερῶν τῶν παιδίων,
Ἐπί τε γερόντων ἢ καχεκτούντων νέων
Ταύτῃ κατάμισγε τῆς στυπτηρίας τρίτον [χὺ,
Ἣν προαποδεδώκαμεν ἔμπλαστρον ἔμπροσθεν βρα-
Καὶ χρῶ πρὸς ἅπαντα καὶ νεότρωτα τραύματα.
Κατάμισγε δ' [ἄρ'] αὐτῇ ῥόδινον τετηγμένῃ
Καὶ κηρὸν ὀλίγον, καὶ λιπαρὰν ἕξεις καλὴν,
Οἶνον παραχέας λευκὸν αὐστηρὸν βραχύ.

(Gal. sec. gen. I, P. II, p. 327.)

Binæque libræ; aquæ vero sextarius.
Oleum, cerussa, argenti spuma, aqua coquitur
Leni igne, agitatur sedulo rudicula.
Cum tota pulcre desiccata sic aqua est,
Et leve medicamentum apparet, candidum,
Et molle, nec tingens, terebinthina inditur,
Deinde cera succedet, thus postea.
Ab igne quum depones ollulam, move.
Quum modice erit refrigeratum pharmacum,
Mortario superfundas atque excipe.
In mulieribus vel delicatis puerulis,
In senibus habitu aut pravo juvenibus simul
Huic tertiam partem immisceto aluminis,
Quod prodidimus emplastrum non multum antea,
Ac utitor ad omnia recentia vulnera.
Ipsi vero rhodinon liquefacto immisceas
Paulum atque ceræ, habebis sic leve optimum,
Album vinum parum austerum si affuderis.

Η ΔΙΑ ΔΙΚΤΑΜΝΟΥ.

Τῶν περιβοήτων δ' ἐστὶν ἐμπλάστρων μία,
Μόνη τ' ἔχουσα Κρητικὸν τὸ καλούμενον
Δίκταμνον, ἴᾶται δὲ τὰς τῶν ἑρπετῶν
[Τῶν] ἰοβόλων πληγάς τε καὶ τὰ δήγματα
Πάντων τετραπόδων, κἂν λελυσσήκῃ τινὰ,
Τετυλωμένα θ' ἕλκη, τάς τε τῶν νεύρων φθορὰς,
Μυῶν τε καὶ τῶν ὀστέοις ἐπικειμένων
Χόνδρων, ἐχόντων διὰ βάθους ἤδη φθοράν·
Τά τε περὶ μαστοὺς καὶ τράχηλον καὶ ῥάχιν
Ἕλκη θεραπεύει, κἂν χρόνους πολλοὺς ἔχῃ,
Καὶ πάνθ' ὅσ' εἶπον τὴν καλουμένην ποιεῖν
Αἰγυπτίαν ἔμπλαστρον ἔμπροσθεν βραχύ.
Ταύτην ἀγαθὴν σφόδρ' οὖσαν ἔνιοι καὶ μόνην
Δοκοῦσι πασῶν τῶν καλῶν βελτίονα,
Πολλῶν διὰ πείρας οὐκ ἔχοντες φαρμάκων.
Ἔχει δὲ λιθάργυρον [μὲν] δὶς ἑκατὸν δραχμάς·
Λίτρας δ' ἐλαίου τοῦ παλαιοῦ τέσσαρας·
Τινὲς δὲ [καὶ] κοτύλας φασὶ μᾶλλον τέσσαρας·
Δὶς δ' εἴκοσι πέντε Ποντικοῦ κηροῦ δραχμάς·
Κολοφωνίας δὲ τῆς καλῆς κηροῦ διπλοῦν·
Τινὲς δὲ μᾶλλον ταὐτὸ τῆς τερμινθίνης·
Ἰοῦ δὲ χαλκοῦ καὶ ἀλόης [τῆς] Ἰνδικῆς,
Χαλκοῦ τε κεκαυμένου καὶ διφρυγοῦς καλοῦ
Δραχμὰς ἑκκαίδεκ' ἐξ ἑκάστου μίγματος·
Εἴκοσι δραχμὰς δὲ χαλβάνης καὶ τέσσαρας·
Μάννης λιβάνου τε τὰς ἴσας δὶς δώδεκα·
Ἀμμωνιακοῦ δὶς πέντε καὶ δὶς εἴκοσιν·
Ἑκκαίδεκα δραχμὰς προπόλεως τῆς Ἀττικῆς·
Ἀριστολοχίας τῆς μακρᾶς δὶς δέκα δραχμάς·
Δὶς ἓξ λεπίδος τοῦ Κυπρίου χαλκοῦ δραχμάς·

MEDICAMENTUM E DICTAMNO.

Emplastrum insignibus quod recte ascribitur
Solumque quod recipit dictamnum Creticum
Dictum. Medetur prospere reptilium
Percussibus venenatis ac morsibus
Quadrupedum cunctorum, etsi rabies quædam agat,
Juvat ulcerum callos et nervos perditos,
Et musculos et alto cartilagines
Corpore putrescentes quæ incumbunt ossibus;
Colli, mamillarum, spinæ quoque ulcera
Persanat, et diu si jam duraverint,
Ac omnia simul quæ facere paulo antea
Dixi emplastrum nomine scilicet Ægyptium.
Hoc admodum quum sit bonum, quidam omnibus
Unum bonis reputant usu præstantius,
Haudquaquam nempe experti multa pharmaca.
Lythargyri ducentas continet drachmas,
Olei vetusti pondo quattuor libras;
Magis volunt quattuor alii indere heminas;
Et quinquaginta ceræ drachmas Ponticæ,
Colophoniæ probæque plus cera duplo;
Alii malunt terebinthinæ parem modum;
Æruginis quoque, aloes nec non Indicæ,
Itemque æris combusti et diphrygis boni,
Cujusque sedecim drachmas adjicito;
Quaternas et vigenas drachmas galbani;
Thurisque mannæ porro bis duodecim,
Ammoniaci viginti bisque quinque bis;
Et sedecim jungantur propolis Atticæ;
Aristolochiæ longæ bis drachmæ decem,
Æris Cypri squamæ drachmæ duodecim;

Καὶ γεντιανῆς ξηροτάτης ῥίζης ἴσον·
Τούτοις προσαπόδος πᾶσι δικτάμνου πόας
Ξηρᾶς ἐχούσης ἄνθος ὁλκὰς εἴκοσιν.
Λείαν λιθάργυρον δὲ μετ' ἐλαίου βαλὼν
Εἰς λοπάδα καινὴν κεραμίαν πλατύστομον
Ἕψε πυρὶ κούφῳ καὶ μαλακῷ, κινῶν σπάθῃ,
Ἕως γένηται μέλιτος Ἀττικοῦ πάχος·
Ἰόν τε καὶ τὴν λεπίδα προσβαλὼν, πάλιν
Ἕψει λαβρότερον· εἶτα κιρροῦ γενομένου
Τοῦ φαρμάκου, πρόσβαλε χαλκὸν καὶ διφρυγὲς,
Ποιῶν τ' ἀμόλυντον καὶ πεπηγὸς φάρμακον,
Πρόσβαλλε κηρὸν, τήν τε ῥητίνην ἅμα·
Ὧν συντακέντων, ὅταν ἴδῃς κεχραμένην
Ἔμπλαστρον, αἴρεις τὴν χύτραν ἀπὸ τοῦ πυρός·
Καὶ προσβαλὼν πρόπολίν τε καὶ τὴν χαλβάνην,
Ἀμμωνιακὸν, μάννην τε καὶ ἀλόην, τότε
Ψύξας τὸ πυρῶδες καὶ ζέον τοῦ φαρμάκου,
Ἀριστολοχίαν λειοτάτην προσεμπάσεις,
Καὶ γεντιανὴν, τήν τε δίκταμνον πόαν·
Καὶ προσανακόψας τῇ σπάθῃ τὸ φάρμακον,
Μάλασσε χερσὶ καὶ μαγδαλιὰς ποιῶν, ἔχε
Εἰς ἃς προεῖπον χρώμενος περιστάσεις.

(Sec. gen. V, P. II, p. 385 et 386.)

Et gentianæ radicis siccissimæ
Æquale; cunctis herbæ his dictamni quoque
Siccæ, sed habentis florem, drachmas bis decem.
Lævem lithargyrum at cum oleo demittito
Ollæ recenti, cui patulum os figulus dedit,
Pruna leni coquas, movens rudicula,
Quousque spissitudo mellis Attici
Fiat; ærugine atque æris squama inditis,
Rursus magis coquas, ac postquam pharmacum
Gilvum fuerit, æs misceas et diphryges,
Crassumque reddens pharmacum, ut non polluat,
Ceram et resinam tunc dictis adjicito:
Quibus liquatis, ubi recte coierit,
Emplastrum ab igne tolles, quumque adjecesis
Propolimque, mannamque, aloen, atque galbanum,
Ammoniacumque; tunc postquam refrixerit,
Fervorque ignitus pharmaci subsederit,
Aristolochiam lævigatam plurimum,
Et gentianam dictamnumque inspergito,
Spatha atque medicamentum agitando sedulo
Manibus subigito et magdalias effingito,
Iisque mala ad quæcunque dixi ante utitor.

ΑΙ ΥΠΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΓΕΓΡΑΜΜΕΝΑΙ ΠΟΛΥΧΡΗΣΤΟΙ.

ΤΥΡΙΑ ΑΝΕΠΙΔΕΤΟΣ.

Τούτοις ἀκολούθως βούλομ' ἐμπλάστρων φράσαι
Ἀνεπιδέτων χρήσεις τε καὶ τὰς συνθέσεις.
Ποιοῦσι πρὸς τὰς μὴ μεγάλας διαιρέσεις,
Καὶ πρὸς τὰ μείζω σαρκὸς αὐτῆς τραύματα,
Τά τ' ἐξεπιπολῆς τῶν τετραπόδων δήγματα,
Αἳ καὶ δοθιῆνας διαφοροῦσι προσφάτους·
Στομοῦσι δὲ τοὺς ἔχοντας ἤδη καὶ ὑγρὸν,
Κομιζόμεναί τε τὰς ἐπ' αὐτοῖς ἐσχάρας,
Τάχιστ' ἀπουλώσουσι δίχα χειρουργίας,
Καὶ τῷ μετώπῳ δ' ἐπιτεθεῖσαι ῥεύματα
Ὀφθαλμιώντων ῥᾷστ' ἐφέξουσιν μόναι.
Τούτου δ' ἀμείνω τοῦ γένους πρώτην φράσω
Ἔμπλαστρον εὐπόριστον, εὔχρουν, δραστικὴν,
Καλῶ δὲ Τυρίαν· λαμβάνει γὰρ πορφύρας
Τὸ χρῶμα Τυρίας, ἂν γένηθ' ὃν δεῖ τρόπον.
Σκεύαζε δ' οὕτω· τῆς καλῆς λιθαργύρου
Ἐμβαλλε λίτρας πέντε, καὶ κηροῦ μίαν·
Καὶ πιτυίνης τρεῖς τῆς λιπαρᾶς τῆς ἀξύλου·
Ἰοῦ δὲ χαλκοῦ τοῦ καλοῦ καὶ χαλβάνης,
Χαλκοῦ κεκαυμένου τε καὶ λεπίδος καλῆς
Τέσσαρας ἑκάστου μίγματος βάλλ' οὐγγίας·
Λιπαροῦ δ' ἐλαίου πέντε λίτρας καὶ μίαν.
Ἕψει δὲ τὴν ἔμπλαστρον οὕτως ἐπιμελῶς·

QUÆ SCRIPSIT DAMOCRATES MULTIPLICIS USUS MEDICAMENTA.

TYRIUM LIGAMENTIS NON EGENS.

Post hæc referam emplastrorum adhærescentium
Sine fasciis, quis usus et confectio.
Ad divisiones faciunt non magnas bene,
Et carnis ipsius ampliora vulnera.
Medicantur a quadrupede et morsos corpore
Summo, recentes discutiunt furunculos,
Quibusque jam pus est vapore digerunt;
Item auferendo crustas his celerrime
Cicatricem inducunt opera nulla manus;
In fronte posita fluxus quam promptissime
Lippientium cohibent, sola quamvis ceperis.
Hujus generis præstantius primum efferam
Emplastrum facile inventu, cui color bonus
Atque efficacia, Tyriam nos dicimus,
Tyriam colore referat id quod purpuram,
Si quo decet modo fiat. Sic præpara:
Sit libra injecta quinquies lithargyri
Boni, semel ceræ capiatur; insuper
Ter pityinæ pinguis lignosæ ac neutiquam,
Æruginis præstantis æris, galbani,
Ærisque combusti, pariter squamæ bonæ
Cujusque misceto quaternas uncias;
Pinguis olei sex pondo libras addito.

Βαλὼν μετ' ἐλαίου λειοτάτην λιθάργυρον,
Εἰς κεραμιαίαν μείζω καὶ καινὴν χύτραν,
Ἀνάτριβε χερσὶν, εἶτα κίνει καὶ σπάθῃ,
Ἔψε δ' ἐπὶ λάβρας καὶ διηνεκοῦς φλογός·
Ὅταν δὲ μέλιτος λαμβάνῃ τὴν σύστασιν,
Ἰόν τε καὶ τὴν λεπίδα προσβαλὼν ἄφες
Ἑψεσθ' ἐφ' ἱκανόν· εἶτα χαλκὸν πρόσβαλε·
Πάλιν δ' ἔασον ἐπὶ πολὺν ἕψεσθαι χρόνον,
Ἀπόχεον ὀλίγον τῆς χύτρας τοῦ φαρμάκου,
Ψύξας τ' ἀνάτριψον χερσὶ καὶ τοῖς δακτύλοις,
Εὔχρουν τ' ἰδὼν καὶ σκληρὸν, οὕτως πρόσβαλε
Τὴν πιτυίνην καὶ κηρόν· εἶθ' ἡνωμένων
Πάντων ἐπιμελῶς πάλιν ἀπόσταξον βραχύ·
Κἂν μὲν βλέπῃς εὔχρουν τε καὶ κεκραμένην,
Ἄρον παραχρῆμα τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Καὶ χαλβάνην πρόσβαλλε προμεμαλαγμένην.
Ἂν δ' ᾖ παρὰ πολὺ σκληρότερον τὸ φάρμακον,
Ἔλαιον αὐτῷ πρόσβαλ' εἰς εὐκρασίαν.
Οὕτω κατηθῶν εἶτ' εἰς ἀγγεῖον ἕτερον,
Ψυχρὸν μάλασσε χερσὶ, χοὕτως ἀποτίθου.

At curiose emplastrum coquito in hunc modum :
Lithargyrum mitte ex oleo lævissimam
Fictilem in ollam novam, sed hanc majusculam,
Ubi conteres manibus, movebis ac spatha;
Deinde flamma acri atque continua coquens,
Quum mellis accipit jam spissitudinem,
Ærugo et squama misceantur; incoqui
Permittito satis, dehinc æs adjungito;
Rursus coqui multo relinquens tempore,
Paulum defundens ex olla medicaminis,
Refrigeratum manibus et digitis teras;
Boni coloris atque durum ubi conspicis,
Sic pityinam ceramque reliquis indito;
Deinde cuncte rite unitis paululum,
Stillato rursus et, colorem si bonum
Et temperamentum vides, mox tollito
Ab igne fictilem, et subactum galbanum
Apponito. Si pharmacum sit durius
Multo, resolves oleo, faciens sic bonam
Temperiem. In aliud inde vas transfundito
Frigidum subactum manibus; ita reponito.

Ἄλλην ὑπογράψω τῇ πρὸ ταύτης ὁμογενῆ·
Ποιεῖ δὲ πρὸς ἃ προεῖπον ἔμπροσθεν πάθη.
Πάντων ἀπουλοῖ πρῶτον αὕτη φαρμάκων
Ἕλκη δυσαλθῆ καὶ τυλώδη καὶ χρόνια.
Τὰν τῷ προσώπῳ γινόμεν' ἐξανθήματα
Αὕτη θεραπεύει δίχα τινὸς δηγμοῦ κακοῦ,
Ἕδρας τ' ἐχούσας βαγάδας καὶ σκληρίας
Τὰς κονδυλώδεις καὶ τύλους ἀποβάλλεται.
Σκεύαζε δ' οὕτω· μνᾶν λιθαργύρου καλῆς
Μνᾶ δ' ἐστὶ λίτρα καὶ τρίτον λίτρας μέρος·
Κηροῦ καλοῦ δὲ Ποντικοῦ μνᾶς ἥμισυ·
Ἰοῦ τέταρτον μνᾶς μέρος ξυστοῦ καλοῦ·
Χαμαιλέοντος μέλανος ὄγδοον μέρος.
Ῥίζη (?) δέ ἐστιν ἡ καλὴ ἡ Κρητικὴ
Τὸ πρῶτον, εἶτα Κιλίκιος· παλαιοτάτου (?)
Τ' ἐλαίου μνᾶς ἐπιῤῥεπέστερον βραχύ·
Ἐὰν δὲ μὴ παρῇ, κέχρησο προσφάτῳ.
Ἕψει δὲ, λείαν τὴν λιθάργυρον βαλὼν
Καὶ πᾶν ἔλαιον εἰς χύτραν, κινῶν σπάθῃ.
Ὅταν δὲ συστῇ καὶ γένηται μηλίνη,
Ἰὸν παράπασον, εἶτα κηρὸν πρόσβαλε·
Τήξας δὲ τοῦτον, βαστάσας τ' ἀπὸ τοῦ πυρὸς,
Χαμαιλέοντος [μέλανος] ὀλίγον παράπασον.
Ὅταν δ' ἑνωθῇ πάντα καὶ ψυγῇ ποσῶς,
Κατέρασον εἰς θυείαν, οὕτω τ' ἀποτίθου.

Aliud ejusdem huic generis subjiciam.
Medetur ante quos citavi affectibus,
Nec est quod ulceribus malis diutinis
Calloque pressis applices felicius;
Cicatrices, etiamque ore natas pustulas
Persanat absque rosione, rhagadas,
Ani nodosas durities, callos simul
Demit. Sic præpara : Lithargyri minam
Bonæ, at libra est cum parte tertia mina;
Minæ semis probatæ ceræ Ponticæ, et
Æruginis minæ quadrantem rasilis;
Atri chamaeleontis octavam probi
Partem; radix bona est regione Cretica
Nascens primum, Cilicia deinde; præter hanc
Olei veterrimi plus paulo quam mina;
Quodsi non fuerit, usurpato vel recens;
Lithargyrum tunc lævem itidemque oleum ollula
Totum figlina conditum rudicula
Movens coquito; ubi constiterit, et melinon
Fuerit, adjice æruginem, ceramque tunc,
Qua jam liquente ab igne tollens ollulam,
Chamæleontis paululum conspergito.
Unita quum refrigerataque quod satis,
Transfunde in mortarium, post sic reponito.

ΑΙΓΥΠΤΙΑ.

Αἰγυπτία τηροῦσα χωρὶς φλεγμονῆς
Πᾶσαν διαίρεσιν καὶ πάντα θλάσματα,
Καὶ δήγματα πάντων τετραπόδων, τῶν θ' ἑρπετῶν,
Ὅσαι τ' ἐγένοντο χωρὶς ἑλκῶν φλεγμοναὶ,

ÆGYPTIUM.

Ægyptium perservans absque phlegmone
Divisa quælibet contusaque omnia,
Quadrupedum morsus cunctorum et reptilium,
Itemque genitas absque ulceribus phlegmonas,

Πόνους τε νεύρων καὶ μυῶν δίχ' αἰτίας.
Ταύτην ἐπαινῶν Ἀνδρόμαχος ἐν φαρμάκοις,
Ἔχων μεγίστην ἕξιν ἐδίδου τοῖς φίλοις.
Εἶναι δὲ δραχμὰς ἔλεγε μὲν λιθαργύρου
Τρὶς τεσσαράκοντα καὶ ἑτέρας δὶς δώδεκα·
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ ταύταις ἴσας·
Ἀμμωνιακοῦ δὲ τοῦ καθαροῦ τρὶς εἴκοσι
Καὶ δώδεκ' ἄλλας, [καὶ] λιβάνου δὶς τέσσαρας·
Λεπίδος δὲ χαλκοῦ καὶ λέπιδος στομώματος,
Πάλιν δ' ἑκάστου μίγματος δὶς τέσσαρας·
Τερμινθίνης τε τῆς καθαρᾶς τρὶς δώδεκα·
Δύω δ' ἐλαίου κικίνου κοτύλας μέτρῳ·
Ἐρίων δέκ' ὀκτὼ τῶν ῥυπαρῶν κεκαυμένων.
Καίειν δ' ἔφασκεν αὐτὰ τοῦτον τὸν τρόπον·
Εἰς λοπάδα καινὴν ἢ χύτραν πλατύστομον
Ἐνθέντας ἔριον οἰσυπηρὸν δαψιλές,
Τὸ πῶμα προχρίσαντας γύψῳ ἢ κόνει,
Ἢ γῇ κεραμικῇ μεθ' ὕδατος μεμαλαγμένῃ,
Ἐν πυρὶ λάβρῳ καίοντας, ὅταν ᾖ ῥᾴδιον,
Κόψαντας σῆσαι· τότε δοκεῖ καλῶς ἔχειν.
Καίειν δ' ὁμοίως αὐτὰ κἀν τοῖς κριβάνοις,
Καὶ ἐν τοῖς ἵπνοις τοῖς ἄγαν πεπυρωμένοις,
Οὕτω τε λειῶν, λαμβάνειν δν δεῖ σταθμόν·
Ἕψειν δὲ κελεύει λειοτάτην λιθάργυρον,
Καὶ κίκινον πᾶν, μίξαντ' ἐν καινῇ χύτρᾳ·
Μέλιτος πάχους δὲ γενομένου τοῦ φαρμάκου,
Λεπίδα παραπάσσειν καὶ συνέψειν ἐφ' ἱκανὸν,
Ἕως ἂν γένηται ἀμόλυντον, βάλλειν τότε
Τερμινθίνην καὶ κηρόν· εἶθ' ἡνωμένοις
Ἀμμωνιακὸν μαλαχθὲν ὑπὸ τῶν δακτύλων.
Μέλλοντα δ' αἴρειν τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Λεῖον προσεμπάττειν λιβανὸν, βάλλειν τότε
Καὶ τῶν οἰσυπηρῶν τὴν κόνιν παρεσχάτην
Πρὸ τοῦ λιβανωτοῦ δὲ σμικρῷ [ἢ] ὕστερον.
Τινὲς δὲ τοῦτο βουλόμενοι τὸ φάρμακον
Ἴδιον λέγεσθαι, βαστάσαντες τὴν μίαν
Λεπίδος μιᾶς βάλλουσι τὰς ἑκκαίδεκα·
Χρῶνται δὲ χαλκοῦ λέπιδι, οὐ στομώματος.

Nervos dolentes citra causam et musculos.
Laudans hoc Andromachus dabat sodalibus
Suis in pharmacis peritus maxime.
Aiebat esse quadraginta ter quidem
Denarios lithargyri et duodecim
Bis alteros, ceræ quoque albæ Ponticæ
Tantumque, ammoniaci viginti ter puri
Et duodecim alios, thuris et bis quattuor;
Squami vero aeris et squamæ stomomatis,
Cujusque rursus mixturæ bis quattuor;
Puræ terebinthinæ ter addas duodecim;
Oleique ricini duas inde heminas;
Octodecim ustæ sordidæ lanæ heminas.
Docebat ipsam isto modo comburere:
Novæ patinæ vel ollæ quæ sit latior
Ore inde lanam copiose succidam;
Operculum gypso prius vel glutino,
Vel terra figulari, cui sit mixta aqua,
Illinito, sed largo igne mox comburito,
Contusam incerne cribro, ubi facile hoc erit,
Et tunc præsertim recte habere judica.
In clibanis quoque ipsa et in fornacibus
Ignitis nimium similiter comburito.
Ita capiebat lanæ tritæ, quem est par, modum.
Coquere lithargyrum jubet lævissimam,
Totumque ricinum, mixtis atque ollula
Nova, mellisque facta spissitudine,
Squamam aspergere, concoquere et quantum sufficit
Usque adeo, dum non inquinet, tunc addere
Terebinthinam et ceram; dein quum coiverint,
Ammoniacum confectum digitis mollius.
Posturus ab igne ollam, thus tritum inspergito,
Penultimum ac lanæ immundæ pulvisculum,
Atque ante thus, pauxillulo aut post tempore.
Quidam volentes istud proprio pharmacum
Dici titulo, quum depositus est caccabus,
Squamæ unius bis octo indunt denarios;
Squama autem utuntur æris, non stomomatis.

ΑΛΛΗ.

Οὐδέν τι χεῖρον τῆς προτέρας Αἰγυπτίας
Ποιοῦσα ταὐτὰ, ποτὲ δὲ καὶ κρεῖττον. Παχὺ
Ἂν σκευάσῃ τις ἐπιμελῶς τὸ φάρμακον,
Χρήσηται αὐτῷ μὴ παρέργως ταὐτὰ πρός.
Ἔχει δ' ἐλαίου πέντε λίτρας κικίνου·
Λιθαργύρου δὲ τέσσαρας χρυσίτιδος·
Λεπίδος δὲ χαλκοῦ τεσσαράκοντ' ὀκτὼ δραχμάς·
Τερμινθίνης τε τῆς καλῆς τρὶς δώδεκα·
Μάννης λιβάνου τε ταὐτὸ τῇ τερμινθίνῃ·
Ἀμμωνιακοῦ δὲ τοῦ καθαροῦ λίτρας δύο·
Κηροῦ δὲ λευκοῦ Ποντικοῦ δύ' ἥμισυ.
Ἕψει δ' ἔλαιον, λεπίδα, τὴν λιθάργυρον,

ALIUD.

Nihil priore pejus agit Ægyptio
At melius et quandoque; si confecerit
Crassum accurate medicamentum quispiam,
Utetur ad eadem ipso non improspere.
Olei autem ricinini libras quinque habet;
Chrysitidisque argenti spumæ quattuor;
Squamæ æris terque sexdecim denarios;
Terebinthinæ præstantis ter duodecim;
Mannæque thuris tantundem; pondo duo
Ammoniaci sinceri; ceræ Ponticæ
Albæ duas libras semissem et insuper.
Coquito oleum, squamam, nec non lithargyrum,

Ἕως συνέλθῃ καὶ γένητ' εὔχρους ἄγαν,
Σκληρά θ' ἱκανῶς ἔμπλαστρος· εἶθ' οὕτω βαλεῖν
Τερμινθίνην καὶ κηρὸν, εἶτα δακτύλοις
Ἀμμωνιακὸν μαλαχθὲν, εἶτα τὴν χύτραν
Ἀπὸ τοῦ πυρὸς ζέουσαν ἄρας, βαλεῖς τότε
Τὴν μάνναν, ἤδη ψυχομένου τοῦ φαρμάκου.
Ἐποίησα ταύτην πολλάκις λιθαργύρου
Χωρὶς, μολυβδαίνης ἐμβαλὼν καλῆς ἴσον,
Ἐχρησάμην θ' ἥδιστα πρὸς ἃ προείπομεν
Πεποιημένην τε χρώματος βελτίονος.

(Sec. gen. VI, P. II, p. 401 et 402.)

Donec coierint colorque sit optimus
Fiatque satis durum emplastrum; deinde sic
Terebinthinam et ceram pones; hinc mollius
Ammoniacum digitis confectum, postea
Fervente ab igne caccabo deponito, et
Mannam injicito, jam frigerato pharmaco.
Frequenter hoc feci citra lithargyrum,
Molybdænæ bonæ pari sumpto modo,
Ususque sum ad quæ dixi jam suavissime
Probatiorisque id coloris condidi.

ΑΙ ΥΠΟ ΔΑΜΟΚΡΑΤΟΥΣ ΓΕΓΡΑΜΜΕΝΑΙ ΔΙΑΦΟΡΗΤΙΚΑΙ.

Ἔμπλαστρος ἀγαθὴ διαφοροῦσα μηλίνη
Τὰς μὴ παλαιὰς χοιράδας τῶν παιδίων,
Τὰς περὶ μύας τε καὶ τὸ δέρμα σκληρίας,
Καὶ τὰς μενούσας φλεγμονὰς πλέω χρόνον
Πληροῦσα σαρκοῖ καὶ ἐς ἀπούλωσίν (τ') ἄγει
Σκευάζεται δ' οὕτως· καλῆς λιθαργύρου
Τρεῖς τὸ πολὺ λίτρας, ψιμυθίου μίαν ἥμισυ·
Τούτοις προσαποδίδου λίτρας.... νέου
Λιπαροῦ τ' ἐλαίου. Τὴν λιθάργυρον βαλὼν
Ἕψε μετ' ἐλαίου, καὶ ῥυπῶδες τῷ πάχει
Ποιῶν, προσαπόδος ψιμύθιον λεῖον τότε.
Ὅταν δ' ἴδῃς ἀμόλυντον, εὔκρατόν τ' ἄγαν,
Μικρῷ τε μᾶλλον σκληροτέραν, προσέμβαλε
Κηρὸν, πιτυίνην, ὧν τακέντων, τὴν χύτραν
Ἀπὸ τοῦ πυρὸς ζέουσαν ἄρας, [καὶ] τότε
Βάλ' ἀμμωνιακὸν χερσὶ καὶ τοῖς δακτύλοις
Πλατυνθὲν, ὡς εἴωθε κηρὸς, παρὰ πυρί·
Ἔπειτα κινῶν τῇ σπάθῃ τὸ φάρμακον
Καὶ πάλιν μαλάσσων χερσὶν οὕτως ἀποτίθου.

Ἄλλη πρὸς πάντα ταῦτα· τὰς δὲ χοιράδας
Μᾶλλον διαφορεῖ, τοὺς πονοῦντας δ' ὠφελεῖ,
Ἔχοντας εὐλάβειαν εἰς ἀπόστασιν
Ὑποχονδρίων μετά τινος ὄγκου καὶ φόβου.
Μέλαινα δ' οὖσα σκευασίαν ταύτην ἔχει·
Πίσσης διαυγοῦς ξηροτάτης λίτρας δύο·
Πυκνῆς τε ὑελώδους βαλ' (?) ἀσφάλτου δύο·
Φρυκτῆς πιτυίνης τέσσαρας· κηροῦ δὲ τρεῖς·
Λιβάνου λίτραν μίαν, καὶ μιᾶς μέρος τρίτον·
Χαλκοῦ δὲ λεπίδος οὐγγίας δὶς τέσσαρας·
Κοινοῦ δ' ἐλαίου προσφάτου πέντ' οὐγγίας.
Λειοῖς λίβανόν τε καὶ λεπίδα, παρεγχέων
Ὄξους τὸ μέτριον, καὶ λεάνας ἐπιμελῶς,
Πάχος ποιήσας μέλιτος, ἕψησον τότε
Κηρόν τε καὶ τὰ λοιπὰ μετ' ἐλαίου νέου,
Οὕτω τε κατάχει θερμὰ τῶν λελεασμένων,
Μίξας τ' ἐπιμελῶς πάντα χερσὶν εὐτόνως,

DISCUSSORIA A DAMOCRATE CONSCRIPTA.

Ad digerendum melinum emplastrum efficax
Infantium strumas non veteres, insuper
Et duritias quoque musculorum, item et cutis,
Et phlegmonas quæ durant multo tempore
Replet carne inducit cicatricemque iis.
Sic conficitur: excellentis lithargyri
Ut plurimum libram sesquilibramque insuper
Cerussæ; his adde libræ pondo..... novi
Pinguis olei. Immissa est ollæ lithargyrus,
Ex oleo coquitur; ubi jam spissitudinem
Habet sordis, lævem cerussam tum capit.
Quum non inficiens temperie et bona admodum
Pauloque durius videris, immittitur
Cera et pityina, quibus liquatis ollula
Ab igne fervens tollitur; tunc protinus
Ammoniacum, uti cera manibus assolet
Atque digitis, explanatum igni injicitur.
Postea movetur pharmacum rudicula
Rursusque mollitur manibus, sic conditur.

Aliud ad omnia hæc; strumas ipsas vero
Magis resolvit et laborantes juvat,
Præcordia ne abscessus, queiscunque est cautio
Tumore quopiam haud absque metu exerceat.
Hanc obtinet confecturam, nigrum quia est:
Picis persiccæ limpidæ libras duas;
Densique vitrei duas bituminis;
Frictæ pityinæ quattuor; ceræ capit
Tres; thuris unam libram et partem tertiam;
Squamæ æris uncias pariter bis quattuor;
Recentis olei communis quinque uncias.
Thus, squamma teritur, quibus acetum apponitur
Mensuram juxta. Ut curiose trita sunt,
Et crassitudinem mellis tenent, coques
Ceram, reliquaque tum simul oleo novo,
Rursusque lævigatis calida infundito;
Ubi diligenter manibus omnia robore

Ἀποτίθου φυλάττων, οέρματ' ἐσκεπασμένην·
Ποιεῖ γὰρ ἐπίπαγόν τε καὶ τραχύνεται.

Commiscueris, contectum pelle condito
Nam exasprantur, crustula atque obducitur.

Αἱ δι' ἁλῶν διαφορητικαὶ Δαμοκράτους.
Σκεύαζε καὶ τοῦθ', ὡς κράτιστον φάρμακον.
Καλοῦ ψιμυθίου καὶ καλῆς λιθαργύρου
Λίτρας ἑκάστου καὶ ὁλῶν δέκ' οὐγγίας·
Ἅλας δέ ἐστι πᾶν τὸ λευκὸν ἐς φάρμακον
Ἱκανῶς εὔχρηστον, ἀλλὰ βέλτιον πολὺ
Ἀμμωνιακόν τε καὶ καθαρὸν θαλάσσιον·
Καὶ τρεῖς ἐλαίου πολυετοῦς λίτρας σταθμόν.
Ἕψε δὲ ἔλαιον καὶ τὰ λοιπὰ λεῖ' ὁμῶς,
Ἕως γένηται σκληρότερα μαλάγματος·
Ἀποκείμενον γὰρ γίνεται μαλακώτερον.

Damocratis emplastra ex sale discussoria.
Hoc præparato simul, ut præstans pharmacum.
Bonæ cerussæ et argenti spumæ bonæ
Cujusque pondo, denasque salis uncias;
Omnis vero est sal albus multum pharmaco
Futuro utilis, atqui longe præstantior
Ammoniacus, confectus et purus mari;
Et tres vetusti libras olei pondere.
Oleum coquito reliqua et trita simili modo,
Quo duriora adusque sint malagmate;
Sepositum enim multo remollescit magis.

Ἄλλη ἀμείνων· διαφορεῖ γὰρ σκληρίας
Πασῶν ἄμεινον τὰς ἄγαν κεχρονισμένας,
Καὶ βρογχοκήλας καὶ μεγάλας μελικηρίδας,
Τὰς δυσμεταβόλους χοιράδας, τάς τ' ἀγκύλας.
Σκευάζε δ' οὕτως· ἅλατος λειοτάτου λίτραν,
Μίαν τε λίτραν ψιμυθίου, καὶ χαλβάνης
Οὐγγίας δύω· τὸ δ' αὐτὸ καθαρᾶς προπόλεως·
Ἀριστολοχίας, χαλβάνης ἴσον μέρος·
Καλοῦ τ' ἐλαίου πολυετοῦς λίτρας δύο·
Ἂν δ' ᾖ παχύτατον, προσβαλεῖς ἄλλην μίαν.
Ἕψει δ' ὁμοίως, καὶ καλῶς κεκραμένην
Ἀπὸ τοῦ πυρὸς βάσταζε, καὶ λείαν τότε
Ἀριστολοχίαν παραπάσεις, προσεμβαλὼν
Μεμαλαγμένην πρόπολίν τε καὶ τὴν χαλβάνην.

Aliud melius, quoniam duritias discutit
Valentius cunctis inveteratas nimis,
Et bronchocelas et magnas meliceridas,
Et contumaces strumas, nec non ancylas.
Sic conficitur : libram salis lævissimi,
Cerussæ unam libram, atque galbani uncias
Duas, ac puræ propoleos item duas;
Aristolochiæ binas pariter uncias;
Præstantis olei libras annosi duas;
Crassissimum si fuerit, addes alteram.
Eodem coque modo atque commistum bene
Ab igne tolle, lævigatam tunc quoque
Aristolochiam insperges, injeceris ubi
Mollita, propolim scilicet atque galbanum.

Ἄλλη διαφορητικὴ Δαμοκράτους δι' ἀσβέστου
Λίαν ἀγαθή, διαπφοροῦσα (?) χοιράδας,
Στέλλουσα πᾶν οἴδημα, καὶ τὰς ἥπατος
Ἢ σπληνός γ' ὑδαρεῖς διαθέσεις ἰωμένη,
Οὖρων ἄγουσα δαψιλεῖς τὰς ἐκκρίσεις,
Τὰς ἰσχιάδας λύει τε τὰς κεχρονισμένας.
Ταύτῃ Οὐλβιάνος εὐφυὴς νεανίας
Χρώμενος ἐπιμελῶς ὠφέλει πολλοὺς πάνυ.
Ἔχει δὲ λίτραν Ποντικοῦ κηροῦ μίαν,
Μίαν τε φρυκτῆς καὶ μίαν τῆς πιτυίνης·
Ἀσβέστου τε [τιτάνου] προσφάτου οὐγγίαν μίαν·
Σχιστῆς ὁμοίως οὐγγίαν στυπτηρίας·
Ἴσον δ' ἑνὶ τούτων ἀῤῥενικοῦ τοῦ Ποντικοῦ.
Τούτοις παραχέας ὄξος εὐῶδες βραχὺ
Λέαιν' ἐφ' ἱκανὸν ἐν θυείᾳ μείζονι,
Κηρῷ τε ῥητίναις τε προσβαλὼν βραχὺ
Ἔλαιον, τήξας ἐπὶ πυρὸς λάβρου φλογὸς,
Μιγνύς τ' ἐπιμελῶς πάντα, καὶ μαλάγματος
Ποιῶν ἀμολύντου τὸ πάχος, ἔχ' ἀποκείμενον,
Χρώμενος ἐφ' ὧν δεῖ προσφάτῳ τῷ σπληνίῳ.
Ἔλεγε δ' ὁ κράτιστος καὶ πατὴρ τοῦ φαρμάκου
Καὶ πρὸς νόσων τε τῶν μακρῶν ἀπαλλαγὰς
Εὔχρηστον εἶναι καὶ καλὸν τὸ φάρμακον,
Ἐφ' ὧν τε χρόνιος φλεγμονὴ σπλάγχνων τινὸς

Calce ex viva aliud dissipans Damocratis
Valde bonum; strumas per halitum digerit,
Omnem tumorem reprimit, nec non hepatis
Vel splenis affectus aquosos curat, et
Excretionem urinæ valde promovet,
Et inveteratas dissolvit coxendices.
Nempe Ulpianus hoc juvenis industrius
Utens auxiliabatur ægris plurimis.
Continet autem libram unam ceræ Ponticæ,
Unamque frictæ, præterea unam pityinæ,
Calcis recentis vivæ quoque pondo unciam,
Aluminis scissi simliter unciam,
Æquale pondo item arsenicique Pontici.
His suaveolentis paulum aceti affundito;
Majore tere in mortario, dum sit satis;
Ceræque resinisque miscens paululum
Olei, liqua flamma ignis quam acerrimi,
Ac temperans omnia, faciens malagmatis
Nec pharmaci inquinantis crassitudinem,
Reponito, utensque excipe novo splenio.
Ajebat optimus medicamenti pater
Morbis diuturnis præsidium suscipi
Istud bonum, quibus item longa visceris
Cujuslibet inflammatio præcordia

Ὑποχόνδριον πεποίηκε σκληρὸν ἢ μέγα
Σφόδρ' ὠφελεῖν· ἱδρῶτάς τε γὰρ ἐπιφέρειν,
Καὶ σκληρίας λύειν τὰς τῶν ὑποχονδρίων,
Ἀπαλλαγάς τε τῶν νόσων ποιεῖν ταχὺ,
Καὶ τὰς ἐποχὰς δὲ τῶν φυσικῶν καταμηνίων
Ἄγειν βραχείαις ἡμέραις ἐπικείμενον.
Ἐγὼ δ' ἀφαιρῶν τὴν τίτανον στυπτηρίαν
Διπλῆν ἔβαλλον, καὶ τὸ φάρμακον ποιοῦν
Ἀμεινον ἔγνων, οὐ ποιοῦν τὰ ψυδράκια.

Aut duraverit, aut auxerit citra modum,
Opitulari illud emplastrum quam maxime;
Quippe id sudores excitat, præcordiis
Duritiem tollit, morbos solvit protinus,
Retenta naturalia diu menstrua
Impositum pauculis diebus provocat.
Nos calce dempta duplum alumen indimus,
Et melius pharmacum erat, haud faciens pustulas.

(Sec. gen. VI, P. II, p. 405 et 406.)

ΔΑΜΟΚΡΑΤΟΥΣ ΜΑΛΑΓΜΑ.

Χρεὼ (?) δὲ πάντως καὶ μαλάγματος καλοῦ
Τοῖς σφόδρα φιλιατροῦσιν ἔσται πολλάκις
Πρὸς σπάσματα μυῶν μεγάλα καὶ πρὸς ῥήγματα,
Ἄρθρων ἔτι δὲ καὶ λυγίσματα, νεύρων [τε] παχυ-
Καὶ [τῶν] μυῶν τὰς σκληρίας μετὰ φλεγμο· [σμοὺς,
Πρὸς μέντοι δήγματα πρὸς ταῦτα τοῦτ' ἐστὶ [νῆς.
Δραστικώτατον· αἴρει δὲ καὶ λειχῆνας καὶ λέπρας,
Ἐπικείμενον τὸ πλεῖστον ἡμέρας δέκα,
Ἀλλαττόμενον παρὰ μίαν ἢ δύ' ἡμέρας.
Πίσσης διαυγοῦς ξηροτάτης λίτρας δύο·
Μίαν πιτυΐνης καὶ μίαν κηροῦ καλοῦ·
Ἀμμωνιακοῦ καὶ στυπτηρίας ὑγρᾶς πάλιν
Μίαν [προστίθει], ὄξους [τε] δριμυτάτου δύο
Ξέστας μετρήσας ἔχε παρεσκευασμένον.
Κατὰ τὸ σπάνιον δὲ χαλβάνης δυ' οὐγγίας
Τινὲς προσέβαλλον, βουλόμενοι τὰς σκληρίας
Θᾶσσον μαλάξαι τὰς ἐχούσας καὶ χρόνον.
Σκευάζε δ' οὕτως· ἀπολαβὼν ὄξους τρίτον
Ἀμμωνιακοῦ κατάχει τε καὶ στυπτηρίας·
Καὶ λεῖα ποιῶν ἐν θυείᾳ μείζονι,
Πάχος ποίησον μέλιτος ὑγροῦ προσφάτου·
Πίσσαν δὲ καὶ τὸ λοιπὸν ἐν καινῇ χύτρᾳ
Ἕψησον, ὡς πᾶν παρ' ἐλάχιστον ἐκφρυγῇ·
Οὕτω κατάχει τε τῶν καλῶς λελεασμένων
Ἐν τῇ θυείᾳ καὶ ἀνάκοφθ' ἕως λάβῃ
Ξανθὸν τὸ χρῶμα μηλίνῃ προσεμφερές·
Μίξαι δὲ πάντως βουλόμενος καὶ χαλβάνην,
Μετὰ κηροῦ ταύτην πιτυΐνην τε προσβαλεῖς,
Ἄρας μετ' ὀλίγον τὴν χύτραν ἀπὸ τοῦ πυρός.
Τινὲς δὲ προσβάλλουσι σταθμὸν μάννης ἴσον,
Τὴν στυπτηρίαν αἴροντες ἐκ τοῦ φαρμάκου,
Καὶ χρώμενοι πρὸς τὰ τοιαῦτα, καὶ τὰς προσφά- [τους
Κολλῶσι ταύτῃ τῇ δυνάμει διαιρέσεις.
Τούτῳ δὲ κέχρησο καὶ ἀπὸ πρώτης ἡμέρας
Ἐφ' ὧν προεῖπον, ὅταν ἔχωσιν εὐλαβῶς
Πρὸς τὰς ἀμυχάς τε καὶ τὰ ταύταις ἑπόμενα·
Τῷ σπληνίῳ δ' ἄνωθεν ὄξει διάβροχον
Σπόγγον ἐπίβαλλε καὶ ἐπίδει πεπιεσμένως.
Οὕτως ἐπιῤῥίψεις αὐτὸ καὶ τοῖς σπληνικοῖς.

DAMOCRATIS MALAGMA.

Opus sæpe omnino et malagmatis boni
Medicinæ strenuis erit cultoribus
Ad musculos laceros valde atque tendinum
Rupturas luxosque artus, crassitudinem
Nervorum, musculorumque absque phlegmone
Duritias. Ad morsus at hæc est maxime
Tamen efficax, tollitque lichenas, lepras,
Ut plurimum decem diebus additum;
Mutatur altero die vel tertio.
Picis nitidæ siccissimæ libras duas;
Unam pityinæ pone, unam et ceræ bonæ;
Ammoniaci rursus liquidi atque aluminis
Fac singulorum unam, duos acerrimi
Sextarios aceti. Raro galbani
Quidam uncias duas miscent, diutinas
Citius durities emollire qui expetunt.
Sic præparato; partem aceti tertiam
Ammoniaco atque alumini superaddito,
Ac lævia reddens in magno mortario,
Mellis recentis liquidi crassitudinem
Facito, picem cum cæteris in fictili
Novo incoque; ubi cuncta arefeceris fere
Infunde lævigatis in mortario,
Et rursus ipsa tunde, dum receperint
Flavum colorem, perquam similem melino.
At si statuis prorsus miscere galbanum,
Cum cera immittes et resina pityina;
Post paulo ab igne caccabum dein auferas.
Quidam contra injiciunt mannæ parem modum
Alumen auferentes ex medicamine;
Utuntur ad idem vitii genus, et glutinant
Divisiones his recentes viribus.
Tu hoc utitor vel a primo statim die
Ad affectus relatos, quum plagas timent
Et quæcumque alia plagas insequi solent;
Sed splenio madentem aceto spongiam
Desuper injicito, arcte stringens vinculo.
Sic et lienosis id recte imponitur

Ἐφ' ὧν δ' ἐπινοεῖς τὸν σκιῤῥὸν σπλάγχνῳ τινὶ
Ἐσόμενον, ἀδεῶς κέχρησο τῷ μαλάγματι

ΑΡΧΗ ΤΗΣ ΔΙ' ΑΛΩΝ.

Ἂν δ' ἐπιμένῃ τούτων τινι πλείοσι χρόνοις,
Σκευάζε καὶ τοῦθ' ὡς κάλλιστον φάρμακον.

(Sec. gen : VII, P. II p. 412 et 413.)

ΧΑΛΑΣΤΙΚΑΙ.

Η ΔΙΑ ΧΥΛΩΝ ΔΑΜΟΚΡΑΤΟΥΣ ΑΠΟ ΜΕΝΕΚΡΑΤΟΥΣ.

Εἰπόντες οὖν ἔμπροσθεν, πῶς τὰ τραύματα
Δίχα φλεγμονῆς μένοντα κολληθήσεται,
Ἐξῆς ἐροῦμεν, πῶς τὰ φλεγμαίνοντ' ἄγαν
Δυνατὸν θεραπεύειν φαρμάκοις ἔσται καλῶς.
Ὅταν μυὸς τρωθέντος, ἢ νεύρων πυκνῶν,
Ἢ καὶ νυγέντος ὑμένος ἐγγὺς ὀστέου,
Μετὰ τὴν τετάρτην ἡμέραν πυκνοὶ πόνοι
Καὶ φλεγμοναὶ, πυρετοί τε μετὰ συμπτωμάτων
Πολλῶν, ἀγρυπνίας, παρακοπῆς, δίψους σφοδροῦ,
Κᾆτα ξηρᾶς γλώττης γένηται πρόσθεσις,
Καθ' ἡμέραν ῥέποντα πρὸς τὰ χείρονα,
Ἰχὼρ τρυγώδης, λεπτὸς, ἐρυθρὰ τραύματα,
Τά τ' ἐγγὺς αὐτῶν πάντ' ἔχοντα σώματα
Ὀργὰς, διατάσεις, φλεγμονὰς, οἰδήματα,
Τότε μὴ κατάπλασσε ποικίλοις καταπλάσμασιν·
Ἔθος γάρ ἐστι τοῦτο ποιεῖν τοῖς νέοις,
Ἵν' ἐκφυγόντες τὰς ἀκμὰς τῶν φλεγμονῶν
Τοῖς συκοφάνταις μὴ παρέχωσιν αἰτίαν·
Δεῖ δὲ τὸν ἔχοντα τῆς ἰδίας πίστιν τριβῆς
Καὶ συγκαταβαίνειν τοῖς νοσοῦσ' εἰς τοὺς φόβους,
Μὴ περιμένοντα τὴν τυχὴν καὶ τὴν φύσιν.
Σκευάζε τοίνυν πρὸς ἃ προείρηται πάθη
Καὶ τοῖς ποδαγρικοῖς ἁρμόζον τὸ φάρμακον,
Ἐν παντὶ καιρῷ τοῖς νοσοῦσ' ἐπικείμενον·
Τοῖς γὰρ διαλείμμασιν μὲν εὐκινησίαν
Παρέχον ἑτοίμην καὶ τὸ μὴ πώροις ταχὺ
Πυκναῖς τ' ἐπιβολαῖς παρενοχλεῖσθαι ῥᾳδίως,
Ἐν ταῖς παρακμαῖς δ' οὐκ ἐῶν μεγέθη λαβεῖν,
Ἐν ταῖς ἀκμαῖς δὲ τὰς παρακμὰς ποιοῦν ταχὺ,
Ἂν μὴ μεταβαίνῃ ῥᾳδίως τις ἐφ' ἕτερα.
Τὸ δὲ φάρμακον σκευάζε τοῦτον τὸν τρόπον·
Λιθαργύρου μὲν λειοτάτης χρυσίτιδος
Αἴτρας δύω βαλὼν τέσσαρας ἀξουγγίου
Ἄγαν παλαιοῦ, μίαν δὲ καὶ μιᾶς λίτρας
Τρίτον [γ'] ἐλαίου παχυτάτου καὶ πολυετοῦς
Καὶ μὴ δυσώδους, μὴ μέλανος, μὴ τραχέος·
Οὕτω γὰρ ἔσται δραστικὸν τὸ φάρμακον.
Τήξας δ' ἐπιμελῶς ἐν λοπάδι τἀξούγγιον,
Ἔπαιρ' ἀπ' αὐτοῦ τοὺς ὑμένας καὶ τοὺς ἅλας,
Ἠθμῷ διηθῶν εἰς ἑτέραν μείζω χύτραν·
Καὶ προσβαλὼν ἔλαιον ἀνάζεσον πάλιν,
Μὴ πᾶν δ' ἔλαιον, ἀλλὰ τὰ δύ' αὐτοῦ μέρη·
Τὸ τρίτον δ' ὑπολιπὼν, ἔχ' ἐν ἑτοίμῳ κείμενον,

Ubi suspicaris scirrhum cuiquam visceri
Futurum, intrepidus utitor malagmate.

INITIUM MEDICAMENTI E SALIBUS.

Si in horum aliquo maneat diebus plusculis,
Et hoc parato medicamentum quam optimum.

RELAXANTIA.

DAMOCRATIS MEDIDAMENTUM E SUCCIS E MENECRATE

Præfati igitur quo tandem pacto vulnera
A phlegmone secura recte glutines,
Posthac dicemus, quomodo cum phlegmone
Gravi occupentur, curentur medicamine.
Quum musculo læso nervis sive solidis,
Vel et propinqua quando ossi membranula
Puncta dies post quattuor frequens dolor,
Et phlegmone febresque cum symptomatis
Multis uti vigilia, delirium et sitis,
Ac lingua sicca dein, crescunt atque omnia
Quotidie et cum magis mala in pejus ruunt,
Et fœculenta sanies, tenuis, vulnera et
Rubra atque partes his vicinæ omnes habent
Distensiones, phlegmonas, œdemata,
Turgores, variis tum abstine cataplasmatis :
Quod mos juvenibus est facere, quo phlegmonum
Status effugientes non dent calumniis
Occasionem. At arti qui fidit suæ
Hunc devenire cum languentibus in metus
Oportet, haud exspectantem dum vicerit
Natura vel fortuna quædam juverit.
Ergo pares quibus consului affectibus
Quod et podagricis medicamentum convenit
Ægris in omni tempore impositum manens;
Promptam agilitatem nam intermissionibus
Id gignit corpori, cito nec permiserit
Tophis, nec facile crebris angi insultibus,
Morbum principio prohibetque increscere,
Nisi ad alia descendas facile medicamina.
Hunc pharmaci in modum fiat confectio :
Lithargyri lævissimi chrysitidis
Libras duas miscens, quatuor axungiæ
Valde vetustæ, libram vero unam et libræ
Tertiam partem olei annosi atque crassissimi,
Et non fœtentis, non nigri, non asperi;
Sic namque sumet pharmacum efficaciam.
Liquatæ diligenter patina axungiæ
Membranulas salemque mox sustollito,
In vas aliud ipsam percolans amplius;
Adjectoque oleo rursus cura ferveat,
Non omne ponens oleum, sed partes duas;
Tertia manebit in expedito condita,
Si jungere sit necesse, ne absit longius;

Ἐὰν ἐπειχθῇς προσβάλλειν, ἵνα ᾖ σοι παρόν
Ἔσται δὲ χρεία πάντως ἐν χειμῶνί γε,
Ὅταν [τ'] ᾖ γεγονὸς τῷ μακρῷ χρόνῳ παχὺ
Τὸ βαλλόμενον ἔλαιον εἰς τὸ φάρμακον·
Λιθάργυρόν τε τῶν ζεόντων κατάπασον·
Ἕψε δ' ἐπὶ μαλακῷ καὶ διηνεκεῖ πυρὶ,
Κινῶν σπάθῃ· βέλτιον, ἂν ᾖ τῇ πευκίνῃ·
Ὅταν δὲ ἐπὶ χρόνον μέτριον ἑψούμενον
Τὸ φάρμακον λάβῃ μὲν ἐμπλάστρου πάχος,
Λάβῃ δ' ὁμοίως φαρμάκου δυσωδίαν,
Ἔπαιρε ταχέως τὴν χύτραν ἀπὸ τοῦ πυρὸς,
Ποιῶν βραχεῖ μὲν σκληροτέραν ἐν τῷ θέρει,
Μαλακὴν δὲ τοῦ χειμῶνος, ἀμόλυντον δ' ὅμως·
Κίνει δ' ὁμοίως ἕως μετρίως ὑποψυγῇ·
Εἶτα πάλιν χερσὶ σκληροτέραις πρόσπασσε πᾶν
Μαλαχθέν· οὕτω μεταφέρειν ἐκ τῆς χύτρας.
Ὅταν δ' ᾖ χρεία, πάλιν μαλάττειν εὐτόνως,
Μαλακῷ τ' ἐπιμελῶς ἐμπλάσαντας δέρματι,
Οὕτως ἐπιβάλλειν εὐμεγέθη τὰ σπληνιά.
Ταύτην δὲ τὴν ἔμπλαστρον εἰ βούλει ποτὲ
Μᾶλλον ποιεῖν πρὸς νεῦρα παχέα καὶ μύας,
Σκληρούς τε μασθοὺς, ἄρθρα τ' ἐξωδηκότα,
Μαλάχης ἀγρίας τῶν ῥιζίων λίτραν βαλὼν
Καθαρῶν [καὶ] προσφάτων, καὶ [ταῦτα] συντεμὼν
Εἰς δακτυλιαίους τῷ τε μήκει καὶ πήχει
Τόμους ἐπίβαλλε τοῖς ζέουσ' ἐν τῇ χύτρᾳ·
Ὅταν δὲ πᾶσαν ἀνθρακωθέν τ' ἀποβάλῃ
Τὴν ἰκμάδα [τε] καὶ τὴν δύναμιν τὸ φάρμακον,
Ἔπαρον [τῷ] ἠθμῷ τῆς μαλάχης τὰ ῥιζία·
Λείαν δ' ἐπιπάσας τὴν λιθάργυρον, τότε
Ἕψησον, ὡς προεῖπον πρόσθεν, καὶ πάλιν
Ἀπόθου θ' ὁμοίως, καὶ τὸν αὐτὸν χρῶ τρόπον

Τοῦτο δὲ ἑκατέρας φησὶ τὰς ἀρετὰς ἔχειν
Ὁ πρῶτος εὑρὼν Μενεκράτης τὸ φάρμακον,
Ἀνὴρ κράτιστος, ἐκτικὸς πρὸς τὴν τέχνην·
Καὶ γὰρ φυλάττειν τὰ νεότρωτα τραύματα
Δίχα φλεγμονῆς, κολλᾶν τε τὰ διῃρημένα
Ἔπεισεν ἡμᾶς, καὶ τὰ φλεγμαίνοντ' ἄγαν
Ἕλκη θεραπεύειν, τούς τε τρωθέντας μύας
Δίχα τινὸς ἄλλου τῶν βοηθεῖν δυναμένων
Καταπλασμάτων, σπόγγων τε καὶ τῶν ἐμβροχῶν,
Ποιεῖν δὲ πάντα ὅσα ἔμπροσθεν εἶπον ποιεῖν
Τὴν διὰ λιθαργύρου τε καὶ ἀξουγγίου,
Εἶναι δ' ἄριστον πεσσὸν ἐν κεχρονισμέναις,
Ἐν προσφάτοις τε φλεγμοναῖς τῆς ὑστέρας,
Ἕλκη τε πληροῦν κοῖλα, διεθεῖσαν μύρῳ
Ῥοδίνῳ ἀπουλοῦν γ' ἢ καλῷ μυρσινίνῳ,
Καθόλου τε πᾶν κατάπλασμα καὶ πᾶν φάρμακον
Ἔξωθεν ἐπ' αὐτῶν φησ' ἐπιῤῥιπτούμενον
Περισσὸν εἶναι τοῖς γε ταύτῃ χρωμένοις.
Ἔστιν δ' ἀναγραφῆς ἄξιον τὸ φάρμακον·
Ἤδη δὲ πιστὸν ἐστι καὶ τοῖς βασκάνοις.
Λέγει δὲ αὐτὸ ποιεῖν τοῦτον τὸν τρόπον·

Hyeme namque est necessarium, quumque inditum
Medicamini crassum oleum longo tempore
Evaserit; lithargyrum et ferventibus
Inspergito, levi igne et assidue coquas
Spatha movens, quam e tæda præstat sumere;
Quum ceperit mediocri coctum tempore
Medicamen hoc emplastri spissitudinem,
Nec non fœtorem simili pacto pharmaci,
Confestim ab igne caccabum deponito,
Faciens per æstatem pauxillo durius,
Sed hyeme mollius, non inquinans tamen;
Moveto adusque, quo modice ita refrixerit;
Sic deinde rursus manibus durioribus
Totum subactum ex olla transferri jube.
Quum poscit usus, iterum valide mollies,
Mollique diligenter pelliculæ illinens,
Permagna super accommodabis splenia.
Emplastrum vero hoc si quando efficacius
Desideres ad nervos crassos, musculos
Durasque mammas atque articulos insuper
Tumentes fieri, pondo radicum indito
Agrestis malvæ purarum ac recentium,
Sectarum in partes digiti crassitudine
Ac longitudine in olla ferventibus.
At quum madorem totum et vires pharmacum
In carbonem conversum ex igne amiserit,
Malvæ radiculas colo sustollito,
Et lævigatam inspergens tunc lithargyrum
Coque tu, quemadmodum dixi, et reponito,
Simili modo rursus eodemque ipso utitor.

Utrisque vero hoc viribus pollere ait
Primus Menecrates inventor pharmacum
Vir qui fuit habitu medicam circa artem optimo;
Recentia enim servare citra phlegmonem
Vulnera, nec non divisa glutinare item
Nobis persuasit, atque inflammata ulcera
Nimis medicari, et vulneratos musculos
Sine quopiam alio eorum quæ succurrere
Possunt cataplasmatis, fomentis, spongiis
Omniaque quæ facere confirmavi prius
Medicamen ex lithargyro et axungia
Peragere, atque optimum pessum diutinis
Novisque vulvæ esse inflammationibus,
Cava ulcera implere, solutum ac rosaceo
Vel myrteo bono cicatricem addere;
Summatim omne cataplasma nec non pharmacum
Extrinsecus quod ipsis superinjicitur
Superfluum esse dicit isto utentibus.
Profecto dignum scriptione est pharmacum
Cujus fides jam vel recepta est invidis.
Hunc in modum ipsum præparari dictitat:

Ἑπτὰ μὲν ἐλαίου τοῦ θέρους λίτρας σταθμῷ·
Ἐν ἄλλῳ εὗρον τοῦ ἐλαίου ἥμισυ,
Τοῦ [τε] λιπαροῦ καὶ προσφάτου ἀξουγγίου·
Ἐννέα δὲ τοῦ χειμῶνος, ὥς φησιν, βαλεῖς·
Ἓξ δὲ μόνον [καὶ τῆς] λειοτάτης λιθαργύρου·
Ξέστου δ' ἔφασκε τήλεως μέρος ἥμισυ·
Ταὐτὸν λινοσπέρμου τε τοῦ κεκαθαρμένου·
Μαλάχης τε ἀγρίας ἔλεγε τρεῖς λίτρας σταθμῷ
Ῥίζης ἐχούσης χυλὸν ἔτι τὸν πρόσφατον·
Ἕψειν δι' ὕδατος μὲν ξέστας ὀκτὼ μέτρῳ,
Εἰς λοπάδα καινὴν κεραμεᾶν πλατύστομον
Ῥίζας βαλόντα τῆς μαλάχης κεκαθαρμένης
Τετμημένας λεπτάς τε καὶ τεθλασμένας,
Τῆλιν πεπλυμένην, καὶ λινόσπερμον καλῶς.
Ὅταν δὲ χυλωθῇ τε καὶ πάχος λαβῇ,
Δι' ὀθονίου τὸν χύλον ἀποθλίψας ἔχε,
Στήσας τε τέσσαρας [καὶ] τὰς λίτρας σταθμῷ,
Μιγνύς τ' ἔλαιον πᾶν ἕψει ἐπ' ἀνθράκων.
Ὅταν δὲ λεπταὶ πομφόλυγες ἐκ μειζόνων
Πυκναί τε ἐπαναστῶσι τοῖς ἐν τῇ χύτρᾳ,
Πρόσπασσε λείαν τὴν λιθάργυρον, τότε
Ἕψει τε μαλακῷ καὶ διηνεκεῖ πυρὶ,
Ἕως ὅ τε χυλὸς τῷ λίπει συνεκφρυγῇ.
Τὸ φάρμακον ἔμπλαστρος ἔσται μηλίνη,
Εὔχρους, ἀμόλυντος, ἀλλὰ μὴ σκληρὰ πανύ.
Ταύτην ἐφευρὼν τοῖς παλαιοῖς φαρμάκοις
Ἔλεγε διὰ χυλῶν εὐλόγως τὸ φαρμάκον.

Septem olei libras pondo æstatis tempore
Indes; alias ejus dimidium repperi;
Pinguis, recentis tantundemque axungiæ;
Sed hyeme, uti tradidit, injeceris novem;
At sex lævissimi modo lithargyri,
Fœni græci addit dimidium sextarii,
Et seminis tantundem purgati lini,
Malvæque agrestis pondo statuebat tria
Radicis, etiamnum cui succus sit recens;
Quaternis bis coquito ex aquæ sextariis,
Patinæ orificio amplo recenti fictili
Malvæ radix purgata, concisa insuper
Et tenuis et contusa ut fuerit indita;
Mox addito fœni græci elutum probe
Linique semen. At quum succum emiserint
Coctura spissitudinemque acceperint,
Habeto succum expresseris quem linteo,
Trutina at quaternas quando expenderis libras,
Oleum misce, atque totum coque carbonibus.
Quum vero tenues bullulæ ex majoribus
Crebræ contentis caccabo prodiverint,
Lithargyrum lævem protinus aspergito,
Ignique non acri, sed assiduo coque,
Frictus sit usque succus cum pinguedine.
Erit ipsum medicamentum emplastrum melinum
Boni coloris, non inficiens, nec nimis
Durum. Post antiqua hoc qui invenit pharmaca
Vocabat ipsum jure e succis pharmacum.

Καὶ τοῦτο δ' ἐστὶν ὁμογενὲς τὸ φάρμακον,
Εἰ καὶ δι' ἑτέρων μιγμάτων σκευάζεται·
Ποιεῖ γὰρ ἀμέλει πρὸς ἃ προεῖπον πάνθ' ἁπλῶς
Τά τ' ὠμὰ καὶ δύσπεπτα καὶ δυσμετάβολα,
Τὰ κατὰ μυῶν, ὑμένων τε μεγάλα τραύματα·
Λύει γὰρ αὐτῶν τὰς ὠτειλὰς ῥᾳδίως·
Ἀρθριτικοῖς τε πᾶσ' ἐπιῤῥιπτούμενον
Παρηγορήσει τοὺς κεχρονισμένους τόπους.
Ἔχει δὲ πίσσης ξηροτάτης λίτρας δύο·
Καθαροῦ τε κηροῦ Ποντικοῦ λίτρας δύο·
Πάλιν τε καὶ τῆς μὴ καθύγρου τερμινθίνης
Λίτρας δύω· μάννης λιβάνου τ' ἀδόλου λίτραν·
Ἥμισυ δὲ λίτρας ἤ τι βραχυρεπέστερον
Λευκοῦ, λιπαροῦ μάλιστα, βουτύρου νέου.
Τὰ μὲν ἄλλ' ἐπὶ πολὺ τῆκε καὶ λάβρῳ πυρὶ
Συνεχῶς, ἐπιβλέπων, ἢν ἀμόλυντον τυγχάνῃ
Τὸ φάρμακον τριβόμενον ὑπὸ τῶν δακτύλων·
Οὗπερ γινομένου βαστάσας ἀπὸ τοῦ πυρὸς,
Τοῖς τηκομένοις τὴν μάνναν οὕτω κατάπασον
Κινῶν ἐπὶ πολὺ τῇ σπάθῃ τὸ φάρμακον,
Οὕτω ψυγέν τε καὶ μαλαχθὲν ἀποτίθου.
Ῥόδινόν τε ταύτῃ τῇ δυνάμει τὸ πρόσφατον
Πολὺ καταμίξας χρήσῃ καὶ πρὸς κοῖλ' ἄγαν,
Ἀσαρκά θ' ἕλκη καὶ τενόντων φλεγμονὰς,
Δυσμεταβόλως ἔχοντα πρὸς λευκόν θ' ὑγρόν.

Et hoc eodem prodit genere pharmacum,
Aliis licet speciebus ipsum præparent;
Affectus ad quos rettuli prorsus facit,
Summatim omnibus et crudis et quæ concoqui
Facile et mutari nequeunt, atque ingentibus
Vulneribus musculos quæ nostros affligunt,
Aut membranas; horum nam facile subvenit
Plagis. Arthriticis injectum item omnibus
Infestatas partes mulcet diutino
Dolore. Picis assumit quam siccissimæ
Libras duas, ceræque totidem Ponticæ;
Puræ terebinthinæ nec liquidæ duas libras;
Mannæque thuris veri unam pondo libram;
At selibram vel hoc pauxillulo minus
Albi recentis butyri pinguissimi.
Reliqua diu liquato tu, et quidem igne acri,
Assidue cernens, amplius ne pharmacum
Colore inficiat digitis contritum tuis:
Quibus peractis, sublata abs igne ollula,
Mannam liquatis inde sic adspergito,
Movens medicamentum diu rudicula;
Sic frigeratum et mollitum reponito.
Huic copiosumque et recens rosaceum
Contempera, cava atque ad carnis indiga
Adeo ulcera utere tendinumque phlegmonas,
Tum quæ non facile in pus mutantur candidum.

(Sec. gen. VII, P. II, p. 414 et 415.

ΑΚΟΠΩΝ ΣΚΕΥΑΣΙΑΙ.

Ὄντος δὲ πολλοῦ τοῖς φιλιάτροις λόγου
Ἀκόπων ἁπάντων χρήσεως καὶ μυρακόπων,
Φράσω, τίν' ἐστὶ ταῦτα καὶ πῶς ὠφελεῖ,
Πῶς τε καθ' ἓν αὐτῶν σκευάσαι δεῖ φάρμακον.
Ποιεῖ μὲν οὖν ἅπαντα πρὸς νεύρων πόνους,
Σαρκός τε πάσης καὶ μυῶν, ὅσων κόπος
Κατῆρξεν ἢ καὶ ψύξις, ἢ δίχ' αἰτίας
Φανερᾶς ἐγένετο· τοῖς δ' ὅμοι' ἀλγήματα
Καὶ δυσπαθείας δὲ φέρει ταῦτα πολλάκις
Τοῖς εὐαλώτοις ψύξεσίν τε καὶ κόποις,
Ἂν χρισάμενός τις πρότερον οὕτως ἐξίῃ
Ἐπὶ τὰς δι' ἀνάγκην τοῦ βίου λειτουργίας·
Σαρκοῖ τ' ἀτροφοῦντά τινα μέρη τοῦ σώματος,
Ἂν τις ἀναχρίῃ μετὰ τροφὴν τὰ πεπονθότα·
Καὶ δυσαναλήπτοις ἁρμόσει γέρουσί τε
Χειμῶνος αὐτοῖς χρωμένοις εἰς ἑσπέραν.
Ὅσα δὲ ποιεῖ τι τῶν ἀκόπων, διὰ ἑτέρων
Ἐροῦμεν, ὑποτάξαντες αὐτῶν ταῖς γραφαῖς,
Ἢ καὶ προθέντες τῆς γραφῆς τὸ χρήσιμον·
Νυνὶ δὲ φήσω πῶς τὸ πρῶτον δεῖ ποιεῖν·
Ἀμμωνιακοῦ [τε] μὲν γὰρ οὐγγίας δέκα·
Εἴτ' οὐγγίας ἐθέλει τις, εἴτ' ἄλλον σταθμόν·
Τὸ δ' αὐτὸ λιβάνου· χαλβάνης δὲ τέσσαρας·
Ἐλαφείου μυελοῦ τέσσαρας καὶ τέσσαρας·
Τῆς Ἀττικῆς πέμπουσι ταὐτὸν οἰσύπου·
Τερμινθίνης τε τῆς διαυγοῦς τέσσαρας·
Μέλιτος καλοῦ τε προσφάτου πάλιν δέκα·
Ἴσον τε τούτῳ Ποντικοῦ κηροῦ σταθμόν·
Στέατός τε χηνὸς προσφάτου μαλακοῦ δέκα·
Οἴνου Φαλερίνου πέντε κοτύλας, ἢ βραχὺ
Ἐλάττονας [γ'] ἢ καὶ βραχὺ δαψιλεστέρας·
Παλαιοῦ ἐλαίου τοῦ καλοῦ ὀκτὼ εἴκοσιν·
Πείρᾳ δὲ τοῦτο μὴ δυσῳδὲς προσβαλεῖν·
Οὕτω γὰρ ἔσται προσφιλὲς τοῖς χρωμένοις.
Σκεύαζε δ' οὕτως· ἐν θυείᾳ μείζονι
Λίβανον κατάθλασον εἰς βραχεῖς χόνδρους πάνυ,
Ἀμμωνιακὸν παραχέων οἶνόν τ' εὐθέως,
Ἀφεὶς τε ταῦτα διαβραχῆναι συμμέτρως,
Λέπινε τῷ δοίδυκι, καὶ μέλιτος πάχος
Ποιῶν, ἀποδίδου τὸ μέλι καὶ τὴν οἴσυπον
Καὶ τὸν ἐλάφειον μυελὸν, εἶτα ταῦθ' ἑνῶν
Ἐν τῇ θυείᾳ, τῆκε κηρὸν ἐν χύτρᾳ
Καὶ πᾶν ἔλαιον καὶ στέαρ καὶ χαλβάνην
Τερμινθίνην τε, καὶ τακῆναι πάντ' ἀφεὶς,
Κατὰ τῶν ἑνόντων τῇ θυείᾳ καταχέων,
Καὶ μικρὰ δοίδυκι κινήσας, ἵν' ὑποψυχῇ,
Ταῖς χερσὶν ἀνάτριβε τότε ταῦτα πάνθ' ὁμοῦ,
Ἕως ἂν ἑνωθῇ πάντα, καὶ μέλιτος λάβῃ
Γηροῦ καλοῦ τε τὸ πάχος· οὕτως ἀποτίθου
Εἰς κασσιτέρινον σκεῦος ἢ καὶ πύξινον,
Χρώμενος ἐπιμελῶς ὡς κρατίστῳ φαρμάκῳ.
Ἔστιν δὲ καὶ γυναιξὶ συμφορώτατον

ACOPORUM COMPOSITIONES.

Plurima medicinæ quum studiosi dictitent
Acoporum de usu myracoporumque omnium,
Hæc, quæ sient, dicam et quo conferant modo,
Quave ratione facias quodque pharmacum.
Ergo et dolores nervorum hæc omnia levant
Carnisque cunctæ et musculorum, originem
A lassitudine aut frigore si duxerint,
Absque evidenti causa aut si inchoaverint;
Hujus generis dolores et molestias
Crebro perferre oportet hos qui obnoxii
Sunt lassitudini admodum vel frigori,
Si uncti prius ita prodeant ad munia
Vitæ necessaria obeunda; corporis
Et carne partes pabulo indigas suo
Explent, perunctis assumpto a cibo locis.
Qui convalescunt ægre, hos et senes juvant,
Ipsis per hyemem ad vesperam linentibus.
Quæ faciat quodque acopum, alio vobis loco
Exponam, eorum usum descriptionibus
Vel subjungens vel præmittens passim quoque;
Nunc referam quo primum liceat facere modo:
Namque ammoniaci bis quinas quidem uncias,
Sive uncias mavult quis, seu pondus aliud,
Idemque thuris, at quaternas galbani,
Cervi medullæ bis tantundemque, œsypi
Parem modum deinde mittunt Attici;
Terebinthinæ pellucidæ quoque bis duas;
Mellis recentis optimi rursus decem;
Æqualem tribuunt ceræ Ponticæ modum;
Adipis recentis anseris mollis decem;
Vini Falerni quinque plusve heminas,
Aut panciores paulo injiciunt quoque;
Itidem olei veteris bis viginti boni;
Id autem graveolens numquam commiseris:
Sic namque fiet, gratum ut sit hoc utentibus.
Paratur sic: majusculo in mortario
Ubi thus in grumos perparvos confregeris
Et ammoniacum, vinum affundens protinus,
Hæc macerari dimittens mediocriter,
Tere pistillo, atque in mellis spissitudinem
Coactis addito mel una atque œsypum,
Cerviqne medullam atque in mortario tere;
Ac deinde cera in ollula liquescito
Oleoque toto juncta et adipi et galbano
Terebinthinaeque; hæc ut liquentur sic sinens,
Superfundens coeuntibus in mortario,
Spatha, ut refrigescant, tu paululum move;
Tum subigito tantisper hæc omnia manu,
Unita bene dum appareant, et humidi
Mellis bonique crassitudinem habuerint;
In stanneum vas condito vel buxeum,
Hoc sedulo utens optimo cen pharmaco.

Ὅσαις ἐγένετο φλεγμονὴ τῆς ὑστέρας
Τὰς σκληρίας φέρουσα, ἢ σκίῤῥου φόβον,
Ἐφ' ὧν κέλευε πεσσαρίῳ τὸ φάρμακον
Ἐγχρισθὲν οὕτω προστιθέναι ταῖς ὑστέραις.
Ποιεῖ δὲ τοῦτο καὶ πρὸς ὠτίων πόνους
Τοὺς χωρὶς ἕλκους, τοὺς σφοδροὺς δίχα ῥεύματος.
Σεργητικοῦ δὲ μίξον ἰρίνου μύρου
Μέρος τέταρτον ἢ τρίτον τῷ φαρμάκῳ,
Θερμῷ τε δεύσας ἔριον ἔνθες τῷ πόρῳ.

Est commodissimum et mulieribus quoque
Queis est oborta phlegmone intus uteri,
Duritias adducens, simul et scirrhi metum;
Tunc pessulo usurpare pharmacum jube
Litum, utero quod indere hoc solent modo.
Benefacit hoc idem ad dolores aurium
Expertium ulceris sineque fluxu graves.
Sergetici autem mittis irini unguinis
Aut portionem quartam aut trinam pharmaco
Calidoque lanam intinctam indas foramini.

Χλωράκοπον ἄλλο καὶ τοῦτο δραστικὸν πάνυ·
Διὸ ταῖς καταρχαῖς τῶν πόνων μᾶλλον ποιεῖ,
Ἀρθριτικοῖς τε καὶ ποδαγρικοῖς συμφέρει,
Πρὸ τῶν βαλανείων τριβομένοις τῷ φαρμάκῳ
Πόδας τε καὶ τὰ νεῦρα τὰ πεπαχυσμένα·
Οὕτω γὰρ ἔγνων γενομένους ὑγιεῖς τινας.
Ἔχει δὲ λιβανωτοῦ καλοῦ λίτραν μίαν·
Ἀμμωνιακοῦ θυμιάματος λίτρας δύο·
Ἀφροῦ νίτρου τε λευκοτάτου λίτραν μίαν·
Τὸ δ' αὐτὸ καθαρᾶς οἰσύπου τῆς Ἀττικῆς·
Σμύρνης τε χρηστῆς, χαλβάνης τῆς ἀξύλου,
Ὀποπάνακός τε τοῦ καθαροῦ, τούτων καθ' ἓν
Στήσας ἐπιμελῶς οὐγγίας δὶς τέσσαρας·
Εὐφορβίου τέσσαρας οὐγγίας τοῦ προσφάτου·
Ἴσας τε ταύταις τραχέος λιμνησίου·
Καλοῦσι τοῦτ' ἀδάρκην οἱ τὰ μίγματα
Ἐν Ἰταλίᾳ πωλοῦντες οἵ τ' ὠνούμενοι·
Κηροῦ σφόδρα καλοῦ Ποντικοῦ λίτρας δύο·
Τερμινθίνης τε τῆς καθαρᾶς δύ' ἥμισυ·
Δαφνίνου δ' ἐλαίου καὶ κυπρίνου καὶ γλευκίνου
Λίτραν ἑκάστου· ἰρίνου Σεργητικοῦ,
Παλαιοῦ τ' ἐλαίου, σχινίνου τε προσφάτου,
Τούτων ἑκάστου δύο πάλιν λίτρας σταθμῷ·
Ὄξους τὸ μέτριον. Τούτῳ καὶ τὰ μίγματα
Τὰ ξηρὰ τρίψας ἐπὶ τὸν αὐτάρκη χρόνον,
Λείοις ἐπιμελῶς προσβαλεῖς τήξας μύρα
Κηρόν τε χαλβάνην τε καὶ τερμινθίνην,
Ὀπόν τε πάνακος, τἄλλα θ' ὑγρὰ μίγματα·
Καὶ κατακενώσας θερμὰ καὶ ζέοντ' ἔτι
Κατὰ τῆς θυείας τῶν τ' ἐν αὐτῇ μιγμάτων,
Ἀνάτριβε τῷ δοίδυκι χειρί τ' εὐτόνως·
Καὶ πάνθ' ἑνώσας ἀποτίθου τὸ φάρμακον
Εἰς πυξίδ' οἵαν εἶπον ἔμπροσθεν βραχύ.
Θαῤῥῶν δ' ἐπὶ πάντων χρήσαι τῶν κεχρονισμένων.

Viridacopon aliud efficax supra modum,
Unde et laborum exordiis facit magis,
Arthriticis, podagricis quoque efficax;
Hoc ante balneas medicamento litis
Et pedibus et nervis incrassatis simul
Plures fuisse sanatos conspeximus.
Boni thuris habet hoc unam pondo libram,
Ammoniaci guttæ pondo libras duas,
Aphronitri candidissimi solam libram,
Tantumdem puriusculi Attici œsypi,
Myrrhæque lectæ et non lignosi galbani,
Opopanacisque puri, singulûm omnium
Octo uncias exacte perpendens libra,
Quatuor euphorbii recentis uncias,
His asperi pares dato limnesii;
Hoc nominant adarcen unguentarii
In Italia institores emtoresque item;
Ceræ admodum bonæ duo pondo Ponticæ,
Terebinthinæ tot puræ, semissem insuper,
Oleique laurini, cyprinique et gleucini,
Sergetici irinique singulûm libram;
Olei veteris, recentis quoque lentiscini
Cujusque rursum horum immittes pondo duo;
Aceti modicum, quo siccas species tere
Sat longo tempore contritisque sedulo
Liquata adde unguenta et ceram, terebinthinam,
Galbanum, opopanacem, itidem reliqua quoque liquida,
Calida atque adhuc ferventia in mortarium
Super medicamina quæ vas hocce continet
Conjicias, pistillo et manibus contere
Valenter. Unita omnia sic reponito
In pyxidem qualem dixi paulo prius.
Audacter inveteratisque omnibus utitor.

Καὶ τοῦτο δ' ἄκοπον εὐπόριστον καὶ καλὸν,
Καὶ χειμῶνος μάλιστα, ἔν τε ταῖς ὁδοῖς
Τοῖς εὐαλώτοις σφόδρα βοηθεῖν δυνάμενον.
Ἔχει δὲ καθαρᾶς χαλβάνης τρεῖς οὐγγίας·
Ὀποπάνακος δὲ προσφάτου οὐγγίαν μίαν·
Ἄνθους ἁλὸς τρεῖς· οἰσύπου δὲ τέσσαρας·
Ἀμμωνιακοῦ θυμιάματος καλοῦ λίτρας
Δύο κηροῦ τε λίτραν· πιτυΐνης πεφρυγμένης
Τῆς μὴ δυσώδους οὐγγίας δὶς τέσσαρας·

Et hoc parabile passis acopon item bonum,
Potissimum per hyemem, aut si profectio
Usquam est, malo opportunis facile subvenit:
Quod puri recipit galbani tres uncias,
Sed unam opopanacis recentis unciam,
Floris salis tres et quaternas œsypi,
Ammoniaci guttæ bonæ pondo libras
Octo atque ceræ unam, pityïnæ torridæ
Non fœtidæ quaternas bis pone uncias;

Λίτραν τ' ἐλαίου τοῦ Σαβίνου δὶς τέσσαρας,
Πλεῖόν τε τοῦ χειμῶνος ὡς λίτραν βάλε·
Οἴνου Φαλερίνου μέλανος οὐγγίας δέκα.
Σκεύαζε δ' οὕτως· ἐν θυείᾳ [μείζονι]
Ἀμμωνιακὸν κατάθλασον, εἶτ' οἶνον βαλών,
Διάβρεξον ὀλίγον, καὶ λεάνας ἐπιμελῶς,
Πρόσβαλλ' ἁλὸς ἄνθους καὶ τὸν οἴσυπον τότε·
Εἶτ' ἐκλεαίνων καὶ μέλιτος ποιῶν πάχος,
Τὰ τηκτὰ τήξας, ὕστερον τὴν χαλβάνην
Καὶ τὸν ὀποπάνακα προσβαλὼν τῆξον πάλιν,
Κατάχει τε τῶν ἔμπροσθεν λείων γεγονότων
Ἐν τῇ θυείᾳ καὶ καλῶς ἡνωμένων,
Οὕτω τε μίξας θερμὸν ἔτι τὸ φάρμακον
Ταῖς χερσ', ἀπόθου εἰς ὑελοῦν ἀγγείδιον.

Olei Sabini bis quaternas et libras,
Sed hyeme plus ceu libram oportet indere;
Vini Falerni nigri denas uncias.
Sic præparato : ammoniacum in mortario
Contunde amplo atque deinde vinum affundito;
Paulisper macera, curiose conterens,
Salisque florem adjice tunc atque œsypum;
Terens tum ac faciens mellis spissitudinem,
Liquatis colliquandis, inde galbanum
Opopanacemque adjunge et liquefac denuo;
Medicamentis post infunde in mortario
Quæ lævigaveras antea atque univeras,
Quemadmodum decet, et manibus miscens ita
Medicamen fervens conde vase vitreo.

Ἄλλο μυράκοπον δὲ τοῦτο τῶν ἄγαν καλῶν·
Ἡδὺ γὰρ ὑπάρχει καὶ βοηθεῖ δραστικῶς
Πρὸς τοὺς πόνους, οὓς εἶπον ἔμπροσθεν βραχύ.
Στακτῆς δ' ἔχει [τε] τῆς καλῆς τρεῖς οὐγγίας·
Ὀποβαλσάμου τρεῖς, καὶ μέλιτος τρεῖς Ἀττικοῦ,
Κηροῦ τε καθαροῦ Ποντικοῦ τρεῖς· Συριακοῦ
Μύρου δὲ κροκίνου οὐγγίας [τε] τέσσαρας·
Ἀμμωνιακοῦ δὲ λευκοτάτου, λείου θ' ἁλὸς
Δύ' οὐγγίας· μίαν καὶ ἓν μέρος [τρίτον]
Τερμινθίνης λευκῆς τε καὶ κεκαθαρμένης·
Τοῦ κιναμώμου δὲ καὶ [τοῦ] μαλαβάθρου λίτραν
Μίαν προσαπόδος καὶ μέρος λίτρας τρίτον·
Ἂν μὴ πάρῃ δὲ μαλάβαθρόν σοι κατὰ τύχην,
Πρόσβαλλε νάρδου ταὐτὸν τῆς Γαγγίτιδος·
Μύρον δὲ τοῦτο τῶν μετρίως ἐστὶν καλῶν,
Ἱκανῶς δὲ φαρμακῶδες, ὡς οὐκ ἄλλο τι·
Ἢ ταὐτὸν ὁμοίως Ἰρίνου Σεργητικοῦ,
Ἢ Κυζικηνοῦ, τοῦτο δ' ἀμαρακίνου μύρου·
Τούτοις δὲ χρῆσῃ, μὴ παρόντος, ὡς ἔφην,
Τοῦ μαλαβάθρου· μέτριον γὰρ οἶμαι μυράκοπον,
Οὐδέν [τ'] ἔλαττον ὠφελοῦν τοὺς χρωμένους.
Σκεύαζε δ' οὕτως· ἀναλεάνας ἐπιμελῶς,
Πρόσβαλλε τὸ μέλι καὶ λεάνας συμμέτρως,
Στακτήν τε μίξας καὶ ὀποβάλσαμον πάλιν
Λέαιν' ἐπιμελῶς, καὶ καθαρὰν τέρμινθίνην,
Κηρόν τε καὶ τὸ κρόκινον εἰς διπλοῦν βαλών
Ἀγγεῖον, ὕδατι τῆκε τὰ προειρημένα
Πυρὶ θερμαίνων δῆλον [καὶ] ἐν ἑτέρᾳ χύτρᾳ·
Τήξας δὲ ταῦθ', [οὕτως] παρέγχει μαλάβαθρον,
Καὶ πάνθ' ἑνώσας (ἑψήσας?) συμμέτρως, ὡς μήζέσαι
Βάσταζε τὸ διπλοῦν σκευάριον ἐκ τῆς χύτρας,
Ψύξας τ' ἐπιμελῶς καὶ ξύσας τὸ φάρμακον,
Προσεμβαλών τε τοῖς πρότερον εἰρημένοις
Ἐν τῇ θυίᾳ πάλιν λέαιν' ἕως καλῶς
Ἅπανθ' ἑνωθῇ καὶ γένηθ' ἓν φάρμακον.
Εἰ δέ ποτε βούλει ποιεῖν δραστικώτερον
Καὶ τοῦτο πρὸς τὰ νεῦρα τὰ κεχρονισμένα,
Καὶ τὰς διαθέσεις τάς τε τῶν μυῶν τάσεις,
Εὐφορβίου καλοῦ τε καὶ ἔτι προσφάτου

Myracopum aliud quod accensetur optimis :
Nam suavitatis plenum est; egregie juvat
Quos nominavi paulo affectus antea.
Stactæ bonæ receptat ternas uncias,
Opobalsami tres et mellis tres Attici,
Ceræque puræ Ponticæ tres, unguinis
Crocini Syriaci quoque quaternas uncias,
Ammoniaci quam albissimi et lævis salis
Sextantem, candidæ et puræ terebinthinæ
Unam unciam, atque partem ipsius tertiam,
Et cinnamomi, nec non malabathri quoque
Libram adde et partem libræ tertiam insuper;
Sin absit autem malabathrum forsan tibi,
Adjunge nardi tantundem Gangitidis;
Ad unguenta mediocria istud pertinet,
Abunde medicamentosum, ut nullum invenis
Aliud; vel irini tantum Sergetici,
Vel Cyziceni pondo, nempe amaracini;
His uteris, quum non adest quod diximus
Malabathrum; hoc arbitror moderatum myracopon,
Nihil minus sane auxilians utentibus.
Sic confit : accurate factum læve mel
Adjunge et stacten tritam modice misceas
Opobalsamumque ac rursum exacte contere,
Cera, crocino, terebinthina pura duplo
Injectis vasi, prædicta liquefacito aqua,
Igne calefaciens sed in alio caccabo,
Liquatis his malabathrum superinfundito,
Et cunctis unitis modice ut non ferveant,
Duplex depone vas protinus ex caccabo;
Exacte frigerato et raso pharmaco
Et supradictis addito, mortario
Tu lævigato denuo, donec probe
Cuncta uniantur fiantque unum pharmacum.
Voles at si ipsum reddere efficacius
Ad vitia nervorum diu durantia
Et musculorum item affectus diutinos,
Vel tensiones, euphorbii novi probi
Toti uncias duas admisce ponderi

Δύ' οὐγγίας τῷ παντὶ κατάμιξον σταθμῷ,
Τοῖς θ' ἁλσὶ καὶ τῷ μέλιτι τῷ τ' ὀποβαλσάμῳ
Συνεκλεάνας πρότερον αὐτάρκει χρόνῳ·
Οὕτω θ' ἑνώσας πάντα τὰ προειρημένα,
Εἰς πυξίδ' ἀπόθου, ἢ εἰς ἄγγος ὑελοῦν,
Ἀπὸ τῶν βαλανείων μᾶλλον αὐτῷ χρώμενος.

Cum saleque melleque insuper opobalsamo
Elævigatas, quo satis erit tempore;
Sicque omnia dicta in unum quum redegeris,
In pyxidem aut vas vitreum reponito;
A balneis in usum potius ducito.

Βασιλεῖ δὲ ποιῶν καὶ σεβάστῳ μυράκοπον,
Σκεύαζε ῥᾷστα τοῦτο καὶ χωρὶς πυρὸς,
Ἔχον ὀποβαλσάμου μέτρον ὡς τρεῖς οὐγγίας,
Καὶ τοῦ κρατίστου δὴ μαλαβάθρου οὐγγίας
Πεντεκαίδεκα· κινναμώμου τοῦ καλοῦ ταὐτόν·
Κηροῦ δ' ἀνόσμου λευκοτάτου δραχμὰς δέκα.
Σκεύαζε δ' αὐτό (οὕτω?)· μαλαβάθρου τρίτον μέρος
Καὶ κηρὸν εἰς ἐλάχιστα κατατετμημένον
Εἰς ἀργυροῦν ἔμβαλλε λεπτὸν φιάλιον·
Τήξας ἐφ' ὕδατος θερμοτάτου, ψύξας ξύσον,
Καὶ προσβαλὼν [τὰ] λεῖ' ἐν τῷ ὀποβαλσάμῳ
Καὶ κινναμώμῳ τρῖβε πάλιν, ἑνῶν ἅπαν,
Τό τε λοιπὸν αὐτοῖς μαλάβαθρον παρεγχέας,
Τρίβων ἕνωσον χερσὶν, οὕτω τ' ἀποτίθου
Εἰς ἀργυροῦν σκευάριον ἢ παχὺ ὑελοῦν·
Οὕτω γὰρ ἕξεις ἀσφαλῶς τὸ φάρμακον.
Τρίτον δὲ λίτρας προσβαλὼν Γαγγιτικῆς
Νάρδου, ποιήσεις γλυκύτερον τὸ φάρμακον
Καὶ κρεῖσσον πρὸς τὰς διαθέσεις τὰς προσφάτους
Σύγχρισμ'. Ἂν μὴ πάρῃ κινάμωμον, οὐ βαλὼν,
Ἕξεις ἐλαχίστως μεῖον, ἀλλ' ὅμως καλὸν
Καὶ παντὸς ἄλλου μυρακόπου κρεῖσσον πολύ.
Εἰ δ' αὐτὸ βούλει ποιεῖν δραστικώτερον
Πρὸς ἃς προεῖπον διαθέσεις, Ἀτλαντικοῦ
Εὐφορβίου πρόσβαλλε δραχμὰς τέσσαρας·
Ἔσται γὰρ οὕτως ἡδὺ καὶ δραστήριον,
Κἂν ᾖ δι' ὀλίγων μιγμάτων συγκείμενον.
Τινὰς δ' ἐπέγνων στέασι πολλοῖς χρωμένους,
Μυελοῖς τε πολλοῖς καί τινων ἀρωμάτων
Ὁποῖς τε καὶ μύροισι καὶ ἑτέροις τισὶν,
Οἷς πᾶσιν ἀμέλει χρησάμενος ἔγνων ὅτι
Ἀπειροκάλων τὰ τοιαῦτα καὶ μὴ κεκριμένων
Τὰ μίγματ' ἐστὶ τάς θ' ἁπλᾶς τούτων φύσεις.

Cum regi facies principive myracopon,
Perfacile vel para ignis sine commercio
Mensura opobalsami inde ternas uncias,
Et optimi malabathri quindecim uncias;
Et cinnamomi tantundem boni cape,
Ceræque non olentis candidissimæ
Denarios decem. Sic ipsum præpara:
Partem malabathri tertiam et ceram quoque
Concisam multa in frustula minutissime
Argentea phiala in tenui recondito.
Aqua calente plurimum ut liquaveris,
Ipsum refrigerato, deinde radito;
Tum lævia jungens rursus in opobalsamo
Et cinnamomo, totum contere uniens,
Quodque restat ipsis suprafundens malabathrum
Terens adunito manibus; sic condito
In vas argenteum, vitrum vel crassius;
Sic namque tuto habebis semper pharmacum.
At si trientem libræ addas Gangitidis
Nardi, medicamen reddes longe suavius
Præstantiusque ad vitia adhuc recentia
Synchrisma. Cinnamomum tibi ni suppetat,
Minimo pejus quidem habebis, attamen bonum
Alio omni et multo myracopo præstantius.
At si proponas id facere efficacius
Ad quos retuli modo affectus, Atlantici
Euphorbii junges quatuor denarios;
Nam sic erit suave nec inefficax,
Etsi medicamina pauciora continet.
Cognovimus quosdam uti multis pinguibus,
Medulla item multa, succis aromatum
Quorumpiam, unguentis, aliquibus et aliis;
Quibus contra usus, cognovi esse talia
Expertium boni qui non probaverint
Medicamina aut naturas horum simplices.

(Sec. gen. VII, P. II p. 421—423.)

Η ΘΗΡΙΑΚΗ.

Τὰς ἀντιδότους ἔχε προπαρεσκευασμένας
Πρὸς πάνθ' ἁπλῶς τὰ φαῦλα δηλητήρια,
Ὧν καὶ χάριν δοκοῦσιν εὕρεσιν λαβεῖν·
Καὶ τοῖς θανασίμοις ἀντιδώσεις φαρμάκοις,
Προδιδούς τι τοῖς ἔχουσιν ὑπόνοιάν τινα,
Μή τις κατὰ τροφὴν φάρμακον φαῦλον λάβῃ
Ἐπὶ τῇ τροφῇ τε. Προσφέρεσθαι δ', ὅταν δοκῇ
Ἀναιρετικόν τις μετὰ τροφὴν εἰληφέναι,

THERIACA.

Antidota præparata habere te decet
Contra feras omnes veneno pessimas,
Quarum reperta esse et videntur gratia:
His et venenis obvies letalibus,
Illi propinans ante cui metus subest
Ne quid veneni ceperit mistum cibis
Aut post dapes. Propinabis, hausisse ubi
Venenum post cibum malum quemquam putas,

Ἐμέσαντι πάντως τὴν προσενεχθεῖσαν τροφήν.
Καὶ δὶς δὲ διδόναι καὶ τρὶς αὐτὰς ἐπίτρεπε,
Ὅταν μένῃ σημεῖα φαύλων φαρμάκων.
Δώσεις δὲ καὶ τοῖς ἐντυχοῦσιν ἑρπετοῖς,
Τῶν ἰοβόλων τε θηρίων τοῖς δήγμασιν,
Ὕδρων, κεραστῶν, ἀσπίδων, καὶ διψάδων,
Καὶ τῶν ἐχιδνῶν, τῶν τε λυσσώντων κυνῶν·
Καὶ γὰρ τὰ τούτων ἐστὶ φαῦλα δήγματα·
Τῶν τ' ἐκ θαλάττης ἰοβόλων πάντων ἁπλῶς,
Καὶ τῶν τε λεπτῶν λεγομένων θηραφίων,
Σφηκῶν, μελιττῶν, σκορπίων, ἀνθηδόνων,
Φαλαγγίων τε θανασίμων καὶ μυγαλῆς,
Τῆς ἀντιδότου μὲν πλεῖον ἢ δραχμὴν μίαν
[Λεπτο]καρύου τὸ μέγεθος καὶ μικρῷ πλέον,
Κεκραμένων δὲ ζωρότερον κυάθων δέκα.
Οὐκ ἀρκέσει δὲ τοῖς κακῶς δεδηγμένοις
Ἅπαξ προσενεγκεῖν, ἀλλὰ διδόναι πολλάκις
Δεῖ τοὺς θέλοντας ἐξαλεῖψαι τοὺς φόβους.
Δίδου δὲ πρὸς πάντα τὰ πάθη καὶ τὰς νόσους
Ὅσαι φέρουσι τῷ χρόνῳ καχεξίας,
Τοὺς περιοδικοὺς πυρετούς τε καὶ [τὰ] ῥίγεα,
Μάλισθ' ὅσα μένει μετὰ πόνου πολὺν χρόνον,
Ἀποστάσεις φέροντα κυρίων τόπων,
Ταῖς πνευματουμέναις τε μήτραν ἢ κόλον,
Ὅσοι τε κύστιν ἢ νεφροὺς ἀλγήμασι
Χρονίοις ὀχλοῦνται, κἂν μεθ' ἑλκῶν ἢ λίθων.
Δώσεις δὲ καὶ τοῖς ἡπατικοῖς αὐτὰς καλῶς,
Ἀνάγουσί τ' ἐκ θώρακος αἷμα πολλάκις,
Καὶ τοῖς τρυγῶδες ἀναφέρουσι καὶ ὑγρὸν,
Ὅθεν ἂν φέρηται τοῦτο, κἂν ἐκ πνεύμονος·
Δίδου δὲ καὶ τοῖς ῥήγματ', ἢ καὶ σπάσματα
Ἐσχηκέναι λέγουσι τῶν ἐντός τινος·
Αἴρεις γὰρ αὐτῶν τοὺς πόνους καὶ τοὺς φόβους.
Προσενεκτέον δέ τοῖς τροφὴν μὴ ῥᾳδίως
Πέττουσι, κἂν λάβωσιν ὀλίγην παντελῶς,
Ἀεὶ δ' ἀποξύνουσι καὶ παραυτίκα·
Ὅσοις τ' ἀνάγκη δι' ἀποδημίας μακρᾶς
Χρῆσθαι πάνυ φαύλοις ὕδασι, καὶ τούτοις δίδου
Τῆς ἀντιδότου μὲν ὅσον ἄγειν τριώβολον,
Ὕδατος δὲ θερμοῦ τρεῖς κυάθους ἢ τέσσαρας
Πρὸ τῆς τροφῆς ὥραισι τρισὶν, ἢ πλείοσιν·
Τοῖς δὲ περὶ κύστιν ἐκ γλυκέος κεκραμένης,
Αἱμοπτυϊκοῖς τε καὶ στόμαχον ἡλκωμένοις.
Τοῖς ῥευματιζομένοις δὲ τὸν θώρακ' ὅλον
Δώσεις, ἀφέψων εἰς ὕδωρ δεσμίδιον
Πολίου, τὸ μὲν βέλτιστον ἢ τὸ Κρητικὸν,
Ἢ Σκυθικοῦ τὸ κρεῖσσον ἢ τοῦ Ποντικοῦ·
Θᾶττον στελεῖς γὰρ τὰς φορὰς τῶν ῥευμάτων·
Ἐν τρισὶ δὲ κυάθοις, ὡς προεῖπον, πρόσφερε.
Τινὲς δὲ καὶ τοῖς σφόδρα πονοῦσιν ὠτίον,
Ἀνέντες αὐτὴν ἐν γλυκεῖ τῷ Κρητικῷ
Εἰς τοὺς πόρους ἐνέθεσαν ἔριον διάβροχον.
Ἐχέτω δ' ὁ ποιεῖν ἀντίδοτον θέλων καλὴν
Πάντα μὲν ἀκρως τὰ μίγματα τάξηρασμένα,

Esca ingesta ejecta prius vomitus ope.
Bis illam terque præcipe ægrotis dari,
Donec veneni signa permanent mali.
Item valet antidotum reptilibus malis
Et bestiarum virulentis morsibus,
Hydri, cerastæ, dipsadis, itidem aspidis
Et viperæ et canis quem rabies occupat;
Sunt namque morsus horum valde noxii;
Obstat marinis omnibus beluis quoque,
Et quas minutas bestias vocant, apes,
Crabrones, vespas, scorpios, araneos
Mures, et perniciem quæ dant phalangia.
Antidoti autem plus quam denarium dabis,
Nux quantum [avellana] aut parumper amplius,
Mixtis meracioribus cyathis decem.
At morsibus malignis non satis semel
Offerre antidotum, sed dabis frequentius,
Si tu metus ex toto cures tollere.
Idem propina vitia adversus omnia et
Morbos qui spatio pravum præbent corpori
Habitum, ad febres redeuntes, rigores diu
Perstantes cum doloribus, abscessibus
Originem qui dant locorum principum;
Inclusumque utero flatum vel flatum coli,
Et quos vesica torsit vel renes diu,
Sive adsit ulcus, sive torqueat lapis,
Et si jecur negotium præbet; dabis
Rite frequenter sanguinem educentibus,
Et pectore fœculentum pus reddentibus,
Feratur undecunque, sit pulmo licet;
Præbebis etiam ruptis aut vulsis quibus
Intus vulsum aut ruptum quidquam esse dicitur;
Sic cura tristis sicque pelletur dolor.
Propinabis porro ægrotis qui non coquunt
Cibum, licet pauxillulum comeserint,
Acescunt verum queis quæcunque ingesserant.
Nec non propina quos cogit profectio
Longinqua aquis uti longe deterrimis;
His antidoti quantum pendet semidrachma
Aquæ calentis cyathis tribus aut quattuor
Horis ante cibum ternis des vel pluribus;
Vesica autem læsa, e vino dulci dabis
Antidotum temperatum; item dabis quibus
Sunt sanguinolenta sputa, stomachi aut ulcera;
Et totius quos fluxiones pectoris
Vexant, fasciculum polii decoquens aqua,
(Præstiterit autem Cretici vel Scythici
Aut Pontici potius, nam sistes rheumata)
Ternis, ut ante dixi, cyathis offeres.
Quidam doloribus permagnis aurium,
Dulci subigentes Cretico, meatibus
Lanam antidoti liquore irriguam collocant.
Porro antidotum bonum qui præparare vult
Is cuncta habeat medicamina arida probe,

Τὸν λεγόμενόν τε θηριακὸν πεπονημένον
Ἀρτίσκον οὕτω γεγονόθ' ὡς ὑποδείξομεν·
Ἔστιν γὰρ οὗτος τῶν καλῶν ἐκ μιγμάτων.
Λαβὼν ἐχίδνας τὰς ἀληθεῖς τοῦ θέρους
Τὰς ἀρτιθήρους τὰς μεγάλας ὡς εἴκοσι,
Μικρῷ τε πλείους· οὐ γάρ ἐστ' αὐτῶν πολύ,
Ὅ δεῖ λαβόντας σκευάσαι τὸ φάρμακον.
Τῶν μὲν κεφαλῶν ἀπόκοψον ὡς τρεῖς δακτύλους,
Μικρῷ τε πλείους τῶν ἀπὸ τῆς οὐρᾶς μερῶν·
Πρῶτον μὲν κεφαλὰς, εἶτα τὰς οὐρὰς τότε·
Τοῦτο δὲ ποιεῖν δεῖ, προσφάτων ζωσῶν τ' ἔτι·
Εἶτα περιδείρας ῥᾳδίως, ὡς ἐγχέλεις,
Ἔκβαλλέ τ' αὐτὸς καὶ τὸ λίπος αὐτῶν ἅπαν,
Πλύνας τε καθαρῶς, εἰς λοπάδιον ἐντίθει,
Ξηροῦ τ' ἀνήθου σύμμετρον δεσμίδιον,
Ὕδατος δὲ τἀρκοῦν παραχέας, ἕψει μέχρι
Ἡ σὰρξ ἀποστῇ ῥᾳδίως τῶν ὀστέων·
Τὸ λοπάδιον δὲ βαστάσας ἀπὸ τοῦ πυρὸς,
Τῶν ὀσταρίων τὴν σάρκα καθαρὰν ἀπόβαλε·
Στήσας ἰσοβαρῆ ταύτης ἀκριβῶς σταθμὸν
Τῆς σαρκὸς, ἄρτου τοῦ καθαροῦ τοῦ πυρίνου,
Πρόσμισγε καὶ λέαινε, παραχέων βραχὺ
Τοῦ ζωμαρίου, ποιῶν τε λεπτὰ πέμματα,
Ξήραινε, καὶ χρῶ θηριακοῖς ἀρτισκίοις.
Σκιλλιτικοὺς δὲ σκευάσεις οὕτω πάλιν·
Τῷ πυραμήτῳ σκίλλαν εὐμεγεθῆ λαβὼν
Λευκήν τε, κάθηρον πάντα τὸν ξηρὸν φλοιόν.
Πᾶσαν δὲ ῥίζαν τὴν ξυλώδη περίελε,
Σταιτί τε περιπλάσας ἔμβαλ' αὐτὴν εἰς ἰπνόν·
Ὅταν δὲ νομίσῃς πάνυ [εἶναι] καλῶς ὀπτὴν,
Τότε στήσας αὐτῆς ὅσον ἄγει λίτρας βάρος,
Ταύτῃ κατάμισγε λεπτοτάτῃ μίαν ἥμισυ
Λίτραν ἀλεύρου γεγονότος πεφρυγμένων
Ὀρόβων ἐπ' ὀλίγον, καὶ παραχρῆμα λεοτριβῶν,
Ποίησον οὕτω λεπτὰ πάνυ κυκλίσκια,
Ξηρά τε γινόμενα στῆσον ἢ ['στί] σοι φίλον
Βαλεῖν. Τοιοῦτον μίγμα γεγονὸς μὴ πάνυ
Τὴν θηριακήν τε λεγομένην ἀπορῆς, φράσω,
Ἥι καὶ λέγουσι τὸν Μιθριδάτην χρώμενον,
Ὅτ' ἐγένετ' αὐτῷ θανάσιμα πιεῖν φάρμακα
Ἅπασ' ἀνάγκη μετὰ τέκνων πολεμουμένῳ,
Αὐτὸν μὲν οὐ λαβεῖν τινος αἴσθησιν βλάβης,
Ξίφει δ' ἀναιρεθέντα περιγραφῆς τυχεῖν,
Τὰς δ' αὖ θυγατέρας ἀποβαλεῖν τῷ φαρμάκῳ.
Σκεύαζε δ' αὐτήν· σκιλλίνων κυκλισκίων
Δὶς εἴκοσι δραχμὰς καὶ ἑτέρας δὶς τέσσαρας·
Ἀρτισκίων δὲ θηριακῶν δὶς δώδεκα·
Μέλανός τε πεπέρεως καὶ ὀπίου καὶ μάγματος
Ξηροῦ πάλαι κληθέντος ἡδυχρόου μύρου,
Τῶν τ' ἐξ ἑκάστου μίγματος δὶς δώδεκα·
Ξηροῦ γλυκυῤῥίζης χυλοῦ δραχμὰς δέκα
Καὶ δύ' ἐπὶ ταύταις, καὶ ῥοδῶν ξηρῶν ἴσας,
Καὶ κινναμώμου, καὶ ὀποβαλσάμου καλοῦ,
Ἧς τ' Ἰλλυριοὶ πέμπουσιν ἴσας ἴρεως,

Et Theriacum elaboratum (sicut vocant)
Pastillum sic confectum, ut indicabimus;
Nam fieri debet medicamentis bonis.
Æstate grandes viperas tu bis decem,
Venator captas quas recenter attulit
Sumas, vel plures; namque parva copia
Inde adhibenda est antidotum qua præpares.
Quum præparas, tres digitos amputa caput,
Pauloque caudam magis, hanc post, illud prius
Detracta hinc cute ut anguillis facillime,
Totam eximes ipsarum pinguitudinem,
Ac postquam rite laveris, dimittito in
Patinam et mediocrem anethi fasciculum aridi,
Affuso aquæ quod ipsis sufficit, coque,
Donec caro relinquat ossa promptius;
Posthac ab igne patinam cum removeris,
Solam revulsis ossibus carnem legas;
Æquali carnem panis æquet pondere,
Panis triticeus purus ac tritus probe:
Huic paululum decoctionis jusculi
Fundens super, placentas tenues fingito;
Siccato et pastillis theriacis utitor.
At scillinos hoc rursus effinges modo:
Scillam sub messem magnitudinis bonæ
Albamque sumptam toto purga cortice,
Omnem eximens radicem lignosam undique;
In furnum pone tritici massa illitam,
Atque omnino coctam cum perfectissime
Putaveris, ejus libram unam sumito;
Huic adde sesquilibram subtilissimæ
Ervi farinæ paululum retorridi;
Tunc lævigа statim, tunc perparvas rotas
Fac, quas siccatas conde quo loco libet.
Ne sit mistura ignota tam gravis tibi
Theriacam quam dicunt, audi, jam proferam.
Hac usum quoque fuisse Mithridatem ferunt,
Quum bibere medicamenta cum necessitas
Noxia omnis bellanti cum liberis fuit;
Nullius ipse noxæ sensum pertulit,
Sed ense detruncatus vitam perdidit;
Gnatæ vero potu interierunt pharmaci.
Ipsam fac sic: scilliticorumque orbium
Drachmas viginti bis, alias bis quattuor;
Theriacorum orbium viginti quattuor,
Nigrique piperis, opii et sicci magmatis,
Quod hedychroa quondam vocabant unguina,
Bis singulorum duodecim denarios;
Radiculæ dulcis succi aridæ decem
Atque insuper duas, rosæ siccæ pares,
Et cinnamomi, ad hæc opobalsami boni
Atque ireos quam profert Illyria nobis,

Λευκοῦ τ' ἀγαρικοῦ, βουνιάδος τοῦ σπέρματος,
Τούτων ἑκάστου τὰς ἴσας δυώδεκα·
Καὶ σκορδίου ἐκ Κρήτης ἑνὶ τούτων ἴσον·
Σμύρνης, κρόκου, ῥᾶ, πετροσελίνου, στοιχάδος,
Ξηρᾶς καλαμίνθης, πενταφύλλου ῥιζίων,
Καὶ τοῦ πρασίου [δὲ] σπέρματος, τῶν σφαιρίων
Λευκοῦ πεπέρεως καὶ μακροῦ, τῆς Ἰνδικῆς
Νάρδου στάχυος, λιβάνου τε καὶ τερμινθίνης,
Κόστου τε λευκοῦ καὶ ἔτι δικτάμνου πόας,
Σχοίνου τε μὴ τῶν καρφίων, τοῦ δ' ἄνθεος,
Ξηροῦ τ' ἀβρέκτου ζιγγιβέρεως τὰς ἴσας,
Κασίας μελαίνης τοῦ φλοιοῦ, τούτων πάλιν
Δὶς τρεῖς ἑκάστου μίγματος δραχμὰς σταθμῷ·
Πολίου τε καὶ φοῦ Ποντικοῦ, καὶ θλάσπεως,
Χαμαίδρυός τε καὶ στύρακος, καὶ κόμμεως,
Καὶ γεντιανῆς, καὶ ἀκόρου, μήου τ' ἔτι,
Καὶ καρδαμώμου, καὶ μαράθρου τοῦ σπέρματος,
Ὑποκιστίδος χυλοῦ τε καὶ χαλκίτιδος
Ὀπτῆς, ὑπερικοῦ σπέρματος τοῦ Κρητικοῦ,
Χυλοῦ τ' ἀκακίας τῆς καλῆς ὑγρᾶς ἔτι,
Καθαρᾶς τε νάρδου Κελτικῆς, καὶ Λημνίας,
Χαμαιπίτυός τε καὶ ἄμμεως, καὶ σεσέλεως,
Ἀνισαρίου τε σπέρματος πεφρυγμένου,
Βότρυός τ' ἀμώμου, μαλαβάθρου φύλλων ἴσας,
Πάντων δ' ἑκάστου δύο δραχμὰς ῥ' ἐπεντίθει (?),
Καὶ βαλσάμου καρποῦ τε τὰς αὐτὰς δύο·
Τινὲς δὲ τούτων οὐ καλῶς ἀνὰ τέτταρας·
Ὀποπάνακος δὲ τοῦ δακρύου, καὶ χαλβάνης,
Δαύκου τε καθαροῦ σπέρματος τοῦ Κρητικοῦ,
Καὶ καστορίου, καὶ σαγαπηνοῦ [τοῦ] προσφάτου,
Κενταυρίου τε Κρητικοῦ μὴ προσφάτου,
Ἀριστολοχίας τε λεπτοτάτης ξηρᾶς καλῶς,
Τούτων πάλιν ἑκάστου δραχμὴν ῥ' ἐπεντίθει (?)·
Ἴσον τούτων θ' ἑνὶ στῆσον ἀσφάλτου καλῆς·
Τινὲς δὲ ἀνὰ δύο φασὶν ὅπερ οὐ βούλομαι·
Πολλάκι γὰρ αὐτῶν, ὡς ἔγραψ' ἐσκεύασα·
Οἴνου Φαλερίνου τοῦ καλοῦ τὸ σύμμετρον·
Μέλιτος δέκα λίτρας Ἀττικοῦ τοῦ προσφάτου.
Τούτων δ' ἃ μέν ἐστι σπέρμαθ', ἃ δὲ χυλοί τινων,
Ἃ δ' ἐστὶ φύλλα καὶ δάκρυα καὶ ῥιζία,
Ἐλάχιστα δ' αὐτῶν κἂν μετάλλοις γίνεται.
Χυλοὺς μὲν οὖν, δάκρυά [τε] καὶ μεταλλικὰ
Οἴνῳ λέαινε, καὶ μέλιτος ποιῶν πάχος,
Τὰ λοιπ' ἀποδίδου ξηρὰ πάντα μίγματα,
Κοπέντα καὶ σηθέντα λεπτῷ κοσκίνῳ,
Μίξας τ' ἐπιμελῶς αὐτὰ, παράχεον τότε
Ζέσας δὶς ἢ τρὶς τὸ μέλι, καὶ δεύσας πάλιν
Ἀποτίθου, φυλάττων μὴ ξυλίνοις ἀγγεσιν,
Μᾶλλον δ' ὑαλίνοις, κερατίνοις τε καὶ ἀργυροῖς,
Καὶ κασσιτερίνοις τε καὶ τοῖς κεραμίοις πυκνοῖς·
Δίδου τε πίνειν μήτε γεγονὸς ἀρτίως
Τὸ φάρμακον, μήτε πάλιν ἐξηρασμένον,
Ὅπερ εἰ γένοιτο διὰ τὸ μῆκος τοῦ χρόνου,
Πάλιν ζέσας πρόσβαλλε μέλιτος σύμμετρον,

Æquale pondus, agarici albi, seminis
Napi, uniuscujusque drachmas duodecim,
Et scordii tantundem Cretici addito;
Myrrhæ, croci, rheu, petroselini, stoechadis,
Siccæ calaminthæ, quinquefolii præter hæc
Radiculæ atque seminis marrubii,
Globorum piperis albi et longi, atque Indicæ
Nardi spicæ, thuris, nec non terebinthinæ
Costique candidi, dictamni herbæ, insuper
Junci florum, non festucarum, his compares,
Zingiberis aridi non humidi pares,
Et casiæ corticis nigræ adde denique
Bis singulorum ternas drachmas pondere;
Poliique et Pontici phu, nec non thlaspeos,
Chamædryos, præterea styracis, et gummi
Et gentianæ et acori, meique insuper,
Et cardamomi, dein fœniculi seminis,
Hypocistidis succi, tostæ chalcitidis,
Cretensis hyperici adde seminis, bonæ
Succi acaciæ humidæ, nardique Gallicæ
Puræ, sigilli Lemnii, chamæpitys,
Ameos, seseleos, seminis retorridi
Anisi, amomi uvæ, foliorum malabathri
Impone drachmas singulorum compares
Duas, et totidem balsami fructus quoque,
Sed non rite aliqui singulis dant quattuor;
Opopanacis lachrymæ, præterea galbani,
Daucique purgati Cretensis seminis,
Et castorei, sagapeni jungito novi
Centauriique Cretici, sed non novi,
Aristolochiæque tenuis siccæ probe,
Horum uniuscujusque fac unam drachmam;
Æquum statue pondus bituminis boni;
Duas huc quidam conferunt quod improbo;
Frequenter ipsam, veluti scriptum est, condidi;
Vini Falerni mediocrem modum boni;
Mellis recentis Attici libras decem.
Horum cum succi quædam sint, semina alia
Folia hæc, radices ista atque illa lacrymæ
Gignanturque in metallis haud compluscula,
Succos ergo cum lacrymis et metallicis
Teras vino usque ad mellis crassitudinem;
Immitte quæ supersunt arida omnia,
Postquam contusa et denso increta sunt cribro,
Mixtisque exacte addas mel quod deferbuit
Bis terve; deinde ubi rursus rigaveris,
Repone et serva vasculis non ligneis,
Sed vitreis, argenteisque et corneis
Et stanneis et fictilibus, densis tamen.
Da potioni non recens factum nimis,
Nec rursus medicamentum quod peraruit:
Sin id contingat longiorem propter moram,
Infunde mellis quod sat quodque ferbuit;

Συνεκλεάνας τ' ἐφ' ἱκανὸν τοῦτο χρόνον,
Εὔχρηστον ἕξεις τὴν ἄχρηστον τῷ χρόνῳ,
Πολλῷ δ' ἐλάττω τῆς κεκραμένης ἅπαξ.

(Antid. I, P. II, p. 437 et 438.)

Αἱ ὑπὸ Δαμοκράτους ἀντίδοτοι γεγραμμέναι.
Ἀντίδοτος ἣν φασι (?) Μιθριδάτειόν τινες
Τῶν σφόδρ' ἐπισήμων δραστικὸν [καὶ] φάρμακον
[Ὃ] πρὸς πᾶν πάθος πᾶσάν τε νόσον εἶπον ποιεῖν.
Σμύρνης Ἀραβικῆς Τρωγλοδυτίδος δέκα δραχμάς·
Κρόκου δέκ'· ἀγαρικοῦ δέκα· ζιγγιβέρεως
Δέκα· κινναμώμου δέκα [δραχμάς]· ναρδοστάχυος
Δέκα· λιβάνου δέκα· θλάσπεος [δραχμὰς] δέκα·
Καὶ σεσέλεως, ὀποβαλσάμου, σχοίνου τε καὶ
Στοιχάδος, κόστου, [καὶ] χαλβάνης, τερμινθίνης,
Μακροῦ πεπέρεως, καστορίου τε Ποντικοῦ,
Ὑποκιστίδος χυλοῦ τε καὶ στύρακος καλοῦ,
Ὀποπάνακος, καὶ μαλαβάθρου φύλλων νέου,
Πάντων ἑκάστου τὰς ἴσας δὶς τέσσαρας·
Κασίας μελαίνης ἑπτὰ [καὶ] πολίου ἑπτά·
Λευκοῦ πεπέρεως ταὐτὸ, σκορδίου τ' ἴσον·
Τοῦ Κρητικοῦ δαύκου τε ταὐτὸν σπέρματος·
Ἴσας δ' ἑνὶ τούτων βαλσάμου καρποῦ δραχμάς·
Καὶ κύφεως τὸν αὐτὸν ἑνὶ τούτων σταθμόν·
Τινὲς δὲ καὶ βδέλλιον ἐπί [τε] τούτοις (?) ἴσον·
Νάρδου καθαρᾶς δὲ Κελτικῆς, καὶ κόμμεως,
Καὶ πετροσελίνου, καὶ ὀπίου, μηκωνίου,
Καὶ καρδαμώμου, καὶ μαράθρου τοῦ σπέρματος,
Καὶ γεντιανῆς, καὶ ῥόδων φύλλων ἴσας
Ἀνὰ πέντε δραχμὰς, μικρὸν ἐπιῤῥεπέστερον·
Τοῦ Κρητικοῦ τε ταὐτὸ δικτάμνου μέρος·
Ἀνίσου τε καὶ ἀσάρου τε τρεῖς· κενταυρίου,
Ἀκόρου τε καὶ φοῦ, καὶ σαγαπηνοῦ τὰς ἴσας·
Ἀθαμαντικοῦ μήου τε καὶ τῆς ἀκακίας,
Σκίγκου τε γαστρὸς, ὑπερικοῦ τε σπέρματος,
Τούτων ἴσα πάντων ἀνὰ δύω καὶ ἥμισυ
Ὀλκὰς, οἴνου τὸ μέτριόν [τε] καὶ μέλιτος
Τὸ σύμμετρον, ὡς τάσδ' ὁμοίως οὕτως σκεύασον.
Τὸ κῦφι δ' οὐδὲν ἐστιν οὐδὲ μίγμ' ἁπλοῦν,
Οὐδ' αὐτὸ γῆ φέρει τις, οὐδ' ὀπίζεται·
Αἰγύπτιοι δὲ τοῦτο τῶν θεῶν τισιν
Ἐπιθυμιῶσι, σκευάσαντες ὡς φράσω.
Λευκὴν λαβόντες σταφίδα τὴν λιπαρωτάτην,
Αἴρουσι τόν τε φλοιὸν καὶ τὸ σπέρμ' ἅπαν·
Τὴν σάρκα δ' αὐτῆς λεοτριβήσαντες καλῶς,
Ἱστᾶσι δραχμὰς Ἀττικὰς δὶς δώδεκα·
Τερμινθίνης τε ταὐτὸ τῆς κεκαθαρμένης·
Σμύρνης τε δώδεκα· κινναμώμου τέσσαρας·
Σχοίνου δυώδεκα, καὶ κρόκου μίαν· βδελλίου
Ὄνυχος δραχμὰς τρεῖς· ἀσπαλάθου δύ' ἥμισυ·
Ναρδοστάχυος τρεῖς, καὶ κασίας τρεῖς τῆς καλῆς·
Καθαρᾶς κυπείρου τρεῖς δραχμάς· ἀρκευθίδων
Ἐκ τῶν μεγίστων καὶ λιπαρῶν ταύταις ἴσας·
Ἐννέα δὲ καλάμου τοῦ μυρεψικοῦ δραχμάς·

Namque ipsum postquam sic contriveris diu,
Utile fiet tibi quod corruperat dies,
At multo pejus certe quam mistum semel.

Antidoti a Damocrate memoriæ traditæ.
Antidotus quam Mithridatium quidam vocant,
Insigne valde medicamentum et efficax
Affectus omnes morbosque, ut dixi, juvans.
Myrrhæ Arabicæ Troglodyticæ drachmas decem,
Croci decem, agarici decem, zingibereos
Bis quinque, cinnamomi bis quinque, et decem
Spicæ nardi, thuris decem, thlaspi decem,
Seseleos et junci atque succi balsami
Et stœchadis, et galbani, terebinthinæ,
Costi, piperis longi, castorii Pontici,
Hypocistidis succi, dein styracis bonæ,
Opopanacis et folii recentis malabathri,
Horum cujusque bis quatuor drachmas capit;
Casiæ vero nigræ septem, et polii septem,
Piperis albi septem, tantundem scordii,
Dauci quoque Cretici tantundem seminum;
His pendet fructus balsami drachmas pares;
Æquale pondus cyphi prædictis dabis;
Sunt qui par bdellii velint adjicere;
Et gummi, atque repurgatæ nardi Celticæ,
Et petroselini, opii, dein meconii,
Et cardamomi, et seminum fœniculi,
Et gentianæ, foliorum tantum rosæ,
Cujusque drachmæ quinque aut paululum amplius,
Et Cretici dictamni æqualis portio,
Asari, centaurii atque anisi tres drachmæ,
Acorique phuque sagapenique tres drachmæ;
Athamantici mei deindeque acaciæ
Et scinci ventris, atque seminum hyperici,
Singula pendant duas cum dimidio drachmas;
Vini mellisque adjice quantum erit satis;
Sic omnia hæc simili modo tu præpara.
Simplex tamen non est cyphi medicina, nec
Ulla fert id terra aut plantæ ullius succus est,
Sed quosdam cum deos placant Ægyptii,
Hoc incendunt parantque quo dicam modo.
Albam passam capiunt uvam pinguissimam
Et corticem semenque totum huic eximunt;
Pulpam ipsius cum rite lævigaverint,
Viginti quatuor pendent drachmas Atticas;
Tantundem injiciunt ustæ terebinthinæ,
Myrrhæque duodecim, cinamomi quattuor,
Junci duodecim, croci unam, bdellii
Tres unguinis drachmas, atque aspalathi duas
Semis, spicæ nardi tres, casiæ tres bonæ
Puræ, cyperi tres, nec non et pinguium
Baccarum grandium juniperi drachmas tres;
Calami odori denarios indes novem,

Μέλιτος τὸ μέτριον· παντελῶς οἴνου βραχύ·
Βδέλλιον, οἶνον [καὶ] σμύρναν εἰς θυείδιον
Βαλόντες, εὖ τρίβουσιν, ὡς μέλιτος πάχος
Ὑγροῦ ποιῆσαι, καὶ προσαποδόντες μέλι,
Τὴν σταφίδα συντρίβουσιν· εἶτα λεῖα δὲ
Ἅπαντα καταμίξαντες, ἐκ τούτου κύκλους
Βραχεῖς ποιοῦντες, θυμιῶσι τοῖς θεοῖς.
Ῥοῦφος μὲν οὕτω δεῖν ἔφασκε σκευάσαι,
Ἀνὴρ ἄριστος ἐκτικός τ' ἐν τῇ τέχνῃ.
Ἔνιοι δὲ κιννάμωμον οὐ σχόντες βαλεῖν,
Μίσγουσι ταὐτὸ καρδαμώμου σπέρματος·
Χρῶνται δ' ὁμοίως τῇ πρὸ ταύτης συνθέσει·
Τινὲς δὲ καὶ τοῖς ἧπαρ ἢ τὸν πνεύμονα,
Ἢ καί τί γ' ἕτερον σπλάγχνον ἐξηλκωμένοις
Πίνειν διδόασιν ὡς δραχμὴν τοῦ φαρμάκου.

Ἄλλη σφόδρα καλὴ πρὸς φθισικοὺς κεχρονισμένους,
Τούς θ' αἷμ' ἀνάγοντας, καὶ πυρέσσοντας λάθρα,
Καὶ τοὺς ἔχοντας [τὸν] θώρακα ἀσθενῆ,
Καὶ πρὸς στομαχικοὺς, ἡπατικοὺς, νεφριτικοὺς,
Καὶ πρὸς ἃ προεῖπον πάντα, τοῖς τρυφερωτέροις
Μᾶλλον προσηνὴς, ἀλλ' ἧττον δραστική.
Ταύτῃ λέγουσι τὸν Σεβαστὸν ἡδέως
Χρησάμενον ὑγιᾶ γεγονέναι ἐν βραχεῖ χρόνῳ,
Πλευροῖς τε καὶ θώρακι δυσχρηστούμενον.
Ἔχει δὲ ψυλλίου τε καὶ κασίας κιβδᾶς,
Ναρδοστάχυός τε καὶ καθαρᾶς τῆς Κελτικῆς,
Καὶ κινναμώμου, καὶ κρόκου τοῦ προσφάτου
Ἀνὰ δώδεκα δραχμὰς, καὶ ὀποβαλσάμου δέκα·
Στακτῆς Ἀραβικῆς παχυτάτης ἑκκαίδεκα·
Σχοίνου τε λεπτῆς, Λημνίας τε τῆς καλῆς,
Ῥᾶ Ποντικοῦ τε, πηγάνου τε σπέρματος·
Τὸ δ' ἄγριόν ἐστι πήγανον κρεῖττον πολύ·
Καλοῦ τ' ἀμώμου, καὶ ῥόδων ξηρῶν ἴσον,
Λευκοῦ πεπέρεως, βουνιάδος τοῦ σπέρματος·
Ἔστω δὲ ἀγρίας τοῦτο, καὶ μὴ τῆς ἡμέρου·
Τούτων ἀνὰ δραχμὰς τέσσαρας· λιβάνου τε τρεῖς·
Ἴσον τε λιβάνου προσβαλεῖς τὸ Κρητικὸν
Δίκταμνον ἱκανῶς ξηρὸν, ἀλλὰ πρόσφατον·
Ταὐτό τε κυμίνου Θηβαϊκοῦ τοῦ σπέρματος.
Τὰ μὲν ἄλλα κόψας σῆθε λεπτῷ κοσκίνῳ·
Τὸ ψύλλιον δὲ μόνον εἰς ὅλμον ἐμβαλὼν
Κόψον πολὺ πλέον, ἵνα λάβῃς ὅσον θέλῃς··
Ἅπαν γὰρ αὐτὸ λεπτὸν ποιεῖν ἀδύνατον.
Σκεύαζε δ' οὕτω· τὴν καλὴν στακτὴν βαλὼν
Εἰς πλατυτέραν θυείαν, οἴνου παραχέων
Λιπαροῦ Φαλερίνου τὸ μέτριον, λέαινέ τε
Ἐπ' ὀλίγον αὐτὰ, καὶ ὀποβάλσαμον τότε
Μιγνύς· δίυγρον τοῦτο δ' ἐστὶ χρήσιμον·
Παρεμπάσσων τε τὰ ξηρὰ πάντα μίγματα,
Ἅφες δὲ ὀλίγον συμπιεῖν τὸ φάρμακον,
Τό τε μέλι ζέσας, δὶς ἢ τρὶς αὐτῶν κατάχεαι,
Ἐνῶν τε τὴν ἀντίδοτον ἀποθήσεις τότε
Εἰς πυξίδ' οἵαν εἶπον ἔμπροσθεν βραχὺ,
Διδοὺς ὁμοίως κἀπὶ τῶν αὐτῶν παθῶν.

Mellis modicum, vini pauxillulum quoque.
Tunc bdellium, vinum, myrrham in mortarium
Demittunt, lævigant, dum spissitudinem
Mellis liquidi accipiant, melle superaddito,
Uvam comminuunt; deinde facta lævia
Hinc, ut fiant pastilli, miscent omnia,
Sed parvi, atque inde diis urunt suffimina.
Rufus vir optimus et in arte exercitus
Illo parandum sane prodidit modo.
Quidam carentes cinnamomo ejus loco
Idem indunt pondus cardamomi seminis,
Utunturque ut priori mistura quidem.
At ulceratis jecore vel pulmonibus
Aut viscere alio nonnulli dant potui
Ex antidoto quantum pendet denarius.

Bona admodum; contra diuturnam tabem
Et sanguinem educentes et cæca febri
Pressos et imbecillo afflictos pectore,
Et quos stomachus, jecur, renes habent male,
Et omnibus quæ rettuli prius valet,
Delicatioribus magis blandum, efficax
At non æque; hac libenter Augustum ferunt
Usum brevi consanuisse tempore,
Affligeretur quum lateribus atque pectore.
Hæc suscipit rubentis casiæ, psyllii,
Nardi spicæ, purgatæ nardi Celticæ,
Et cinamomi, recentis insuper croci
Drachmas duodecim, opobalsami decem,
Myrrhæ Arabicæ stactæ longe crassissimæ
Bis octo; junci comminuti, et Lemniæ
Terræ bonæ, rheu Ponticæ, atque seminis
Rutæ, quam satius multo est sylvestrem indere,
Probique amomi, siccatæ tantum rosæ,
Et candidi piperis, et napi seminis,
(Hoc autem erit sylvestris, non domestici)
Horum omnium adsumas quatuor denarios,
Thurisque ternos, dictamni tres Cretici,
Sicci sed admodum, recentis seminis,
Cumini tantum Thebaïci; tunsa reliqua
Incerne subtili cribro, sed psyllium
Pilæ solum indas et multo plus tundito
Ut quantum vis sumas; nam comminui integrum
Numquam potest. At hac ratione præpara:
Stacten bonam ampliori indes mortario,
Vini Falerni pinguis fundens desuper
Parum, atque modice lævigato; opobalsamo
Mixto (perliquidum hoc commodum est), cuncta arida
Inspergens combibere parum antidotum sinas;
Mel fervefactum bis terve superfundito;
Ac uniens antidotum conde pyxide,
Qualem superius paulo tibi recensui;
Contra affectos eosdem eodem des modo.

Ἄλλη σφόδρα καλὴ πρὸς ἃ προεῖπον πάνθ' ἁπλῶς·
Φασὶν δ' ἀμείνω τήνδε πρὸς τὰ πνεύματα
Πολλοῖς χρόνοις λυποῦντα τὸν στόμαχον ποιεῖν,
Καὶ βορβορυγμοῖς τοῖς ἐνοχλουμένοις ἀεὶ
Τῶν ἐντέρων, κώλου τε καὶ τῆς γαστέρος.
Ποιεῖ δὲ καὶ γέρουσιν ὀξυωπίαν.
Τοῖς θηριοδήκτοις ἐστὶ συμφορωτάτη·
Σκεύαζε δ' αὐτὴν, ταῦτ' ἔχων τὰ μίγματα·
Τοῦ Κυρηναϊκοῦ καλοῦ δραχμὴν ὁποῦ,
Ἀκόρου τε καὶ φοῦ κἀστορίου τε καὶ ἀσάρου,
Καὶ καρδαμώμου σπέρματος καὶ κόμμεως,
Χυλοῦ τ' ἀκακίας, τῆς ἀρίστης ἴρεως,
Καθαροῦ σαγαπηνοῦ, ὑπερικοῦ τοῦ Κρητικοῦ
Τούτων ἑκάστου δύο δραχμὰς ῥεπέστερον*.
Ὀποβαλσάμου τε τοῦ διαυγοῦς τρεῖς δραχμάς·
Ὀποβαλσάμῳ δὲ ταὐτὸν ψυλλίου βάρος·
Λευκοῦ πεπέρεως, πετροσελίνου, Κελτικῆς
Στάχυός τε νάρδου, μαλαβάθρου φύλλου νέου,
Αἰθιοπικοῦ τε καὶ κυμίνου σπέρματος,
Ἀθαμαντικοῦ μήου τε κἀμώμου καλοῦ,
Μήκωνος, ὀπίου, γεντιανῆς, βαλσάμου
Στήσας ἑκάστου δραχμὰς τέσσαρας σταθμῷ,
Στύρακος σταγόνας δὲ πέντε καὶ τριώβολον·
Κόστου δὲ λευκοῦ, σεσέλεως καὶ θλάσπεως,
Κασίας μελαίνης πένθ' ἑκάστου δύ' ὀβολούς·
Σχοίνου τε πολίου ἀνὰ πέντε καὶ τριώβολον·
Καὶ Κρητικοῦ δὲ ταὐτὸ δικτάμνου πόας·
Ταύτης ἴσον πρόσβαλλε σκορδίου σταθμόν·
Μακροῦ πεπέρεως, καὶ λιβάνου, καὶ Λημνίας,
Σμύρνης, γλυκυρίζης, χαλβάνης, τερμινθίνης,
Ξηροῦ τε νήσσης αἵματος τοῦ προσφάτου,
Ὀποπάνακός τε καὶ μαράθρου τοῦ σπέρματος,
Ξηρῶν ῥόδων φύλλων, καὶ τῆς ὑποκιστίδος
Χυλοῦ καλῶς γεγονότος ἀγαρικοῦ τ' ἴσα·
Τοῦ Κρητικοῦ δαύκου τε καθαροῦ σπέρματος,
Ἀνισαρίου τε σπέρματος, σκίγκου τ' ἴσον·
Δὶς τρὶς ἑκάστου μίγματος βαλεῖς σταθμόν·
Καὶ [τοῦ] ζιγγιβέρεώς τε τοῦ ξηροῦ καλῶς,
Καὶ κινναμώμου καὶ κρόκου δὶς τέσσαρας·
Μέλιτος τοῦ χρηστοῦ τὸν διπλοῦν πᾶσι σταθμόν·
Οἴνου τε Χίου τοῦ καλοῦ τὸ σύμμετρον,
Ἢ τοῦ Φαλερίνου ταὐτὸ τοῦ χεχρονισμένου.
Σκεύαζε δ' αὐτὴν, ὡς προεῖπον δεῖν ποιεῖν
Τὴν θηριακὴν ἀντίδοτον ἔμπροσθεν βραχὺ,
Διδόναι θ' ὁμοίως πᾶσιν, ὡς κείνην ἔφην.

Δι' αἱμάτων ἀντίδοτος, ἣν φασίν τινες
Ἄμεινον ποιεῖν πρὸς τὰ δηλητήρια.
Ἔχει δὲ χηνὸς αἵματος ξηροῦ δύο,
Καὶ τρεῖς χελώνης τῆς θαλασσίας ὀραχμάς·
Τὸ δ' αὐτὸ νήσσης, καὶ ἐρίφου τρεῖς τὰς ἴσας·
Νήσσης δ' ἄμεινον αἷμα θηλείας δοκεῖ·
Στακτῆς Ἀραβικῆς παχυτάτης ὀραχμὰς δέκα·

Alia admodum bona ad quæ prædixi omnia;
Ad flatus prædicant agere hanc diutinum
Per tempus qui infestant stomachum præstantius,
Ad strepitus intestina adsidue qui affligunt
Et colum et ventrem; visum affert senibus acrem,
Et morsis a feris est utilissima.
Antidotum his simplicibus medicamentis para:
Cyrenaïci boni succi indito drachmam,
Deinde acori, atque castorii, atque acari, atque piu,
Et cardamomi seminis atque gummeos,
Succique acaciæ, præstantissimæ iridis,
Puri sagapeni, hyperici nec non Cretici
Propensa lance injicite drachmas duas;
Opobalsami denarios tres lucidi;
Huic pondus æquale indendum etiam psyllii,
Albique piperis, petroselini, Celticæ
Nardi, et spicæ, malabathri foliorum novi,
Æthiopici nec non cumini seminis,
Meique Athamantici, atque amomi post boni,
Papaveris succi, gentianæ, balsami,
Cujusque pones drachmas pondere quattuor,
Guttarum styracis drachmas quinas et obolos
Tres, costi candidi, seseleos, thlaspeos,
Nigræque casiæ, singulorum mittito
Denarios quinque duos obolos insuper,
Junci rotundi, polii quoque denarios
Quinos tres obolos, dictamni tot Cretici;
Æquale dictis pondus optat scordii,
Longi piperis, thuris et terræ Lemniæ,
Myrrhæ, glycyrhizæ, galbani, terebinthinæ
Et sanguinis sicci anatis occisi recens,
Opopanacis, nec non fœniculi seminis,
Siccarumque rosarum foliorum, hypocistidos
Expressi pulcre succi, deinde agarici,
Daucique Cretici purgati seminis,
Anisi seminis, scinci, denarios
Medicaminis cujusque bis tres pendito;
Et zingiberis siccati rite, atque croci,
Et cinnamomi octonos fac denarios;
Mellis probati pondus duplex indito
Cunctis bonique vini Chii quod satis,
Falerni aut veteris tantundem conjungito.
At confice ipsum, ut antea prædiximus
Parandam antidotum theriacen; contra omnia
Eodem ac altera administranda est modo.

Ex sanguinibus alia quam quidam prædicant
Venena adversus efficacius dari.
Hæc recipit: anserini sicci sanguinis
Drachmas duas, marinæ tot testudinis,
Item tot anatis, nec non hœdi sanguinis
(Videtur autem melior anatis fœminæ),
Stactæ Arabicæ crassissimæ drachmas decem,

Ναρδοστάχυός τε τὰς ἴσας σμύρνῃ δραχμάς·
Καὶ κινναμώμου τοῦ καλοῦ δὶς τρεῖς δραχμάς·
Ῥόδων δὲ φύλλων ξηροτάτων δὶς τέσσαρας·
Σχοίνου, λιβάνου, κόστου μίαν ἑκάστου δραχμὴν,
Καὶ τρεῖς ἀμώμου· πεπέρεως λευκοῦ τὰς ἴσας·
Καὶ τοῦ μακροῦ δὲ πεπέρεως μίαν ἥμισυ,
Κρόκου δὲ δώδεκα, καὶ κασίας δὶς τέσσαρας·
Ῥίζης τριφύλλου πέντε· πολίου τὰς ἴσας·
Ὀποβαλσάμου τρεῖς· πετροσελίνου τέσσαρας·
Ἀρκευθίδων τῶν λιπαρῶν, καὶ ἀκόρου δύο·
Ῥᾶ Ποντικοῦ, μήου τε, δικτάμνου δύο,
Τουτέστιν ἀνὰ δύο· φοῦ τε τὰς αὐτὰς δύο·
Ἀμμωνιακοῦ θ' ὡσαύτως θυμιάματος,
Μαράθρου δραχμὰς δύ'· ἀγαρικοῦ δύ' ἥμισυ·
Τρεῖς τοῦ πετραίου πηγάνου· δαύκου δύο·
Ἀνισαρίου τε καὶ ἀσάρου μίαν ἥμισυ·
Ἴσον ἄμμεως τούτοις, [τε] καὶ τούτοις πάλιν
Ἴσον κυμίνου Θηβαϊκοῦ τοῦ σπέρματος·
Καὶ τρεῖς δραχμὰς βουνιάδος ἀγρίας σπέρματος·
Τούτοις προσαπόδος πέντε σκορδίου δραχμάς·
Τὸ Κρητικὸν δ' ἄμεινον, ὡς προείπομεν·
Μέλιτος ἅπασι τοῦ καλοῦ διπλοῦν σταθμόν.
Ἅπαντα λεπτὰ λεῖα τὰ προειρημένα,
Ἐφθῷ τε [καὶ] τῷ μέλιτι δεύσας ἀποτίθου.

Ἀντίδοτος, ἣν φασιν οἱ νεώτεροι Χάρμην·
Θεραπεύει δὲ διαθέσεις [τὰς] κεχρονισμένας,
Ἃς οὐδὲν ὠφέλησεν ἕτερα φάρμακα.
Σμύρνης ἔχει δὲ τῆς καλῆς, ὀποβαλσάμου,
Ὑποκιστίδος χυλοῦ τε καὶ λιβάνου καλοῦ,
Ὀποπάνακος καθαροῦ τε καὶ νέου κρόκου,
Τούτων ἑκάστου μίγματος δυοκαίδεκα·
Κόστου δὲ λευκοῦ, καστορίου τε Ποντικοῦ,
Τερμινθίνης τε τῆς καθαρᾶς, σχοίνου τ' ἴσον
Πάλιν ἐξ ἑκάστου μίγματος δὶς τέσσαρας·
Βότρυος ἀμώμου τέσσαρας, πολίου τ' ἴσας,
Καὶ κινναμώμου τέσσαρας πάλιν καλοῦ·
Δὶς τρεῖς δὲ δαύκου Κρητικοῦ τοῦ σπέρματος·
Τὸ δ' αὐτὸ δαύκῳ σεσέλεως τοῦ σπέρματος·
Κασίας δὲ κιρρᾶς τοῦ φλοιοῦ δὶς ἐννέα·
Καὶ πετροσελίνου σπέρματος ταύταις ἴσας·
Μακροῦ πεπέρεως προσφάτου δὶς δώδεκα·
Τὸ γὰρ παλαιὸν σητοκόπον εὑρίσκεται·
Λευκοῦ δέκα δραχμάς· χαλβάνης καθαρᾶς δέκα·
Ναρδοστάχυος δὲ τῆς καλῆς ἑκκαίδεκα·
Δὶς δ' εἴκοσιν καὶ πέντε Κρητικοῦ καλοῦ
Καὶ προσφάτου πρόσβαλλε σκορδίου δραχμάς·
Τριπλοῦν δὲ μέλιτος πᾶσι τοῖς ξηροῖς βάρος.
Σκεύαζε δ' αὐτὸν, ὡς προεῖπον σκευάσαι
Ἄλλας τε δυνάμεις, καὶ διδοὺς αὖτως πάλιν.
Ταύτην ἐπώλει Χαρμὶς Ἀττικῶν δραχμῶν
Δὶς πεντακοσίων, οὐδ' ὅλην λίτραν διδούς,
Ἐδόκει δὲ χάριτα διδόναι τοῖς ὠνουμένοις.
Τῶν δ' ἀξιοπίστων Χαρμίδος τις γνωρίμων

Nardi spicæ pares myrrhæ et denarios,
Et cinnamomi drachmas bis ternas boni,
Rosæ foliorum siccatæ bis quattuor,
Junci rotundi, thuris, costi unam drachmam
Cujusque, amomi tres, et piperis candidi,
Verum longi piperis indas sesquidrachmam,
Croci duodecim, casiæ bis quattuor,
Quinas trifolii radicis, polii pares,
Opobalsami tres, petroselini quattuor,
Et pinguium juniperi baccarum et asari,
Rheu Pontici, meique, dictamni duas,
Hoc est cujusque binas, phu simul duas,
Ammoniaci suffiminis drachmas duas,
Fœniculi tot, agaricique sesquitertiam,
Saxatilis rutæ ternas, dauci duas,
Anisi seminis, asari sesquidrachmam,
Tantum ammeos, atque his rursus cunctis idem
Cumini seminis Thebaici injicito;
Napi sylvestris seminis tres indito;
Et scordii superaddito his quinas drachmas;
At Creticum præstat, ut supra diximus;
Mellis probati duplex pondus indito.
Contrita cuncta quæ prædiximus nuper
Et mersa cocto melle vasis condito.

Antidotus quam recentiores nominant
Charmen; diutinis prodest affectibus,
Ad quos nil profuerant alia medicamina.
Myrrhæque continet bonæ, atque opobalsami,
Hypocistidis succi, nec non thuris boni,
Opopanacis purgati, item croci boni,
Cujusque istorum duodecim denarios;
Costique candidi, castorii Pontici,
Terebinthinæ puræ, junci teretis pares,
Medicaminis cujusque rursus quattuor,
Uvæque amomi quattuor, polii pares,
Et cinnamomi quattuor rursus boni,
Et Cretici dauci bis ternos seminis;
Par pondus dauco recipit seseli seminis,
Et corticis casiæ rubentis bis novem,
Et petroselini seminis drachmas pares,
Longi piperis viginti quattuor novi
(Nam quod vetustum carie absumptum repperis),
Albi decem, purgati galbani decem,
Nardi spicæ senas bonæ et drachmas decem,
At bis viginti quinos Cretici boni,
Nec non recentis scordii denarios,
Sed mellis siccis pondus triplum adde omnibus.
Para hanc quo medicamenta alia docui prius
Modo parare, eodem propina modo.
Hanc Charmes auctor bis quingentis Atticis
Vendebat drachmis, nec totam libram dabat,
Gratisque emptoribus videbatur dare.
Et Charmidis familiaris dignus fide

Ταύτην ἔφασκε τὴν γραφὴν δοκιμωτάτην.
Νάρδου δὶς ὀκτὼ στάχυος Ἰνδικῆς δραχμάς·
Σμύρνης τε χρηστῆς, καὶ ὀπίου, μηκωνίου,
Ὑποκιστίδος τε χυλοῦ, καὶ ὀποβαλσάμου,
Ὀποπάνακός τε τοῦ καθαροῦ καὶ προσφάτου,
Καὶ καστορίου [τε] καὶ λιβάνου πάντων ἴσα
Ἀνὰ δώδεκα δραχμάς· τέσσαρας δὲ χαλβάνης·
Τερμινθίνης τε πέντε· πολίου τέσσαρας·
Κασίας μελαίνης τῆς καλῆς δὶς τέσσαρας·
Λευκοῦ πεπέρεως δύο δραχμάς· μακροῦ μίαν
Καὶ δύ' ὀβολούς· κρόκου δὲ Κωρυκίου δέκα·
Μίαν δὲ πρὸς ταύταισι καὶ δὶς τέσσαρας
Σχοίνου πάνυ λεπτῆς· τοῦ τ' ἀμώμου τέσσαρας·
Δύο κινναμώμου· σεσέλεως δραχμὰς δύο·
Δαύκου δραχμὰς ἓξ σπέρματος τοῦ Κρητικοῦ·
Καὶ πετροσελίνου σπέρματος δὶς ἐννέα·
Δὶς τέσσαρας δὲ σκορδίου κόμης δραχμάς·
Βδέλλης ὄνυχός τε τῆς διαυγοῦς ὡς δραχμήν·
Μέλιτός τε λίτρας πέντε καὶ μικρῷ πλέον.
Σκεύαζε δ' οὕτως· προδιαλύσας τοὺς ὀποὺς
Τῷ μέλιτι θερμῷ, τήν τε ῥητίνην καλῶς,
Τὰ ξηρὰ πάντα παραπλάσσεις σεσησμένα.
Οὕτω δ' ἑνώσας πάντα δώσεις Ποντικοῦ
Καρύου τὸ μέγεθος τοῖς ὀφείλουσιν λαβεῖν.

Ἐφεκτικὴν δ' ἀντίδοτον εἰ βούλει ποιεῖν
Αἵματος ἄνω τε καὶ κάτω πολλοῦ φορᾶς,
Ταύτην ἀκριβῶς [συ]σκευάσας ἕξεις καλήν.
Κρόκου Κιλικίου τοῦ καλοῦ καὶ προσφάτου
Δραχμὰς δὶς ὀκτὼ, καὶ ὀπίου, μηκωνίου,
Λιβάνου τ' ἀτμήτου, καὶ καθαρᾶς σμύρνης ἴσον,
Πάντων πάλιν ἑκάστου δραχμὰς ἑκκαίδεκα·
Φλοιοῦ δὲ ῥίζης μανδραγόρου δὶς τέσσαρας·
Ὑοσκυάμου δὲ σπέρματος τρὶς τέσσαρας·
Τρὶς δύο δραχμὰς μηκωναρίου τοῦ σπέρματος·
Τρεῖς κινναμώμου τοῦ καλοῦ δραχμὰς σταθμῷ·
Ῥοὸς δὲ χυλοῦ Παταρικῆς, ἢ Συριακῆς
Τρὶς εἴκοσι πέντε καὶ ἑτέρας δὶς δώδεκα·
Σκεύαζε δ' οὕτως· τὸν κρόκον κεκαθαρμένον
Ἀπόβρεχε δ' οἴνῳ Κρητικῷ λευκῷ γλυκεῖ·
Δίδου τὸ πλεῖστον ἡμέρας δύ'· ὅταν ἴδῃς
Μαλακὸν ἄγαν, εὔτριπτον, εἰς ἴγδιν βαλὼν,
Λέαινε τῷ δοίδυκι, καὶ λεῖον ποιῶν,
Πρόσβαλλε τὸν ὀπὸν τόν [τε] λίβανον τῇ σμύρνῃ·
Χυλὸν δ' ὁμοίως κατ' ἰδίαν τὸν τῆς ῥοὸς
Διάβρεχε καὶ πρόσβαλλε τοῖς εἰρημένοις·
Καὶ πάλιν ἑνώσας λεῖα καὶ σεσησμένα,
Τὰ λοιπὰ πάντα προσαποδώσεις μίγματα·
Ἔφθοῦ τε μέλιτος Ἀττικοῦ βαλὼν βραχὺ,
Πάλιν λεάνον, ὡς γενέσθ' ἓν φάρμακον.
Ἐκ τῆς θυίδος εἰς ἀγγεῖον ὑαλοῦν
Καὶ κασσιτέρινον μετακόμιζ' ἡνωμένον.
Δίδου δὲ τοῖς μὲν ἐκ φάρυγγος καὶ γαστρὸς
Ἀνάγουσι, καὶ θώρακος, ἔτι δὲ πνεύμονος

Hanc scripturam dicebat præstantissimam:
Nardi spicæ Indicæ octo bis denarios,
Myrrhæ probæ nec non opii, meconii,
Hypocistidis succi, deinde opobalsami,
Opopanacis puri recentis insuper,
Et castorei atque thuris, omnium pares
Duodecim drachmas, quaternas galbani,
Terebinthinæ quinas, poliique quattuor,
Bonæ sed nigræ cassiæ bis quattuor,
At albi piperis binos, longi unam drachmam
Obolos duos, et Corycii croci decem,
Et junci perquam comminuti octo drachmas
Unamque insuper, amomi drachmas quattuor,
Duas cinamomi, seselis totidem seminis,
Sex Cretici dauci, novenas seminis
Bis petroselini, scordii bis quattuor
Drachmas comæ, atque bdellii unguis lucidi
Drachmam; mellis libras quinque et paulo magis.
Hoc pacto præpara: succos solve prius
In melle calido et resinam fusam probe;
Cribrata cuncta aliis asperges arida.
In unitatem sic coactis omnibus,
Ad magnitudinem tunc Ponticæ nucis
Hanc antidotum propinabis quibus est opus.

At si voles tibi antidotum componere
Quæ sanguinis supra infraque arcet impetum,
Hanc præparato exacte; habebis optimam.
Croci Cilicii tum recentis, tum boni
Denarios bis octo, opii, meconii,
Thurisque non secti, puræ myrrhæ pares,
Cujusque rursus sedecim denarios;
At mandragoræ radicis corticis drachmas
Bis quattuor, bis sex alterci seminis,
Papaveris sex seminis denarios,
Ternas boni cinamomi drachmas pondere,
Sed succi Patarici vel Syriaci rhois
Viginti quinque ter drachmas atque insuper
Duodecim bis. Sic para: mundum crocum
Perfunde vino dulci et albo Cretico,
Duos sinens una dies ut plurimum;
Quum molle cernas et fragile, mox inditum
Mortario, pistillo subige et læviga;
Tum demum myrrhæ thus opiumque adjicito;
Rhois succum solum perfunde similiter,
Et commemoratis medicamentis addito;
At unione facta læviga et cribro
Medicamina injecta immitte reliqua omnia;
Et cocti mellis Attici pauxillulum
Injice et tere iterum, unum ut fiat pharmacum.
Contemperatum pariter ex mortario
In vas aut vitreum transfunde aut stanneum.
His subministrato qui ventre aut gutture
Rejiciunt aut pectore vel pulmonibus

Τριωβόλου τὸ πλῆθος, ἢ μικρῷ πλέον,
Ἐν τρισὶ κυάθοις [τοῦ] κράματος κεκραμένου,
Οἴνου δ' ἀπὸ μύρτων καὶ ὕδατος τοῦ παγολύτου.
Τοῖς ἀπὸ νεφρῶν οὐροῦσιν, ἢ τῆς κύστεως
Δίδου πλέον τε φαρμάκου κεκραμένου.
Ἀπὸ νήστεως τε καταφέρουσι καὶ κόλου
Λεπτῶν τε πάντων ἐντέρων τῆς θ' ὑστέρας
Τοῦ φαρμάκου δίδου μὲν ὡς δραχμὴν μίαν·
Δι' ὕδατος ὀμβρίου δὲ τοῖς πυρουμένοις·
Τοῖς ἀπυρετοῦσι δὲ καὶ διὰ κράματος δίδου,
Ἤτοι δ' ἀπὸ μύρτων, ἢ γλυκέος τοῦ Κρητικοῦ.

Εἰ δέ τις ἔχειν βούλοιτο μὴ πολυμίγματον
Ἀντίδοτον, ἀλλ' ἔχουσαν ὀλίγα μίγματα,
Ταύτην ἀκριβῶς [συ]σκευάσας, ἕξει καλὴν
Πρὸς τοὺς ἀτόνους στομάχους τε καὶ ἀνωρέκτους,
Καὶ τοὺς καχέκτας, τούς τ' ἀπεπτοῦντας ταχὺ,
Πρὸς πᾶν θ' ἁπλῶς ἄλγημα κυρίου τόπου
Κεχρονισμένον τε καὶ κατασκευὴν ἔχον.
Ταύτῃ Τιβέριον τὸν Σεβαστὸν χρώμενον
Λέγουσιν, ἄλλην μὴ πεπωκέναι ποτέ.
Ἔχει δὲ μέλανος πεπέρεως πέντ' οὐγγίας,
Κροκομάγματος πεντεκαίδεκα, καὶ ῥόδων δέκα.
Σεσησμένα ταῦτα πάντα μέλιτ' ἀναλάμβανε.

Ἄλλη ποιοῦσα ταὐτὰ τῇ προγεγραμμένῃ·
Ἔχει δὲ ῥόδων μὲν οὐγγίας δὶς τέσσαρας.
Κεκομμένα ταῦτα πάντα καὶ σεσησμένα
Ἀναλάμβαν' ἐφθῷ μέλιτι τῷ λίαν καλῷ.
Δίδου [τοῦ] καρύου τὸ μέγεθος τοῦ Ποντικοῦ
Μετ' οἰνομέλιτος, ἢ μελικράτου προσφάτου
Ἡψημένου καλῶς τε καὶ ἀπηφρισμένου.
Τοῖς θηριοδήκτοις, ἢ τὰ δηλητήρια
Πεπωκόσι προσένεγκε καρύου τὸ μέγεθος
Τοῦ βασιλικοῦ μεθ' ἑπτὰ κυάθων κράματος.

Quod ternos obolos pendet, aut paulo amplius,
Ex ternis cyathis vini quod contemperas
E myrteo vino et glaciem solvente aqua.
Sed qui remittunt ex vesica aut renibus,
Magis antidotum iis temperatum porrige.
Si vero sanguis e jejuno vel colo,
Aut ex utero, aut ex intestinis tenuibus,
Fluat, denarium dabis medicaminis;
Quodsi febre affligantur, e cœlesti aqua;
Si non febricitent, diluto vino dabis
Vel myrteo, vel etiam dulci Cretico.

Antidotum si quis non constans e pluribus,
Sed pauculis medicaminibus habere vult,
Hac præparata, exacte sentiet bonam
Stomacho infirmo, vel si cibum non appetant,
Habituique malo aut escàm si sæpe non coquant,
Quid multa? si dolores principem locum
Longi vexent et qui radices fixerint.
Hac usum Tiberium imperatorem ferunt
Antidoto potasse aliam nullo tempore.
Assumit piperis nigri quinas uncias,
Crocomagmatis quinas decem, rosæ decem.
Hæc omnia cribro injecta melle assumito.

Alia antidotus idem quod prædicta faciens;
Habet rosarum quattuor bis uncias.
Hæc comminuta cuncta et increta cribro
Cocto melle excipiuntur præstantissimo.
Ad magnitudinem tunc Ponticæ nucis
Da cum mulso vel cum recenti mulsa aqua,
Quam coxeris rite et despumaris bene.
Post morsum feræ, aut si venenum absorpserint,
Ad magnitudinem tu regiæ nucis
Cum septem cyathis vini diluti exhibe.

ΡΟΔΙΔΟΣ ΣΚΕΥΗ.

Αὐτὸν δ' ἐπιμελῶς δεῖ σε προδιασκευάσαι
Οὕτως ἀκριβῶς· ῥόδα λαμβάνων τὰ πρόσφατα,
Τὸ φύλλον αὐτῶν ἐν σκιαῖς ψύξον δυσὶν
Ἢ τρισὶ τὸ πλεῖστον ἡμέραις, σήσας τε τρεῖς
Λίτρας ἀπ' αὐτῶν ὁλμοκόπησον συμμέτρως
Σχοίνου τε δραχμὰς εἴκοσιν εὖ κεκομμένης,
Σμύρνης δεκάδυο, καὶ κρόκου δὶς τέσσαρας
Προσέμπασον, καὶ κόπτε πάνθ' ὁμοῦ πάλιν·
Ποιῶν κυκλίσκους εὐμεγεθεῖς ψύξον καλῶς,
Οὕτω θ' ὅσον δεῖ λάμβαν' εἰς τὸ φάρμακον.

PASTILLI ROSACEI CONFECTIO.

Oportet sedulo hunc confecisse prius
Hoc pacto: collectis recentibus rosis,
Folia harum in umbra exsicca per dies duos
Vel tres ad plurimum, ex his cribratas libras
Tres pila tunde at cura ne tundas nimis;
Junci contusi rite drachmas bis decem,
Myrrhæ duodecim, croci bis quattuor
Insperge et rursus una contunde omnia.
Pastillos finge prægrandes, sicca bene;
Deinde quantum oportet sume in pharmacum.

ΚΡΟΚΟΜΑΓΜΑΤΟΣ ΣΚΕΥΑΣΙΑ.

Κροκόμαγμα δ' εἰ βούλοιο καλὸν ἔχειν ἄγαν,
Σκεύαζ' ἐπιμελῶς· Κιλικίου κρόκου δραχμὰς
Ἑκατὸν καταμίξεις, τῆς λιπαρᾶς σμύρνης ἅμα
Δὶς εἴκοσι πέντε, καὶ ῥόδων ξηρῶν ἴσον,
Ἀμύλου δὲ πεντήκοντα, λευκοῦ κόμμεως
Ἴσας. Ἄμυλον δὲ κόπτε σήσας ἐπιμελῶς,
Πρόσβαλλ' ἀθάλασσον οἶνον εὐώδη βραχύν,
Δεύσας ἐπιμελῶς, κἀναπλάσας ψύξον κύκλους,
Καὶ χρῶ δεόντως, ὡς καλῷ κροκομάγματι.

Προγνωστικὴν δ' ἀντίδοτον οὕτω σκευάσεις·
Ἣν οἱ προλαβόντες ἂν λάβωσι θανάσιμον,
Ἐμέσουσιν αὐτὸν μετὰ τροφῆς παραυτίκα·
Οἱ δ' εὐλαβῶς ἔχοντες ὡς εἰληφότες
Ἂν ἐπιλάβωσιν, ἐξεμοῦσι τὴν τροφὴν
Σὺν τῷ μετ' αὐτῆς καταποθέντι φαρμάκῳ·
Ὁ δὲ μηδὲν ἄτοπον, μηδὲ δηλητήριον
Συγκαταπεπωκὼς τοῖς δοθεῖσι σιτίοις
Οὐ ναυτιάσει καὶ καθέξει τὴν τροφήν.
Ποιεῖ δὲ ταὐτὸ φάρμακον καὶ πρὸς πόνους
Πλευρῶν, μεταφρένων, κύστεως, καὶ τῶν νεφρῶν,
Ἐπέχει τ' ἀλύπως αἷμα φερόμενον πολύ,
Ὅθεν ἂν ἐκφέρηται τοῦτο, κἂν ἐκ πνεύμονος.
Σκεύαζε δ' οὕτως· Λημνίαν ἔχων καλὴν
Ἀπαραχάρακτον τὴν νομίμως εἰρημένην,
Στήσας ἀπ' αὐτῆς δύ' ὀβολοὺς δραχμὴν μίαν,
Ἀρκευθίδων τε τῶν λιπαρῶν δραχμὰς δύο,
Λέαιν' ἐπὶ πολύ, παραχέων χρηστὸν βραχὺ
Ἔλαιον ἱκανῶς πρόσφατόν τε καὶ γλυκύ.
Διὰ μελικράτου δ' ὡς καρύου τοῦ Ποντικοῦ
Μέγεθος προσοίσεις, οἷς ἐχρῆν σε προσφέρειν.
Ἐπέχειν δὲ πλεῖον αἷμα φερόμενον θέλων
Δι' ὀξυμέλιτος σφόδρα καθέφθου πρόσφερε.

(Antid. II, P. II, p. 441-444.)

CROCOMAGMATIS PRÆPARATIO.

Crocomagma si bonum perquam desideras,
Para studiose. Cilicii croci drachmas
Centum miscebis, myrrhæ pingnis simul
Viginti quinque bis, siccæ rosæ pares,
Amylique quinquaginta, et albi gummeos
Tot; cribratum amylum tunde curiosius;
Aquæ marinæ expertis vini paululum
Injice odori, et sedulo finge rotulas;
Sicca hinc ac utere ut bono crocomagmate.

Præsagientem antidotum sic componito :
Qua præbibita, venenum si quis sumpserit,
Id evoment confestim cum cibo simul;
At qui timent, malum ne potum ingesserint,
Hoc si superbibant, cibum cum pharmaco
Quod sumpserant, rejicient vomitus ope.
Qui vero pravum nil cum esca aut noxium
Nil una deglutiverint, hi nauseam
Non sentiunt quidem, verum cohibent dapem.
Hæc quoque medicina est ad dolores efficax
Dorsi, laterum, vesicæ, renumque insuper,
Et sanguinis copiosi cohibet impetum
Citra molestiam, ex quacunque prorual
Regione corporis, etiam ex pulmonibus.
Sic præparato : Lemniæ terræ bonæ
Cui merito signum inscriptum haud esse dixeris
Falsum, denarium pende atque obolos duos,
Et pinguium juniperi baccarum duas
Drachmas, valenter læviga, affundens boni
Olei recentis et dulcis pauxillulum.
Queis convenit præbere, Ponticæ nucis
Fac offeras ex mulsa magnitudine.
At sanguinem volens magis compescere
Ex mulso aceto valde percocto exhibe.

ΑΝΤΙΔΟΤΟΙ ΠΡΟΣ ΕΡΠΕΤΑ ΚΑΙ ΛΥΣΣΟΔΗΚΤΟΥΣ.

Νυνὶ δ' ἀποδοῦναι βούλομαι τάς τε δυνάμεις
Μόνον θεραπεύειν ἰοβόλων τὰ δήγματα,
Ἐχεων, κεραστῶν, ἀσπίδων καὶ χερσύδρων,
Πληγάς τε λεπτῶν θηρίων καὶ δήγματα,
Σφηκῶν, μελιττῶν, σκορπίων, φαλαγγίων.
Σκεύαζε δ' οὕτως· Ἶρεως δὶς τέσσαρας
Τῆς Ἰλλυρικῆς· τὸ δ' αὐτὸ [καὶ] ζιγγιβέρεως·
Ὀποπάνακός τε καὶ ὀπίου, μηκωνίου,
Λιβανωτίδος ῥίζης τε καὶ τοῦ Κρητικοῦ
Πάντως τριφύλλου σπέρματος δὶς τέσσαρας·
Ἀριστολοχίας τῆς μακρᾶς, καὶ πηγάνου
Σπέρματος ἀγρίου τε τὰς ἴσας ἀνὰ δώδεκα·
Ἑκκαίδεκα ῥίζης λευκοτάτης βρυωνίας·

AD VENENOSORUM ET RABIOSORUM MORSUS ANTIDOTI.

Nunc tradere medicinas est propositum
Ferarum morsibus duntaxat quæ ferunt
Opem venenatarum, sicut aspidum,
Cerastarumque, viperarum, chersydrûm;
Puncturis quoque confert parvorum animalium,
Apum, vesparum, scorpii, phalangii.
Sic præpara : denarios bis quattuor
Ex Illyria iridos; tantum zingibereos,
Opopanacisque, opii, itidem meconii,
Roris marini radicis, tum Cretici
Ante alia trifolii quatuor bis seminis,
Longæque aristolochiæ deinde seminis,
Sylvaticæ rutæ utriusque duodecim,
Radicis albæ sedecim bryoniæ,

Ἑρπυλλαρίου δὲ τῆς πόας καὶ σμυρνίου,
Καὶ καστορίου τε Ποντικοῦ πάντων ἴσα·
Ἡρυγγίου δὲ καὶ σελίνου σπέρματος,
Αἰθιοπικοῦ μάλιστα καὶ ἔτι προσφάτου,
Δραχμὰς ἑκάστου τρὶς δύ' ἐκ πάντων σταθμόν·
Ὀρόβου τε λευκοῦ τοῦ καθαροῦ δὶς δώδεκα.
Ἅπαντα ταῦτα ξηρὰ καὶ σεσησμένα
Ἀναλάμβαν' οἴνῳ, καὶ ποιήσας σφαιρία,
Ἢ καὶ τροχίσκους, δὸς δραχμὴν πιεῖν μίαν
Τοῦ φαρμάκου, κοτύλην τε μὴ κεκραμένην
Οἴνου λιπαροῦ, καλοῦ τε καὶ μὴ προσφάτου.
Ποιεῖ δὲ καὶ δι' ὕδατος ἀνεθὲν ἥμισυ
Τοῖς πνευματουμένοισι κόλον ἢ γαστέρα,
Δίχ' αἰτίας φανερᾶς τε τοῖς πονοῦσί τι.

Quatuor herbæ serpylli, nec non smyrnii,
Castorii Pontici pares horum modos,
Senecionis vero, ad hæc seminis apii
Æthiopici præsertim atque adhuc novi,
Denarii bis terni singulorum erunt,
Ervique albi purgati bis duodecim.
Hæc omnia arida et cribro increta excipe
Vino, atque finge pastillos vel globulos;
Unam drachmam propinato medicaminis
Et heminam meracis vini pinguis
Vetusti et optimi. Subactum aqua facit
Drachmæ dimidio coli aut ventris flatibus
Et citra manifestam causam dolentibus.

Ἄλλη σφόδρ' ἀγαθὴ δύναμις, ἣ καὶ χρωμένους
Πίνοντας αὐτοὺς οἶδα δηχθέντας κακῶς
Τοῖς ἀρτιθήροις ἔχεσι τοὺς καλουμένους
Ψύλλους· [τὸ] ἔθνος δέ φασι τοῦτο δυσπαθὲς
Φύσει νενομίσθαι πρὸς [τοὺς] τῶν δακετῶν φόβους,
Ἑτέροις δὲ δόντας σφόδρα κακῶς δεδηγμένοις.
Μελισσόφυλλον μαλακὸν ἐν σκιᾷ ψυγὲν
Ξηρὸν γενόμενον κόψον, ἐκ τούτου λαβὼν
Δραχμὰς δὶς ὀκτὼ, πρόσβαλλ' αὐτῷ στρογγύλης
Ἀριστολοχίας, ἢ μακρᾶς δραχμὰς δέκα
Ξηρᾶς· χαμαίδρυος δὲ τὰς αὐτὰς δέκα·
Σμύρνης χρηστῆς Τρωγλίτιδος δραχμὰς δέκα.
Ταῦθ' ὁμοκοπήσας σῆθε λεπτῷ κοσκίνῳ,
Μέλιτός τε μέτριον προσβαλὼν αὐτοῖς ἑνοῦ,
Δίδου τε δραχμῆς πλῆθος, ἢ μικρῷ πλέον
Ἐν ζωροτέροισι κυάθοισι δέκα κράματα.
Τινὲς δὲ φύλλων τῶν μακρῶν καὶ προσφάτων
Τὸν χυλὸν ἀποθλίψαντες ἴσον αὖ τῷ καλῷ
Οἴνῳ κατέμιξαν καὶ ἔδοσαν πιεῖν αὐτίκα
Πλῆθος τὸ πᾶν δὶς πέντε κυάθους, ἢ βραχεῖ
Ἔλαττον δν (?) βραχεῖ τε δαψιλέστερον,
Τά τε φύλλα λεῖα κατέπλασαν τοῖς δήγμασιν.

Alia antidotus præstans usos qua novimus
In potu Psyllos quos vocant, si viperæ
Recenter captæ morsum iis inflixerint
(Hæc gens, ut prædicant, natura vix solet
Mordentium ferarum terrore affici),
Dedisseque aliis valde commorsis male.
Melissam mollem exsiccato a sole procul;
Factam aridam contundito, hinc denarios
Bis octo; aristolochiæ teretis addito, aut
Longæ aridæ drachmas decem, chamædryos,
Myrrhæ bonæ Troglodyticæ drachmas decem;
Hæc pila tusa subtili cribro excute,
Mellisque paululum injiciens his jungito;
Unam drachmam propina aut paululo amplius
Meracioris temeti in cyathis decem.
Sunt qui foliorum longorum et recentium
Succum pari expressum mensura potui
Vino bono permixtum protinus afferant;
His mensura universa esto cyathi decem,
Aut pauciores paulo, aut plures paululo:
Folia quoque contrita illeverunt morsibus.

Πρὸς θηρίων μὲν πάντων ἰὸν ἑρπετῶν,
Μάλιστα δ' ἔχεων φάρμακον δραστήριον.
Ἔχε δὲ διὰ παντὸς πυτίαν ἀποκειμένην
Νεβρῶν ἐλάφου καλῶν μὲν αὖ (?) τὴν πρόσφατον·
Τῆς γὰρ παλαιᾶς ἐστὶν εὐστομαχωτέρα.
Ταύτης δραχμὴν τὸ πλῆθος ἐν κυάθοις δυσὶν
Οἴνου Φαλερίνου καὶ ὕδατος τοῦ συμμέτρου
Κεράσας προσένεγκε τοῖς σφοδρῶς δεδηγμένοις.
Κέλευε τούτοις γρηγορεῖν καὶ περιπατεῖν,
Ἂν ἐπιτρέπωσιν οἱ δεδηγμένοι τόποι,
Εἰς τὰ βαλανεῖά τ' εἰσιέναι, χρόνους τινὰς
Μένοντας ἐν τούτοισι, καὶ μετ' οὐ πολὺ
Πάλιν, ὡς προεῖπον, λαμβάνειν τὴν πυτίαν.

Ad omnium venena pharmacum efficax
Reptilium sed viperæ potissimum.
Cervi hinnulorum tu coagulum recens
Repositum ut conserves curato sedulo
Semper, namque stomacho vetere est gratum magis.
Denarium istius cyathis binis cape
Vini Falerni, aquæ mensura mediocri
Contemperans commorsis valde porrige,
Lassisque obambulari et vigilare impera;
Quodsi locus commorsus hoc permiserit,
Et balnea ingredi, atque in his aliquandiu
Manere, nec non rursus paulo postea,
Quemadmodum dixi, sumere coagulum.

Ἐκ τοῦ γένους τε τῶν πρὸς τοὺς θανασίμους
Ἀντίδοτός ἐστι πρὸς τὰ τῶν λυσσώντων κυνῶν

Genere ex eorum prosunt quæ letalibus
Antidotus hæc est ad rabidi morsum canis

Δήγματα, φέροντα παρακοπὰς ὑλακτικὰς,
Φόβους ἀλόγους τε παντὸς ὑγροῦ καὶ ποτοῦ,
Ὡς, κἂν ἴδωσι παντελῶς ὕδωρ βραχὺ,
Τρόμοισι καὶ σπασμοῖσι κατέχοντ' αὐτίκα,
Ἐν ἀγρυπνίαις τε καὶ συνεχέσι παρακοπαῖς
Διάγοντες ἀποθνήσκουσι συντομώτατα.
Κἂν τὸ παραχρῆμα δ' ἐκφύγωσι τοὺς φόβους,
Μένει τὰ τοιαῦτα μετὰ χρόνους συμπτώματα,
Ἄφνω γενόμενα τοῖς πάλαι δεδηγμένοις.
Πρὸς τοὺς φόβους οὖν τῶν τοιούτων δηγμάτων
Ἱερὰν ἔχε πάντως ἀντίδοτον παρακειμένην·
Οἱ γὰρ πιόντες, ὡς ἐρῶ, ταύτην ἐγὼ
al autem canet cithara nervis-vincta in manibus,
alii autem concentum ærea-instrumenta percussa præbebunt.
At quando *Venus Mercurio* incidens congressa fuerit,
Mercurii locis superbiens, in regione
variare formas aut coloribus hacce dedit
aut multis filis aut figlino-opere aut quando cera.
Sin sursum feratur cum *Sole Luna*,
auriga flexum transiens, certatim
volantium animalium quadrijugum currum agitans,
et metæ impetuose victorem equum appellens.
Sin *Luna* altitudinem adscendens cum *Mercurio*
crescens inspiciat inclytum *Solem* Oceaniten,
visco utentem artem et calamis ostendit,
et hanc accipiter pernix-pennis nunquam deserit.
Sin *Martem* noveris in-extrema-nocte violentum,
et cum hoc *Saturnum* ac *Mercurium* præsentem,
tollentes manibus sub tympana gladium acutum [tim.
imitantur male-sanctum Cybeleium divinitus-percitum At-
Sin *Mars* in signis insidians ad centra
actionem quærit et *Saturnum* subterraneum,
radicum-sectores facit, vita-prodigos, incantatores,
quærentes mortem infaustam et interitum temere
aspidis terribile-furentis lata-cervice, atque etiam viperæ
dipsadis sanguinem-vorantis timendam mortem tollentes,
Tantalica pœna sub maxillis dentibus
venenum eructantis siticulosum anhelitu gravi.
Sin crescens exstiterit medium-cælum tenens *Luna*
et e-regione *Mars* cum *Sole* subterraneus,
torridis carnibus liquitur igne-consumptus vir.
Etiam occidens *Mars*, quando *Saturnus* horam-gubernat,
carnivoris feris objicit nascentem virum;
aut enim suis apri sustinet candidum dentem,
aut curvi ei ungues gulam perfoderunt in-montibus
pantheræ variæ aut trucis leonis.
Quando autem regina media continetur *Luna*
inter *Martem* et *Saturnum* simul-splendens æquali-parte,
huic quidem dedit laqueum, huic vero profundum, isti autem
sæpe aut ruinas aut aggeres advolvens [ædium
claviculorum abrupit vi comminuto ossa.

† Ne lateat te *Saturnus* æqualis-factus *Veneri*,

† τέκνῳ μὲν τεύχων Πελοπήιον ἠὲ Θυέστην,
† ἠὲ καὶ εἰς ἄλλην ἀσεβῆ υἱὸν Ἰοκάστην,
† πολλάκι δὲ προγόνους καὶ μητρυιῇσιν ἔμιξεν,
† ἠὲ κασιγνήτοις ἐπάγει δμογάστριον εὐνήν.
† ἐνθάδε μοι, βασιλεῦ, τῷ σχήματι γίγνεο μάρτυς,
† γνωρίζων γενεῇ τοὺς Ἀρσινόης ὑμεναίους.

30 Χαίρει τοι Τιτὰν μὲν ἐπ' ἀρσενικοῖσι τόποισιν,
γηθεῖ δ' αὖ Μήνη πάλι θηλυτέροισιν ἐν οἴκοις.
εἰ δ' ἄμφω τούτους ἐνὶ θηλυτέροισι καθεύροις,
εὐνοῦχον σὺ νόει ταλαπείριον ἠὲ κίναιδον,
ἱστοῖς, ἠλακάταις μιμούμενον ἔργα γυναικῶν.
εἰ δὲ γυναῖκα λάβοις εἰν ἀρσενικοῖσιν ἔχουσαν
Μήνην Ἠέλιόν τε, νόει τὸ σχῆμ' ὅ τι δηλοῖ·
ἀνδρῶν ἔργα τέλεσσε γυναιξὶ συνευνάζουσα.

31 Νυκτερινὸς δὲ Κρόνος ὁπόταν ὑπόγειος ὑπάρχῃ,
καὶ δέ τ' Ἄρην εἰσίδοις γε μεσουρανέοντα ἄνωθεν,
ἁπλώσας παλάμῃσιν ἐπὶ ξύλου ὑψόθι σῶμα
οἰωνοῖσι βορὴν ἐπανιπταμένοις ἐπέδειξεν,
μοίρης νευροτόμου ἐσφιγμένος ἄκρα σιδήρῳ.

32 † Τὴν Μήνην σκέπτου, εἰ Τιτῆνος ἐνὶ οἴκῳ,
† κἢν εὕρῃς τοῦτον φωλευόμενον διάμετρον,
† καὶ φυγάδας σὺ νόει καὶ ἀτίμητον διὰ πάντων.

33 Αὐξιφανὴς Μήνη θερμὸν διάμετρον Ἄρηα
ἢν προφύγῃ, λίην ψυχρήν τ' ἀκτῖνα Κρόνοιο,
Ζεὺς δὲ τρίγωνος ἔῃ ἐν σχήματι τῷδέ γε μάρτυς,
τὸν βίον αὐτὸς ἔχων ἢ καὶ καθορῶν διάμετρος,
ἡλικίῃ μὲν πρῶτα μέγαν, περιμήκεα θῆκεν,
ὀφθαλμοῖσι χαρωπὸν ἰδ' ὀφρύσιν εὖ ἀραρυίαις,
[μηχανικὸν σὺ νόει τε πολύτροπον ἢ πολύτλητον,]
[οἶκον μὲν φθείροντα πατρώιον, ἠδέ τ' ἀλιτρόν,
ὃς σκεδάσας ὄλβον πενίην δαπάνῃσι διώκει,]
τὴν δ' ἰδίην ἀκμὴν φιλέοντι δίδωσιν ἐραστῇ,
τὴν δ' ἄλλου ὥρην αὐτὸς ποθέων ἀγαπήσει,
ζηλώσει δούλην δ', ἢ ψάλτριαν, ἢ πολύκοινον,
ἐχθροὺς δ' ἐκπτώσσει, τοῖς κρείττοσιν ἀντιφερίζων,
καὶ πάτρης εἴξει, ἠδ' ἐν ξείνῃ διατρίψει,
καὶ πλαστῇσι γραφαῖς ἀπεπείγεται ἄλλοσε γαίης
εἰς στεινὸν ζωῆς λύπης μέτα, ταῖς ἐπὶ τέχναις
ἀλλοτρίαις τε γραφαῖς ἐπιτέρπεται, ἢ δίχα λύπης
εὐτραπέλοισι γραφαῖς τερπνὸν βίοτον διοδεύει.

34 Ἡνίκα δ' ἂν Μήνη Ἑρμῇ στιλβοντι συνάπτῃ,
ῥήτορα σημαίνει, καί ῥ' ἐν μελέτῃσι σοφιστήν,
εὔγραμμον πινυτόν τ', ἐν γυμνασίοις τ' ἴσον Ἑρμῇ.

35 Σκορπίος, Αἰγόκερως καὶ Καρκίνος ἠδ' ἄρ'
ἐκ φολίδων πολλῶν συγκείμενοί εἰσι τὸ σῶμα, [οἱ Ἰχθῦς
καὶ λεπίδων πολλῶν λεπτῶν θ' ἅμα καὶ πολυχρώμων·
ἐν τούτοισι τυχὼν Πρέσβυς καὶ λοίγιος Ἄρης
καὶ Μήνη κεραὴ καὶ γλαυκιόωσα Κυθήρη

† filiæ quidem faciens Pelopeum aut Thyestem,
† aut etiam in aliam impium filium Iocastam,
† sæpe autem privignos etiam novercis miscuit,
† atque fratribus adducit sororium torum.
† hic mihi, rex, huic figuræ sis testis,
† cognoscens nativitate Arsinoæ hymenæos.

Gaudet sane *Sol masculis* locis,
lætatur autem rursus *Luna femineis* in domibus.
Sin *ambos* hos in *femineis* reperias,
eunuchum tu animadverte miserabilem aut cinædum,
telis, colis imitantem opera mulierum.
Sin *feminam* comprehenderis in *masculis* habentem
Lunam et Solem, animadverte hæc figura quid denotet:
virorum opera perpetravit cum-mulieribus concumbens.

Nocturnus autem *Saturnus* quando subterraneus exsistit,
atque *Martem* videris medium-cælum-tenentem superne,
extendens manibus in ligno superne corpus
volucribus escam involantibus præbuit,
sortis nervos-secantis constrictus extremitates ferro.

† *Lunam* contemplare, si *Solis* sit in domo,
† et si invenias hunc latitantem ex-adverso,
† et exules tu animadverte et inhonoratum per omnia.

Crescens *Luna* calidum e-regione *Martem*
si profugiat, valde frigidumque radium *Saturni*,
Jupiter autem trigonus sit in figura hac testis,
vitam ipse tenens aut etiam spectans ex-adverso,
statura quidem primum magnum, grandem fecit,
oculis superbum atque superciliis probe congruentibus,
[mechanicum tu animadverte versutum aut multa-passum,]
[domum quidem perdentem paternam, atque nefarium,
qui dissipans opes paupertatem sumptibus sectatur,]
proprium autem florem ardenti dat amatori,
alterius autem juventam ipse desiderans amabit,
ardebit servam autem, aut psaltriam, aut vulgivagam;
hostes autem expavescit, potentioribus se-opponens,
et patria cedet, atque in peregrina-terra vivet,
et falsa propter-scripta expellitur aliorsum terræ
in angustias vitæ cum mœrore, quibus artibus
peregrinisque scriptis delectatur; aut sine mœrore
sollertia ob-scripta hilarem vitam transigit.

Quum vero *Luna Mercurio* splendenti conjungitur,
rhetorem significat et in recitationibus sophistam,
bene scribentem et prudentem et in palæstris parem Mercurio.

Scorpius, *Capricornus* et *Cancer* atque etiam *Pisces*
ex squamis multis compositi sunt corpus,
et lamellis multis tenuibusque simul et multicoloribus;
in his versans *Senex* et terribilis *Mars*
et *Luna* cornuta et cæsia *Venus*

ψώρην καὶ λέπρην, ἀλφούς, λειχῆνας ἔτευξαν.
κεντρωθεὶς δ' Ἄρης ἦν πως φαίνοιτο σὺν Ἑρμῇ
Ἡελίου οἴκῳ καθορώμενος, ἐχθρὸς ἐπ' ἐχθρῷ,
ὀφθαλμὸν βλάπτει, εἰ μέν θ' ἕνα φωσφόρον ἀθροῖ·
εἰ δ' ἄμφω κατίδοιτ', ἀλαὸν καὶ πηρὸν ἔθηκεν.

---

36 Εἰ δ' ἀγαθὸς σωτὴρ φαεσίμβροτος οὐράνιος Ζεὺς
αὐξιφαοῦς Μήνης ὑποδέξεται ἱερὸν ὄμμα,
ἀρχῇ καὶ πίστει καὶ τιμαῖς ἐστεφάνωσεν,
εἵμασι πορφυρέοις τε φέρει κοσμούμενον ἄνδρα.

---

37 Ὁ Κρόνος Ἑρμείαν κατέχων Κριοῦ ἐνὶ οἴκῳ,
ἢν Μήνην ἐσίδῃ ὕψωμ' ἀνιοῦσαν ἑαυτῆς,
ὡρονόμου τε κρατῇσι, βραδεὺς τοῦ πνεύματος αὐτός,
τραυλὸν ἐνὶ γλώσσῃ, ἀχαρίστατον εἶδος ἔχοντα,
ταῖς ἀκοῇσι βαρὺν καὶ τοῖς ποσὶν ἠδὲ καὶ ἄρθροις,
[ἀστρολόγον πινυτὸν καὶ ῥήτορα καὶ φιλόμουσον,
ῥυθμοῖς καὶ μέτρων ποιήμασιν εὔστοχον ἄνδρα,
σχήμασιν εὐθαρσῆ καὶ χρώμασιν ἀπροφίδητον,]
[πουλύγαμον, τέκνοισιν ἐπώδυνον ἠδὲ πολύτλαν,]
εὔμουσον, λιγυρόν, φιλοπαίγμονα τῇ διανοίῃ,
[οὗ πόρος ἐστὶ φύσις, ἡ δ' αὖ φύσις ἐστὶν ὁ δαίμων,
καὶ σοφίῃσι λόγων φυσικῶν βίοτον μεθοδεύων,]
ζωῆς καὶ μούσης εὐσύνθετον εἰς τὸ νοῆσαι
ἀνθολόγοισι τροφαῖς ἠδ' εἰν ἰδίῃσι μελίσσαις.

---

38 Εὔσφυρος Ἑρμείης ἦν Ζηνὶ μόνῳ συνοδεύῃ,
εὔπορος ἀκριβής τε φύσει, κυκλῶν τὸ νόμισμα·
σμικρολόγος γὰρ ἐὼν πολλοῖσι τόκοις ἀναβαίνει,
φειδωλὸς ψηφῶν ὁ φιλάργυρος ἠδὲ δανειστής.
ἐν δὲ τρίταις χώρῃσιν ἀφ' ὡρονόμοιο τυχήσας
ἀγρευτῆρι λίνῳ ἀνεφέλκεται ἐξ ἁλὸς ἰχθύν.
εἰ δ' Ἄρην ἐσίδοις θυμούμενον ἐκ διαμέτρου,
καὶ δολίοισι βρόχοις ὀρεσίτροφα πάντα κυνηγεῖ.

---

39 Ἦν Παφίην εὕρῃς περιπλεξαμένην τὸν Ἄρηα,
μοιχοὺς καὶ λάγνους καὶ παντοπαθεῖς ἐποίησεν.

---

40 Ἐν Παφίης οἴκοις ὁ Ζεὺς ἐπίδοξος ὑπάρχει,
καί β' οὕτως παρέχει, ἦν καὶ ἐπίδοξα τὰ φῶτα·
IV [ἀφνειοί, μεγάλοι, περικαλλέες, ὄμμασι γαῦροι,
λευκοί, καὶ ξανθοῖσιν ἐπαντέλλοντες ἰούλοις,
εὐπρόσιτοι, γλυκεροί, σοβαροί, χαρίεντες ἀοιδοί,
εὔθικτοι, πινυτοί, εὐσχήμονες, ἀρχικυνηγοί,
οὐχὶ μόνον ζώων θηρήτορες, ἀλλὰ γυναικῶν,
δισσολόγοι, δίγαμοι, δίγονοί θ' ἅμα καὶ διπολῖται,
* φαινόμενοι πᾶσιν μακαριζόμενοί τε.]
† καὶ πάτρῃ χαίρουσι, καὶ ἐν ξείνοισι βιοῦσιν·
† τιμῶνται συνεχῶς ἠδ' ἐξ ἁλόχων ἀγαπῶνται·
† αὐχοῦσιν στεφάνοις, φιλίαις γηθοῦσιν ἀνάκτων·
† μαρτυρίαις δόξῃσί τ' ἀγαλλόμενοι σελαγεῦνται,
† πενθερικοῖς θαλάμοισι διωκόμενοι καθορῶνται,
† ἢ κλοπίμως φθείρουσι λέχη ἰδίων συνεφήβων.
[κἀν ἄστει φαίνονται, ἰδ' ἐν στρατιῇσιν ὁρῶνται.]

scabiem et lepram, vitiligines, impetigines fecerunt.
In-centro-positus *Mars* si quando appareat cum *Mercurio Solis* in-domo visus, hostis in hoste,
oculum lædit, si quidem unum phosphorum cernat;
sin ambo videat, cæcum et oculis-captum fecit.

Sed si bonus salvator mortalibus-lucens cælestis *Jupiter* crescentis *Lunæ* excipiet sanctum oculum,
magistratu et fide et honoribus coronavit,
vestibus purpureisque fert ornatum virum.

Saturnus Mercurium continens Arietis in domo,
si *Lunam* aspiciat in-sublimitate versantem sua,
et horonomum regat, arbiter animæ ipse,
balbum lingua, turpissimam formam habentem,
auribus difficilem et pedibus et membris,
[astrologum peritum et rhetorem et Musis-amicum,
rhythmis et metrorum fœtibus aptum virum,
figuris audacem et coloribus . . . .]
[multas-nuptias-expertum, liberis luctuosum et multa per-
musicum, argutum, joci-amantem mente, [pessum]
[cujus quæstus est natura, rursus natura autem dæmon,
et sapientia sermonum physicorum vitam moderans,]
vitæ et musæ bene-compositum ad cogitandum
florilegis in-fœtibus atque propriis apibus.

Pedibus-pulcer *Mercurius* si cum solo *Jove* congrediatur,
locuples et exactus natura, circumferens nummum;
sordidus enim quum-sit multis usuris ascendit,
parcus calculator argenti-amans atque fœnerator.
Sed in tertiis locis ab horonomo versans
venatore lino attrahit ex mari piscem.
Sin *Martem* adspexeris iratum ex-adverso,
etiam dolosis laqueis monticolas (feras) omnes venatur.

Si *Venerem* reperias amplexantem *Martem*,
adulteros et impudicos et omnia-patientes fecit.

In *Veneris* sedibus *Jupiter* gloriosus exsistit,
atque ita præbet, si etiam gloriosa (sunt) lumina:
[opulenti, magni, perpulcri, oculis superbi,
albi, et flava exsurgentes lanugine,
faciles-aditu, dulces, arrogantes, venusti cantores,
urbani, prudentes, decori, principes-venatores,
non solum ferarum venatores, sed mulierum,
gemino-sermone-usi, geminis-nuptiis, et simul gemina-prole
* conspecti omnibus et pro beatis habiti.] [et gemina-urbe,
† et patria fruuntur, et in peregrinis vivunt;
† honorantur perpetuo atque ab uxoribus diliguntur;
† gloriantur coronis, amicitiis gaudent principum;
† testimoniis laudibusque exsultantes splendescunt,
† soceri in-thalamis deprehensi conspiciuntur,
† aut furtim corrumpunt uxores suorum sodalium.
[atque in urbe apparent, et in exercitibus conspiciuntur.]

41 Ἢν δέ τ' ἔχῃ σύνδεσμον ἐπ' Ἡλιόν ποτε Μήνη,
ἐκ πενίης πλουτεῖ τε καὶ εἰς πενίην ἀνακάμπτει·
δόξαν ἔχει τέχνης Ἑκατησίου εἵνεκα κέρδους,
καὶ μαγικῇ συνέσει πέπιθεν τὰ πνεύματα φεύγειν,
καὶ κρυφίμαις βίβλοις ἐπαγαλλόμενος περιείργει·
πίστεις μὲν παρέχει σοβαραῖς μεγάλῃσι γυναιξίν,
ἐκ δὲ τύχης μικρῆς ἐπὶ μείζονα πίστιν ὀδεύει.
κἢν εὕρῃ Μήνη μετὰ τὴν λύσιν ἀστέρας ἐσθλούς,
σιτοδόται, κτίσται, μὴ φειδόμενοι φιλοτίμως
ὄλβον καὶ πλοῦτον καὶ χρήματα χρυσοφορητὰ
εἰς βυθόν, εἰς ἀνέμους διαπαιζόμενοι δαπανῶσιν,
καιροῖσιν πάμπαν, τὸ πλέον δὲ περισσὰ [διδόντες]
λείπονται πάντων ἐλεούμενοι οὐδὲν ἔχοντες.

42 Τὰς αὐτὰς δυνάμεις εἴτ' ἀνδράσιν εἴτε γυναιξὶν
σκεπτόμενος προλέγω, ὥρη δὲ φύσιν διορίζει·
ἀλλὰ καὶ ὡς ἐρέω τοῖς σχήμασι καὶ τὰ γυναικῶν.
σώφρονας ἡ Παφίη οἴκοις ἰδίοις, μετὰ Ζηνός
εὐμόρφους, πινυτάς τ', ἢν καὶ Στίλβοντα καθεύρῃ·
καὶ πόρνας ὁ Κρόνος ἀσχήμονα ἔργα τελούσας,
ἐν διθύροις αἰεί τε προϊσταμένας ἀναφανδόν.
τετράποσιν ζώοισιν εἰ ᾖ στείχουσα Σελήνη,
εἰ καὶ τὴν ὥρην ἐν τετραπόδεσσι καθεύροις,
ἀρρήτοις ἔργοισι μιαίνεται, ἠΰτ' ἐπ' ἔργοις
ἐκ στομάτων αἰσχροῖς διαβαλλομένη κακοφήμως.
εἰ δ' Ἄρης ἠοῦς γε μεσουρανέοιτο, λογίζου,
ἦ πολλοῖς μήτηρ ἐπὶ δάκρυσιν ἔστεν' ἄτεκνος.
εἰ δὲ Κρόνος Παφίην ἰδίοις οἴκοισι καθεύροι,
κἢν φάσκῃ τίκτειν ἐκ νηδύος, οὔ ποτε τίκτει,
ψευδομένη δ' ὠδῖνας ἀνώδυνός ἐστιν ἄτεκνος,
ἀλλοτρίην τε γονὴν ὑποβαλλομένη κακοτέχνως
καὶ κλίνασα δέμας στείρα λοχὸς ἐστ' ἐπὶ κλίνης,
καὶ πλαστὴ μήτηρ ἐσκήψατο τὴν φάσιν ἀγνῶς.

IV 43 Ἄρεα καὶ Παφίην συναφαῖς εὑροῦσα Σελήνη
Ἡελίοιο τόποις ἢ καὶ Στίλβοντος ἐν οἴκοις,
ἢν διάμετρον ἔχῃ δνοφερὴν ἀκτῖνα Κρόνοιο,
ἰσχνὴν καὶ λυπρήν, κακοπρήγμονα καὶ κακόβουλον,
αὐστηρὴν, προπετῆ, πολυπρήγμονα, βάσκανον αἰεί,
εὔκνιστον, πρόλαλον καὶ βληχρὴν καὶ φιλόνεικον,
λυσσάδα, ζηλότυπον καὶ ἀγνώμονα καὶ περίεργον,
πῆμα λυγρῷ γαμέτῃ συναλιζόμενον κακοῖθες·
ἀλλ' ὑπὸ τῆς Παφίης ἀμβλυνομένη μεταβάλλει.

Si vero copulam habeat ad *Solem* aliquando *Luna*,
ex paupertate ditescit et in paupertatem recidit;
gloriam habet artis Hecatesiæ ob lucrum,
et magica prudentia confidit spiritus fugare,
et absconditis libris exsultans circumcludit;
fidem quidem præbet superbis magnis feminis,
atque ex parva fortuna ad majorem fidem transit.
Sin *Luna* invenerit post solutionem *stellas bonas*,
frumenti-datores, conditores, non parcentes ambitiose
opes et divitias et facultates auro-circumlatas
in profundum, in ventos ludentes dissipant,
occasionibus prorsus, plus autem supervacua dantes
deficiuntur omnibus miserati nihil habentes.

Easdem potestates sive viris sive mulieribus
considerans prædico, sed hora naturam determinat;
verumtamen dicam figuris etiam qualitates mulierum.
Temperantes *Venus* ædibus in-propriis, cum *Jove*
formosas, prudentesque, si etiam *Mercurium* invenerit;
et meretrices *Saturnus*, indecora opera facientes,
et in biforibus-fornicibus semper prostantes propalam.
Quadrupedis signis si sit incedens *Luna*,
si etiam horam in quadrupedibus reperias,
infandis operibus inquinatur, quasi propter opera
ex oribus turpia accusata malo-rumore.
Sin *Mars* mane medium-cælum-teneat, cogita,
profecto multis mater lacrimis ingemuit liberis-orbata.
Sin *Saturnus Venerem* propriis ædibus inveniat,
etiamsi dicat parere ex utero, nunquam parit,
sed mentiens partus-dolores, sine-dolore est, sine-prole,
et alienam sobolem sibi-subjiciens mala-arte,
et inclinans corpus sterilis puerpera est in lecto,
et simulata mater consideravit apparentiam pure.

Martem et *Venerem* contactibus inveniens *Luna*
Solis locis aut etiam *Mercurii* in ædibus,
si adversum habeat tenebrosum radium *Saturni*,
tenuem et tristem, maleficam et malevolam,
austeram, præcipitem, multa-agentem, fascinantem semper,
bene-vellicantem, procacem et imbecillam et rixosam,
insanam, zelotypam et ingratam et curiosam,
malum misero marito congregatum malignum;
sed a *Venere* hebetata mutat.

ΜΑΞΙΜΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΠΕΡΙ ΚΑΤΑΡΧΩΝ.

Περὶ ξενιτείας.

— — — — —

εἰ δὲ Νεμειήταο μέσην κατὰ μοῖραν ὁδεύοι
δευτέρῃ εἰν ἠοῖ, ἀγανωτέρη ἔσσεται οἶμος,
μαψίδιοι δὲ πέλοιντο πόνοι τῇμόσδε βροτοῖσιν
ἤματι νυκτί τε δίῃ ἀπειρέσια τροχάουσιν
γαίῃ ἐν ἀλλοδαπῇ· τῷ καὶ πεφυλαγμένος εἴης,
μή σε λάθῃ κούρης Θειαντίδος ὠκέα κύκλα
λοίγιον εἰς ἀκμὴν ἰχνευμένα θηρὸς ἐν αἴγλῃ.
εἰ δὲ κόρην αὐγῇσι περισκέπτοις ἐπιλάμποι
Ἀστραίην, δηρὸν μὲν ὁμιλήσεις ξένῃ αἴῃ,
ἀβλαβέως δ' οἶκόν τε φίλους τ' εἰσόψεαι αὖτις.
εἰ δέ κ' ὀπωρινοῖς ἐνὶ γλήνεσιν αὐγάζοιτο
Χηλάων, αἴτ' ἠελίῳ ἀτάλαντα φέρουσιν,
εἰ μὲν ἐπὶ πρήξει τε καὶ ἔργοις ἰθυδίκοισιν
* * * * * *
οὔτε τι χάρμα φέρει περιώσιον οὔτε τι πῆμα·
εἰ δέ τ' ἐπὶ σκολιοῖσι καὶ οὐκ εὐήρεσιν ἔργοις
τῇμόσδ' ἐντύνηται ὁδὸν πολυπαίπαλος ἀνήρ,
ἦ τε παλιμπλοίνῃσιν ὅγ' ἐγκύρσειε δίκῃσιν.
εἰ δὲ πέλοι Τιτηνὶς ἐν ἀστράσιν ἠερίοισιν
Σκορπίου αἰθερίοιο, φέροιό κεν ἐσθλὸν ὄνειαρ
εἰδώλῳ ἐνὶ τῷδε Σεληναίην ἐσαθρήσας.
εἰ δέ κεν οἰκείηνδε λιλαίεαι αὖτι νέεσθαι,
καὶ δ' ἂν ἐπίκρυφον οἶμον ἐπιφραδέως ἀνέλοιο,
δεικήλῳ δ' ἐνὶ τῷδε φάοι πανδῖα Σελήνη,
κερδαλέον κ' ἀνύσαιο θοῶς ἐρικυδὲς ὄνειαρ.
εἰ δέ κε Τοξευτῆρος ἑλαφροῦ φαίδιμον ἄστρον
Τιτηνὶς φαιδρῇσιν ἐπαυγάζῃ ἀμαρυγαῖς,
γαῖαν ἐς ἀλλοδαπὴν δ' ἐθέλοις τῇμόσδε νέεσθαι,
ἦ τ' ἂν ἔτι προτέρω δολιχὴν τελέσειας ἀταρπὸν
δηθύνων, καὶ δηρὸν ἀπέσσεαι· ἀσπασίως δὲ
πολλῶν ἠελίων ἀνύσας περιμήκεα κύκλα
σοὺς ἑτάρους κτῆσίν τε καὶ ἀγλαὸν ὄψεαι οἶκον.
ἐς δὲ πάτρην νόστησον ἰδὼν ἐρίωπα Σελήνην
Τοξευτῆρι θέουσαν ὁμοῦ· τῆμος γὰρ ἅπασαν
εὐφροσύνην ἕξεις ἐσιδὼν πατρώιον οὖδας.
μὴ μὲν ὀδοιπορίης μιμνήσκεο φάε' ἀθρήσας
Μήνης Αἰγοκερῆος ἐν ἀστράσιν ἰχνεύοντα·
ἦ γάρ σοι δολιχός τε πόρος καὶ ἄπρηκτα κέλευθα
ἐσσεῖται, καὶ δ' ἄν κε κατηφείῃσιν ἔχοιο.
πάτρην δ' εἰσανιόντι μετ' Αἰγοκερῆος ἰοῦσα
ὑψίκερως Μήνη πρηὺν καὶ ἀπήμονα νόστον
σημαίνει· σὺ δὲ μήτι νόῳ νοσφίζεο τῶνδε.
Ὑδροχόου δ' ἠὼ πρώτην πεφυλαγμένος ἔσσο·
εἰ δέ κε δεύτερον ἦμαρ ἄγοι, πρηεῖά κεν εἴη

MAXIMI PHILOSOPHI

DE ACTIONUM AUSPICIIS.

I. De peregrinatione.

— — — — —

Sin *Nemeæi* mediam per partem ingrediatur
secunda die, faustius erit iter,
vani autem fuerint labores tunc mortalibus
interdiu et nocte divina immensa currentibus
terra in peregrina; quapropter etiam caveas,
ne te lateant puellæ Theantidis celeres orbes
perniciosum in momentum gradientes feri in splendore.
Sin *virginem* luminibus conspicuis illustret
Astræam, diu quidem deges in peregrina terra,
incolumiter autem domum et amicos videbis rursus.
Sin auctumnalibus in splendoribus luceat
Chelarum, quæ Soli paria (pondera) tenent,
si quidem ad actionem atque opera bene-justa
* * * * * *
neque gaudium fert insigne neque malum;
sin ad versuta atque non recta opera
tunc suscipiat iter multum-vafer vir,
profecto vindictam-agentibus hic incurrat judiciis.
Sin sit Titanis in stellis aeriis
Scorpii ætherii, feras egregium emolumentum
simulacro in hoc Lunam adspiciens.
Sin domum cupias rursus reverti,
et secretum iter prudenter susceperis,
atque in signo hoc splendeat divina Luna,
luorosum conficias celeriter præstans emolumentum,
Sin autem *Sagittarii* celeris splendidum sidus
Titanis splendentibus illustret fulgoribus,
et in terram peregrinam velis tunc abire,
profecto etiam ulterius longam perficias viam
tempus-ducens, et diu aberis; læte autem
multorum solum peractis magnis circulis
tuos amicos et rem-familiarem et claram adspicies domum.
In patriam autem redi videns perlucidam Lunam
Sagittario currentem simul; tunc enim omnem
lætitiam habebis adspiciens patrium solum.
Ne peregrinationis memento lumina adspiciens
Lunæ *Capricorni* in stellis incedentia;
profecto enim diuturnum iter et inanes viæ
erunt, atque etiam ægritudinibus occuperis.
Patriam autem ingredienti cum Capricorno versans
alte-cornuta Luna dulcem et incolumem reditum
designat; tu vero ne mente obliviscere horum.
Aquarii autem primam auroram caveas;
sin alterum diem agat, mitis fuerit

καὶ πρῆξίν κε φέρῃσιν ἀπήμονα κερδαλέην τε.
Ἰχθύσι δ' εἰαρινοῖσιν ἐπὶ στρατιὴν πόλεμόν τε
στειχέμεναι, καὶ δ' ἄν κε φέροι γριπεῦσιν ὄνειαρ,
ἠδὲ καὶ ὅσσοι φῶτες ἀνὰ δρυμὰ βησσήεντα
στείχοντες ταχινῇσι κυνηλασίῃσι μέλονται.
χρὴ δὲ καὶ εἰς ἑτέρους σε περιφραδέως ἐσαθρῆσαι
ἀστέρας, οἳ κεραῆς Ταυρώπιδος ἀργέτιν αἴγλην
δέρκονται τετράγωνον ἐπιστείχοντες ἀταρπόν,
μὴ τρίπλευρον ἔχωσι Σεληναίης ἀμαρυγήν,
ἢ διάμετρα φέρωσιν ἐπ' ἀγλαὰ φάεα Μήνῃ·
εἰ μὲν γὰρ κακοεργοὶ ἐπ' ἀκτῖνας τανύσαιντο,
δείδιθ' ὁδοιπλανίην, ἐσθλοῖς δ' ὁρόων σὺ Σελήνην
βαίνουσαν κατὰ μέτρον εὐσταθέων εἰδώλων,
θαρσήσας ξείνης ἐπὶ ἤθεα καλὰ πόληος
στειχέμεναι, καὶ δ' αὖτις ἀτάρβητος πέλοι οἶμος
* * * * * * * * *

atque actionem ferat incolumem et lucrosam.
Piscibus in vernis ad exercitum bellumque
proficiscere, atque etiam ferat piscatoribus emolumentum,
atque quicumque viri per silvas saltuosas
euntes citis venationibus operam dant.
Oportet autem etiam *ceteras* te prudenter inspicere
stellas, quæ cornutæ fauriformis candidum fulgorem
vident quadratam inambulantes semitam,
ne triangularem habeant Lunæ splendorem,
aut adversa ferant splendida lumina in Lunam;
si enim *maleficæ* radios suos intendant,
metue peregrinationem, *bonis* autem videns tu Lunam
ingredientem per mensuram bene-collocatorum signorum,
confidens peregrinæ ad domicilia pulcra urbis
proficiscere, et rursus imperturbata erit via
* * * * * *

Περὶ γάμου.

Εἰ δὲ γάμου λελίησαι ἐπαυρέμεν ἱμερόεντος,
ἐς θαλάμους δ' ἀγαγέσθαι ἐνηέα βούλεαι εὐνιν,
σκέπτεσθαι κεραὴν ἑλικόδρομον. ἢν μὲν ἔῃσιν
Τοξευτῆρα κατ' αὐτὸν ἢ Ἰχθύας ὑγροκελεύθους,
ἠὲ καὶ Ὑδροχόου περὶ τείρεσιν αὐγάζηται,
ὅλβιον ἐκτελέσεις γάμον ἠνεκές, οὔτινα λώβην
οὐδέ τ' ἐπεσβολίην δυερὴν οἴκοισι φέροντα,
οὐ μὴν νείκεα λυγρά, τὰ καὶ πινυτήν περ ἐοῦσαν
ἀνέρι καὶ ποθέοντι θοῶς ἤχθρηνεν ἄκοιτιν·
ἔσται δ' ἠπιόμυθος, ἐχέφρων, ἀγλαοεργός.
τοὔνεκεν ἥμασι τοῖσδε πορὼν περικαλλέα ἕδνα
κουριδίην οἴκοισιν ἑοῖς εἰσῆχθαι ἄνασσαν·
ἀνήρ, εἰ μονίην στυγέοι καὶ ἐλεύθερον ἦμαρ.
ἢν δ' ἄρα νυκτιφαὴς ἐπέχῃ κλυτοῦ Ἀρνειοῖο
ἀστέρας, ἢ Ταύροιο κατ' εὐκεραόιο πολεύῃ,
μὴ σύγε μοι μνώοιο πολυκτεάνων ὑμεναίων·
τεύξει γὰρ φαέθουσα Σεληναίη κλυτόπωλος
τῆμος καὶ φιλίην μινυανθέα καὶ ταχύβουλον
ἀστασίην, λήστει δ' ἐρατῆς καὶ ἀκηράτου εὐνῆς
κουρίδιόν τε λέχος προλιπεῖν πόσιός τε λαθέσθαι
τεύξει ὁμοφροσύνην· τῷ σε φράζεσθαι ἄνωγα,
ὁππότ' ἐνὶ Κριοῖο παλιστρέπτοιο κελεύθῳ
αἴγλῃ ἐρευθομένην ἐσίδῃς χρυσάμπυκα Μήνην.
εἰ δὲ κόραις Ἄτλαντος ὁμὴν ἀνύῃσι κέλευθον,
ἢ καὶ μαινομένῃσιν ἐφ' Ὑάσιν ἰνδάλληται,
αἴτε κατ' εὐκραίρητος ἐρυγμήλοιο φέρονται
Σιδονίου Ταύροιο, καὶ ἐς δόμον ἀρτύνοιο
ἕδνοις βρίθουσαν χλιδανὴν ἑλικώπιδα νύμφην,
ἦ τ' ἂν γείτοσι χάρμα δυσηλεγέεσσιν ἄγοιο
ξυνὴν ὀθνείοισιν ἔχων δυσπέμφελον εὐνήν·
οὐ γάρ κεν στέρξειεν ἑνὸς λέχος ἥμασι τοῖσδε
γημαμένη, οὐδ' εἰ νόον αἰνετὸν Ἰκαριώνης
ἠὲ καὶ Εὐάδνης Καπανηίδος ἐντύναιτο
ἠὲ καὶ Ἀρσίππης ἐρικυδέος, ἠὲ καὶ αὐτῆς
Λαοδάμης, ἥτ' αἰὲν ἐπ' ἀνέρι κηραίνουσα
* * * * * * * * *

II. De nuptiis.

Sin *nuptiis* cupis frui desideratis
atque in thalamos ducere bonam vis uxorem,
observa cornutam flexuose currentem. Si quidem sit
Sagittarium circa ipsum aut *Pisces* humidis-viis-gradientes,
aut etiam *Aquarii* circa sidera si splendescat,
felices perficies nuptias continuo, nullam contumeliam
neque rixas molestas domibus inferentes,
neque jurgia tristia, quæ etiam prudentem
viro etiam amanti celeriter inimicam-reddunt uxorem;
erit autem mitis-sermone, sapiens, splendida-operibus:
quapropter diebus his præbens præpulcra dona
legitimam ædibus suis introducat dominam
vir, si solitudinem oderit et liberum diem.
Sin vero noctiluca obtineat clari *Arietis*
stellas, aut *Taurum* prope bene-cornutum incedat,
ne tu mihi cogites opulentos hymenæos;
faciet enim splendens Luna equis-clara
tunc et amicitiam breviter-florentem et præcipitis-consilii
inconstantiam, et oblivione amabilis et puri tori
connubialem lectum relinquere et mariti oblivisci
faciet concordiam; quapropter te observare jubeo,
quando in Arietis revertentis via
splendore rubentem adspicias aurea-vitta-utentem Lunam.
Sin *filiabus Atlantis* parem conficiat viam,
aut enim furibundis in *Hyadibus* appareat,
quæ ad bene-cornutum graviter-boantem feruntur
Sidonium *Taurum*, et in domum pares-ducere
donis onustam delicatam pulcram sponsam,
profecto vicinis gaudium molestis ducas
communem alienis habens perniciosam uxorem;
neque enim contenta-sit unius toro diebus hisce
in-matrimonium-ducta, nec si mentem laudatam Icarionei
aut etiam Evadnæ Capaneidis instructam-gerat,
aut etiam Arsippæ inclytæ, aut etiam ipsius
Laodamæ, quæ semper ob virum se-macerans
* * * * * * *

πάντα γὰρ ἤθεα καλὰ διασκίδνησι γυναικῶν
Ταύρῳ ἐπεμβεβαυῖα Θεαντὶς χρυσοέθειρα.
εἰ δὲ Θεραπναίοισιν ἐπορνυμένη Διδύμοισιν
δεύτερον ἦμαρ ἄγῃσι, γάμου μεμνημένος εἶναι·
οἰκοσόον γὰρ ἄκοιτιν ἐνὶ μεγάροισι κομίζεις.
μὴ μὲν ἔοι φλογερῷ ἐνὶ Καρκίνῳ· ἦ γὰρ ἂν ὦκα
ἐκπροφύγοι μεγάρων ἄλοχος πόσιν ἐχθήρασα,
ἄσπετ' ἐπεσβολέουσα καὶ ἄκριτα ποιφύσσουσα.
εἰ δὲ τύχοι γλήνεσσι Νεμειήταο Λέοντος
Θειαντὶς κούρη φορέουσ' ἐριλαμπέτιν αἴγλην,
ἦ τ' ἂν ὑπερφιαλόν τε δυσόργητόν τε γυναῖκα
τέτμοι ἀνήρ, ἀτενεῖ δὲ νόῳ κεχαρημένη εἴη·
οὐδέ κεν εὐπειθῆ μιν ἔχοι πόσις, οὔτ' ἐπέεσσιν
οὔτ' ἔργοις, ἀλλ' αἰνὰ πανήμερον ὀρσολοπεύοι
μύθῳ ὀνειδείῳ καί τε πληγῇσιν ἰάπτοι·
μαψίδιοι μῦθοι, κενὰ δ' ἔργματα τῇδε πέλοιντο,
πολλάκι καὶ χείρεσσιν ἓὸν λωβήσετ' ἀκοίτην
δρασσομένη χαίτης, ἠ καὶ ῥεθέεσσιν ἐφεῖσα
ἀτηρὰς παλάμας, ἠ ἐπιρρήσσουσα χιτῶνας.
ἦν δέ γε δῖα Θεὰ Ὑπεριονὶς ἐν σταχύεσσιν
Ἀστραίης κούρης εὐώπιδος αὐγάζηται,
χήρην μοι τῆμόσδε συνάορον ἐντύναιο,
παρθενικὴν δ' ἀλέασθαι, ἐπεὶ μογεροῦ βιότοιο
αὐτή τ' ἠδὲ πόσις κεκορήσεται ἤματα πάντα.
ἦν δέ νυ Χηλάων ἐνὶ τείρεσιν αὐγάζηται,
κουριδίην μὲν ἄεικὲς ἐὸν πρὸς δῶμ' ἀγαγέσθαι,
ὠνητὴ δ' ἂν ἔοι πολὺ φιλτέρη, εὖτε πέληται
παλλακίς· ὧδε γὰρ ἄστρον ἀναγκαίῃ ὑπὸ λυγρῇ
λέκτρον ἀεικέλιον γαμίων πάρος ἤραρε θεσμῶν.
εἰ δὲ πέλοι πανδῖα χαλαζήεντα κατ' αὐτὸν
Σκορπίον ἀλγινόεντα, τότ' ἐν πρώτῃ γαμέοιο
ἠοῖ παρθενικήν, καί κεν φρένας ἠπίη εἴη,
ἀρτίφρων, ἀγανῇσι πεποιθυῖα πραπίδεσσιν·
εἰ δέ τε δεύτερον ἦμαρ ἠὲ τρίτον ἰθύσειεν,
ἦ τ' ἂν καὶ δμώεσσι δυηπαθέεσσι μιγείη.
ἦν δὲ πελάζηται Μήνη κλυτῷ Αἰγοκερῆι,
πρωτογάμῳ μὲν ἄγει λύπας καὶ πήματα λυγρά·
εἰ δ' ἄρα δεύτερον ἴσχοι ἀνὴρ λέχος, ἔσσετ' ἄμεινον,
ἦ χήρην ὀπάσει παντερπέα τῷδε δάμαρτα.
μὴ μὲν δὴ συνόδοισι Σεληναίης ἀγάγοιο
εὐνέτιν ἐν μεγάροισιν, ἢ ἐν διχομήνιδι πλείῃ·
οὐ γάρ κεν γάμος εἴη ὀφέλλιμος ἤμασι τούτοις.
σκέπτεο δ' εἴ κ' ἐσθλοῖσι σὺν ἀστράσι δινεύηται, Φαέθοντι κλυτῷ ἢ Ἑωσφόρῳ αἰγλήεντι
ἠὲ καὶ εὐπέπλου Μαίης ἐρικυδέϊ παιδί·
τεύξει γὰρ βιότῳ τε μέγα κλέος εὐφροσύνην τε
ἤθεσι, μειλιχίην τε χάριν κεὐεργέα δώσει.

omnes enim mores pulcros dissipat mulierum
Tauro ingressa Theantis auricoma.
Sin Therapnæis incedens *Geminis*
secundum diem agat, nuptiarum memor esto;
domi-sospitatricem enim uxorem domum duces.
Ne sit ardente in *Cancro;* profecto enim celeriter
effugiat domo uxor maritum exosa,
innumera convicians et turbata anhelans.
Sin tangat splendores Nemeæi *Leonis*
Theantis virgo ferens late-lucentem fulgorem,
profecto superbam atque iracundam mulierem
reperiat vir, et (quæ) obstinata mente delectetur;
neque facile-obedientem eam habeat maritus, neque verbis
neque operibus, sed terribile totum diem æstuet
verbo probroso atque verberibus incessat;
vani sermones, et inania opera illi fuerint,
sæpe etiam manibus suum mulcabit maritum
prensans comam, aut etiam genis injiciens
infestas manus, aut lacerans vestes.
Sin autem divina Dea Hyperionis in spicis
Astrææ virginis venustæ splendeat,
viduam mihi tunc uxorem pares,
virginem autem devita, quoniam molesta vita
ipsa atque maritus satiabitur quotidie.
Sin *Chelarum* in sideribus luceat,
legitimam quidem turpe suam in domum ducere,
empta autem sit multo amicior, ubi fuerit
pellex; ita enim sidus necessitate tristi
torum indecorum nuptiali prætulit fœderi.
Sin sit divina frigido in ipso
Scorpio calamitoso, tunc prima ducas
aurora virginem, atque animum mitis sit,
mente-sana, comibus confidens præcordiis
sin secundum diem aut tertium dirigat,
profecto etiam servis miseris misceatur.
Sin appropinquet Luna inclyto *Capricorno,*
primum-matrimonium-ineunti affert tristitias atque mala
sin secundum habeat vir torum, erit melius, [tristia;
aut viduam dabit jucundam huic uxorem.
Ne sane in *congressibus* Lunæ ducas
uxorem domum, aut in pleniluniis;
neque enim nuptiæ faustæ fuerint his diebus.
Considera, num *bonis* cum stellis circumvolvatur,
aut Jove celebri aut Venere splendente
aut etiam bene-vestitæ Majæ inclyto filio;
faciet enim et vitæ magnam gloriam et hilaritatem
moribus, et suavem gratiam et blandam dabit.

Περὶ νόσων.

Νῦν δ' ἄγε μοι, κούρη Πιμπληιάς, ἔννεπε Μοῦσα,
ὅσσα φέρει νούσοισιν ἀκήματα δῖα Σελήνη,
ὅσσα τε λυγρὰ πέλονται ἐν εἰδώλοισι θεούσης
δώδεκα, τοῖς ἔνι τέρμα πολυτλήτου βιότοιο.
εἰ μέν γ' εἰαρινοῖσιν ἐν ἀστράσιν Ἀρνειοῖο

III. De morbis.

Nunc vero age mihi, puella Pimpleia, cane, Musa,
quot ferat *morbis* medicamina diva Luna,
quotque perniciosa sint in signis currente
duodecim, in quibus inest terminus multum-ærumnosæ vi-
Si quidem vernis in sideribus *Arietis* [tæ.

πασιφαὴς εἰλοῖτο βροτοῖς πανδῖα Σελήνη,
ὁππότε τις νούσῳ ἀρήμενος ἀλγινοέσσῃ
ἀργαλέην ἴσχῃσι μεληδόνα, μή νύ τι πῆμα
δειδίχθαι· Παιὼν γὰρ ἐναίσιμος ἀνθρώποισιν.
εἴθε δ' ἴοις, ἢν τοῦδε κατ' εἰδώλοιο φέρηται
εὐδερκὴς κερόεσσα Σεληναίη κλυτόπωλος,
ἔμπλην ἀργαλέων ὀδυνάων ὀξειάων,
αἵτε κάρηνον ἔχουσιν ὀΐζυροῖο βροτοῖο·
αἶδε γὰρ οὔτι ταχεῖαν ἐπαυρίσκονται ἀρωγήν.
εἰ δὲ γυνὴ βαρύθῃσιν ἐπ' ὠδίνεσσι μογεῦσα,
ἡμιτελῆ γυίων ἀποσείσεται ἀκλέα παῖδα,
πρὶν φάος ἠελίοιο φίλοις ὤπεσσιν ἀθρῆσαι.
ἤματι μὲν πρώτῳ μάλ' ἀεικελίῃ ὑπὸ νούσῳ
μοχθήσει, καί τ' ἐγγὺς ἀδευκέος ἔσσετ' ὀλέθρου·
εἰ δὲ φάος μὲν ἔχοι Κριῷ ἔπι δεύτερον ἦδη,
σώζεται ἐκ καμάτοιο φυγοῦσ' ἐρώδυνον ἄτην.
ἢν δὲ κατ' εὐκεράοιο Βοὸς μετανισσομένη που
ἰνδαλθῇ κερόεσσα, τότ' αὖ μέγα θαρσαλέος τοι
αὐδήσω πτοιητὸν ἐπ' ἀνέρι πορσύνουσαν
ἦτορ καὶ πραπίδων ἑτερήρεα δύσφορον ὁρμὴν
πλαζομένοιο νόοιο, πότμον γε μὲν οὔτι φέρουσαν
νοῦσον, ἔχειν δ' ὠκεῖαν ἀκεσφορίην ἐρατεινήν.
εἰ δέ τι δειρῆς ἐντὸς ἔχοις ὀλοφώιον ἄλγος,
ᾗχί τε σύριγγες σφάγιαι βροτὸν ἀμφὶς ἔχουσιν,
φράζεσθαί σ' ἐπέοικε κυνάγχης λοίγιον ἄχθος.
μὴ μὲν δὴ πρώτῳ ἐνὶ ἤματι τῷδε λεχοὼς
ἀμβλώσοι, ῥιγηλὸν ὀπαζομένῳ κακὸν οἶτον·
δευτέρῃ εἰν ἠοῖ δὲ πέλοι ἐλαφρώτερον ἄλγος,
εἰ τόκος ἐκ μελέων ἀνεμώλιος ἀΐξησιν.
μὴ μὲν δὴ Διδύμοισιν ἐπιθρώσκουσα Σελήνη
ἰξύος ἄλγος ἄγοι, μηδ' ὤμοισιν κακότητα
ἢ πάρεσιν μελέεσσι φέροι· δύστληθι γὰρ ἔσται
κήδεα, καὶ δ' ἂν ἀκεσφορίην ἀνεμώλιον ἔλποι.
ἢν δέ τις ἄλλη νοῦσος ἐπιβρέμῃ, εἰ μὲν ἐν ἠοῖ
πρώτῃ κλινοπετῆ τεύχοι βροτόν, ἐς χρόνον ἄξει
ἴησιν, δηρὸν δ' ἂν ἐνὶ λεχέεσσι κλιθείη,
τηκόμενος δυσρῆσι πανημαδὸν ἐλπωρῇσιν·
εἰ δ' ἀρχὴ καμάτοιο πέλοι ἐνὶ δευτέρῃ ἠοῖ,
ἦ τ' ἂν ὄγ' ὠκείῃσιν ὑπ' ἀρτεμίῃσιν ἔχοιτο,
ἤματ' ἐπὶ τρία μοῦνον ἐνὶ λέκτροισι μογήσας.
ἢν δὲ γυνὴ τῆμόσδε φέρουσ' ὑπομήτριον υἷα
ἀμβλώσῃ, ξυνήν κεν ἐς Ἀΐδα παιδὶ κέλευθον
στέλλοιτ', εἰ μή τίς μιν ἐρύσσεται ἥπιος ἀστὴρ
ἀγλαοφεγγέα δῖαν ἐσαθρήσας κερόεσσαν.
πρηΰτατος δὲ πέλει κάματος βροτῷ αὐδήεντι,
εἴ κεν συμφορέηται ἀγαυῇ Θειαντίνῃ
Καρκίνῳ αἰγλήεντι, θοὴν δὲ φέρει ἐπαρωγήν.
μοῦνον μὴ στέρνοισιν ἔχοι ὀλοφώιον ἄλγος·
δυσπονέως γάρ μιν Παιήονος ἔργα σαώσοι.
μηδὲ ποδὸς πληγή μιν ἐπεισέρχοιτ' ὀδύνῃσιν·
τῆμος δὴ γὰρ ἂν οὔτι μετ' ἀρτιπόδεσσι λέγοιτο.
ἄμβλωσις δ' οὔπερ τι φέρει κακόν, οὐδέ τι λοιγόν,
κούφως δ' αἱμορύτοισιν ἐπ' ὠδίνεσσι πονοῖτο
ἡμιτελὲς ῥίψασα γυνὴ ἀνεμώλιον ἄχθος.

omnibus-lucens hominibus divina Luna,
quando quis morbo correptus doloroso
gravem habeat curam, ne quid mali
metuat; Pæon enim fautor est hominibus.
Utinam autem sis, si hoc in signo feratur
pulcre-videnda cornuta Luna equis-inclyta,
sine gravibus doloribus acutis,
qui caput occupant miseri hominis;
hi enim non promptum-inveniunt auxilium.
Sin mulier gravetur partus-doloribus laborans,
semiperfectum membris enitetur ignobilem puerum,
antequam lumen solis dulcibus oculis adspiciat.
Die quidem primo valde misero ex morbo
laborabit, atque prope aberit ab acerbo interitu;
sin lucem habeat in Ariete jam secundam,
servatur ex labore fugiens dolorosam calamitatem.
Sin ad bene-cornutum *Bovem* adveniens
apparuerit cornuta, tunc vero valde audacter tibi
dicam timidum in viro parantem
cor et præcordiorum nutantem gravem impetum
errantis mentis, interitum tamen non ferentem
morbum, habere autem celerem curationem amabilem.
Sin aliquem intra collum habeas exitialem dolorem,
ubi venæ jugulares mortalem utrimque tenent,
observare te oportet cynanches noxium onus.
Ne sane primo die hoc puerpera
abortum-faciat, tremendam afferente malam mortem;
secunda in luce autem mitior erit dolor,
si fœtus ex membris irritus prodierit.
Ne sane *Geminis* incedens Luna
lumbi dolorem afferat, neque humeris malignitatem [erunt
aut solutionem membrorum ferat; toleratu-difficilia enim
mala, et curationem-allatam in-vanum sperare-faciant.
Sin quis alius morbus immineat, si quidem in luce
prima lecto-cubantem faciat hominem, in tempus extrahet
curationem, et diu in lecto recubet,
liquefactus molesta totum-diem spe;
sin initium laboris sit in secunda luce,
profecto hic celeribus sanationibus teneatur,
dies in tres solum in lecto laborans.
Sin mulier tunc ferens uterinum puerum
abortum-fecerit, communem in Orcum cum puero viam
incedat, nisi aliqua eam servaverit mitis stella
pulcre-splendentem divam adspiciens cornutam.
Mitissimus autem est labor homini vocali,
si congrediatur fulgens Theantis
Cancro splendenti, et promptum fert auxilium:
solum ne pectoribus habeat exitialem dolorem;
difficile enim eum Pæonis opera sanaverint,
neque pedis plaga eum ingrediatur cruciatibus;
tunc enim non jam inter pedibus-sanos numeretur.
Abortus vero nullum fert malum neque perniciem,
sed leviter sanguineis partus-doloribus laboraverit
imperfectum excutiens mulier inutile onus.

καὶ μὴν ἠῢγένειον ἐπιστείχουσα Λέοντα
εἴη τοι πρηεῖα καὶ ἤπιος· οὔτι γὰρ ἐσθλὸν
ἄρξασθαι τῆμόσδε δυσηλεγέος καμάτοιο·
οὐ γάρ κεν προφύγοισθα κακὸν φλογερῶν ὀδυνάων,
εἰ μὴ γαστέρος ὦκα βάλοις ἄπο λύματα πάντα.
οὐ μὲν δὴ κυέουσαν, ὅτ' ἀμβλώσειε, γυναῖκα
ῥεῖά κεν οὐδ' αὐτὴ Παιηονὶς ἰήσαιτο
Ἠπιόνη χείρεσσιν ἀκεσφορίην ἐπάγουσα.
εἰ δ' ἄρα συμφορέοιτο Δίκῃ πανδῖα Σελήνη,
δηρὸν ἀμυδρὴ νοῦσος ἐφημερίοις κε πέλοιτο
ἀνθρώποις· πότμον δ' ὑπαλεύεται, ὅς κεν ἐν ἠοῖ
ἄρξηται κείνῃ μογέων εὐήρεα γυῖα.
μοῦνον μὴ στομάχοιο κακηπελίῃ βαρύθοιτο
ἢ πλευρῆς· οὐ γάρ τι φέροι λαιψηρ' ἂν ὑγείην.
μηδέ τις αἵματος ἀνδρὶ ῥοὴ τῆμόσδε πέλοιτο,
μηδέ τι θηλυτέρῃσιν ἐφανδάνοι ἀμβλώεσθαι,
τηνίκα λοιγὸν ἄγει γὰρ ἀνάρσιον· εἰ δὲ τύχῃσιν
ὠδῖνα ζωοῖσιν ἐπὶ βρεφέεσσι λύεσθαι,
ἦ τ' ἂν ἐλαφρίσσαιτο πόνον στυγερῶν ὀδυνάων
Ἀστραίη κούρη σταχυηφόρος ἠπιόδωρος.
δείδιθι Χηλάων ἐνὶ τείρεσι χρυσοέθειραν
Μήνην, μηδέ τε νούσῳ ὑπ' ἀργαλέῃ μεμογηκὼς
κλινοπετὴς γίνοιο· φέρει δ' ὀλοφώιον ἄστρον
δοιῶν μοιράων ἑτέρην βροτῷ ἀλγινόεντι,
λαιψηρὴν ὑγίειαν ἢ αἰνότλητον ἀνίην,
εἴ κεν δηθύνῃσι πόνος, καὶ ἀδευκέα πότμον,
καί τε γυναιξὶν ὄλεθρον, ὅτ' ἂν βρέφος ἐκπροθόρῃσιν
ψυχαλιπὲς μελέων· τὰ δέ σε φρεσὶ πευκαλίμῃσιν
φράζεσθαι ἐπέοικεν, ἵν' ἄλγεα δεινὰ φύγῃσθα.
ὀκταπόδην δ' ἐπὶ θῆρα φανεῖσ' εὔωπις ἄνασσα
Σκορπίον, ἐν πρώτῃ μὲν ἐναίσιμος ἠριγενείῃ·
εἰ δέ γε δεύτερον ἦμαρ ἄγοι, κίνδυνον ἰάψει.
Τοξευτῆρι δ' ἐλαφρῷ ὁμοδρομέουσα Σελήνη
μειότερον θήσει κάματον βροτῷ, ὦκα δὲ καλὴν
ἀρτεμίην ὀπάσειε φλῆν εὐήρεα γυῖα.
αὖτως δ' Αἰγοκερῆα διαστείχουσα φερίστη,
ὠκείην γυίοισιν ἄγουσ' ἐπιτάρροθον ἀλκήν.
μὴ μὲν ἔοι τῆμόσδε περὶ πλευρῇσι μογῆσαι
ἀνέρι, μηδέ τι λῦμαρ ἐν ἰσχίῳ ἐμπελάσειεν·
δηρὸν γὰρ βροτὸν ἄνδρα κακηπελίη δαμάσειεν.
εἰ δὲ γυνὴ μογερῶν γυίων βρέφος ἠλιτόμηνον
ἔνδοθεν ἐκπροβάλῃσιν ὑφ' αἱματόεντι μιασμῷ,
ἤματι μὲν προτέρῳ παῦρον πόνον ἐγγυαλίξει,
ἕμπης δ' Ἠελίου κεχαρήσεται ἀκτίνεσσιν,
δηρὸν ὁρῶσα φάος τερψιμβρότου Ἠελίοιο·
δευτέρῃ εἰν ἠοῖ δὲ κακώτερον ἄλγος ὀπάσσει.
Ὑδροχόον δ' ἐφέπουσα φαεσφόρος αἰγλήεσσα
ἄλλας μὲν νούσους ἰήσεται· εἰ δέ κε κρείσσων
χρειὼ ἀναγκαίη σε βιήσεται αἰνὰ παθόντα
ἀργαλέου ὑδέροιο, τότ' αὖ κακότητα φράσασθαι
δύστλητον· τοίην γὰρ ἐπὶ σμυγερὴν ἄγει ἄτην.
ἠοῖ δὲ πρώτῃ χαλεπὴ πέλει, εὖτε γυναικὶ
ἀμβλωσις γίνηται ὀΐζυροῖο τόκοιο·
εἰ δ' ἄρα δεύτερον ἦμαρ ἄγοι φαεσίμβροτος αἴγλη,

Profecto barbatum obiens *Leonem*
sit tibi jucunda et mitis; neque enim bonum
incipere tunc aerumnosum morbum;
neque enim profugeris malum ardentium dolorum,
nisi e-ventre celeriter ejicias sordes omnes.
Nec vero gravidam, si abortum-fecerit, feminam
facile vel ipsa Pæonia sanaverit
Epione manibus curationem applicans.
Sin congrediatur *Justitiæ* divina Luna,
diu obscurus morbus diurnis sit
hominibus; mortem autem evitat, qui quidem in luce
incipiat illa laborare pulcris membris:
modo ne stomachi malo-habitu gravetur
aut lateris; neque enim facile auferat sanitatem.
Neque aliqua sanguinis fluxio viro tunc accidat,
neque mulieribus placeat abortum-facere,
tunc interitum enim infert crudelem; sin contingat
partum vivente fœtu solvi,
profecto allevaverit laborem terribilium dolorum
Astræa virgo spicam-gerens munifica.
Metue *Chelarum* in signis auricomam
Lunam, neque morbo molesto afflictus
lecto-affixus fias; fert enim exitiale sidus
ex-duabus sortibus alteram homini misero,
celerem sanationem aut male-tolerandam luem,
si moretur labor, et amaram mortem,
atque mulieribus exitium, quando fœtus prosilierit
exanimatus e-membris; hæc vero te mente prudente
considerare oportet, ut dolores graves effugias.
Octipede in fera apparens pulcra regina
Scorpio, in prima quidem propitia est aurora;
si secundum diem agat, periculum afferet.
Sagittario autem celeri concurrens Luna
leviorem faciet laborem homini, celeriter autem bonam
sanationem præbeat amicam et bene-apta membra.
Pariter *Capricornum* pergradiens optima (est),
promptam membris ferens auxiliarem salutem.
Ne sane accidat tunc circa latera laborare
viro, neque aliqua noxa in lumbis resideat;
diu enim hominem malus-status domuerit.
Sin mulier miseris membris infantem immaturum
intus ejicit cruento inquinamento,
die quidem primo parvum laborem dabit,
prorsus autem Solis gaudebit radiis,
diu videns lumen homines-oblectantis Solis;
secundo vero die graviorem dolorem affert.
Aquarium autem insequens lucifera splendida
alios quidem morbos sanabit; sin autem potentior
gravis necessitas te oppresserit terribilia patientem
molestæ aquæ-intercutis, tum vero malignitatem considera
male-tolerandam; talem enim terribilem adducit noxam.
Die primo difficilis est, quum mulieri
abortus fuerit miseri partus;
sin secundum diem ducat hominibus-lucens splendor,

μειότερον τελέσειε πόνον λῆξίν τ' ὀδυνάων.
Ἰχθύσι δ' εἰαρινοῖσι παλίγκοτα πήματα φεύγει
ῥηιδίως, εἴπερ τε νόσῳ δέμας ἀλγυνθείη·
εἰ δέ τε νειαίρης γαστρὸς λύσις ἀντήσειεν
ἢ νεύρων, τάτε φωτὶ ποδῶν ὑποέκλασεν ἄρθρα,
οὐκ ἂν ῥηιδίως μιν ἀπήμονα πορσύνειας.
χρὴ δέ σ' ἐπίφρονα μῆτιν ἐνὶ στέρνοισιν ἔχοντα
ἴδμεναι, οὕνεκα δῖα Σεληναίη κλυτόπωλος,
εἰ μὲν συμφορέηται ἐνηέσιν ἀστράσι καλοῖς,
εὐδερκεῖ Φαέθοντι ἢ εὐσκόπῳ Ἑρμάωνι
ἠὲ Πάφου μεδεούσῃ ἀγαυῇ Κυπρογενείῃ,
κουφότερον τελέει πόνον ἀνέρι, καὶ λύσιν ἄλγους
ὦκα φέρει, πρὶν αἴστῶσαι εὐήρεα γυῖα·
εἰ δέ τε λοίγιον ἄστρον ὁμοδρομέῃ κεροέσσῃ,
ἢ Φαίνων δύστλητος, ἢ Ἄρης ἐγρεκύδοιμος,
πλειότερον κάματον τελέσει καὶ ἀεικέα νοῦσον.
θηλυτέρῃσι δὲ πάντα κακώτερα φαίνεται ἄστρα,
ὅσσα διαστείχῃσιν ἀγαυὴ Θειαντίνη·
καὶ γὰρ Ζηνὶ συνοῦσα καὶ αὐτῇ Κυπρογενείῃ
ἀμβλώσεις χαλεπάς τε δυσηλεγέας τε τίθησιν.
ἀλλὰ σύ μοι μούνην πανδερκέα βούλεο Μήνην
ἔμμεναι, εὖτε γυναικὶ πέλει ἀμβλώσιμον ἦμαρ.

leviorem faciat laborem cessationemque dolorum.
Piscibus in-vernis infesta mala fugat
facile, si quidem morbo corpus afficiatur;
sin imi ventris fluxio occurrat
aut artuum, qualia homini pedum infringunt membra,
non facile eum sanum præstiteris.
Oportet autem te prudens consilium in pectore gerentem
scire, quod divina Luna equis-inclyta,
si quidem congrediatur *beneficis* stellis pulcris,
bene-conspicuo Jove aut provido Mercurio,
aut Paphi regente admirabili Venere,
mitiorem efficiet laborem *viro*, cessationemque doloris
celeriter fert, antequam exstinguantur bona membra;
sin vero *noxium* sidus simul-currat cum cornuta,
aut Saturnus male-tolerandus, aut Mars bellum-ciens,
majorem laborem perficiet et turpem morbum.
Feminis autem *omnia* pejora apparent sidera,
quæcumque permeet illustris Theantine;
etenim Jovi conjuncta et ipsi Veneri
abortus duros atque acerbos efficit.
Sed tu mihi solam omnia-videntem velis Lunam
esse, quando mulieri venit abortivus dies.

Περὶ τομῆς καὶ χειρουργίας.

Νῦν δ' ἄγε μοι κατάλεξον, ἐΰθρονε πότνια Μοῦσα,
πῶς κεν ἄνευ λοιγοῖο τομεὺς ἐπὶ φωτὶ σίδηρος
ἀρτεμίην τεύξειεν, ὑπ' ἰητῆρος ἀγαυοῦ
σώματι δυσπαθέοντι λύσιν καμάτοιο τιτύσκων.
εἰ μὲν ἀπ' Ὠκεανοῖο νέον προφάνησιν ἀγαυὴ
Πληιάσιν κεροέσσ', ἢ καὶ πανδῖα Σελήνη
Ταύρῳ ἐπιδρομέουσα κατ' οὐρανὸν ἰνδάλληται,
ἠὲ καὶ ὑγροφόροιο κατ' Αἰγοκερῆος ὀδεύοι,
φείδεό μοι χάλυβος, μηδ' ἐς χέρα τῆμος ἵκοιτο
ἀκμὴ παμφαίνοντος ἐϋσμήκτοιο σιδήρου,
μηδὲ τέμοι χρόα φωτός, ἐπεὶ μογεροῖσιν ἰάψει
ὦκα πόνοις, μὴ δ' αὖτις ἀναβλήδην γε τάμοιο.
αὕτως δ' ἢν φορέηται ἐπ' ἀστράσιν Ἰκαριώνης
παρθένου, ἡσυχίην ἀγέμεν πολὺ λώιον εἴη.
μὴ μὲν δὴ κελάδοντος ἀπ' Ὠκεανοῖο φέροιτο
Ἀστραίη κούρη σταχυηφόρος· ἦ γὰρ ἀνίας
τεύξει τεμνομένοισι καὶ ἄλγεα δακρυόεντα.
ὡς δ' αὕτως τροπικοῖσιν ἐν εἰδώλοις ἀλέασθαι
πανδῖαν στείχουσαν, ἐπεὶ πολὺ βέλτερον ἔσται
ἀτρεμίην ἐχέμεν. μηδ' ἐν συνόδοισιν ἐούσης
θηγαλέῳ σὺ τάμοια δέμας μορόεντι σιδήρῳ.
αὕτως δ' αὖ διχόμηνον ἀλεύεσθαι ἐπέοικεν.
φράζεσθαι δ', εἴ κεν στυγερῷ Πυρόεντι συνείη,
μὴ θαμάκις χρειώ σε τομῆς ἐπὶ φωτὶ λάβῃσιν.
ὡς δ' αὕτως τοῖς ἐστιν Ἄρης ἐνὶ δεικήλοισιν
ὡρονομῶν, πολλῇ μὲν ἐφημερίους κακότητι
βλάψει, εἴ κεν ἀκμὴν χαλυβηίδα σώματος ἄγχι
δέξωνται, καὶ δ' ἄν κε καὶ αἵματος ἄσχετον ὁρμὴν
τεύξειεν βλύζοντος ἄδην στυγερῇ ὑπ' ἀκωκῇ.
εἰ δὲ Κρόνῳ συνίῃσι φαεσφόρος ἀργέτα Μήνη,

IV. De secando et chirurgia.

Nunc age mihi recense, pulcro-throno-insidens veneranda
quomodo sine pernicie *secans* viro *ferrum* [Musa,
sanitatem efficiat, per medicum probum
corpori graviter-patienti solutionem laboris parans.
Si quidem ab Oceano recens præfulgeat splendida
Pleiadibus cornuta, aut etiam divina Luna
Tauro incurrens per cælum appareat,
aut etiam imbrifero in *Capricorno* eat,
parce mihi chalybi, neque in manum tunc veniat
acies præfulgidi bene-detersi ferri,
neque secet cutem viri, quoniam ærumnosis incessiet
celeriter laboribus, neve rursus denuo secueris.
Æqualiter, si feratur in sideribus *Icarionæ*
virginis, quietem agere multo melius sit.
Ne sane turbido ab Oceano feratur
Astræa virgo spicam-gerens; profecto enim ærumnas
efficiet sectis et dolores lacrimosos.
Ita etiam *tropicis* in signis vitato
divinam gradientem, quoniam multo melius erit
quietem habere. Neque in *congressibus* versante,
acuto tu ferias corpus exitioso ferro.
Similiter etiam *plenilunium* vitare oportet.
Considera autem, si forte horrido *Marti* congrediatur,
ne frequenter necessitas te sectionis in homine deprehendat.
Ita etiam quibus inest *Mars* in signis
horam-regens, multa quidem mortales calamitate
lædet, si mucronem ferreum in corpus
receperint, atque etiam sanguinis irrevocabilem impetum
efficiat scaturientis abunde tristi sub mucrone.
Sin *Saturno* congrediatur lucifera candida Luna,

καί τε τομὴν ἐπάγῃσιν ἀνὴρ Παιῶνι μεμηλώς,
δηρὸν μοχθήσειε, τέλος δ' ἀναδέξεται αἰνόν,
καί τε δυσαχθέα νοῦσον ἐπ' ἀνέρι τῷδ' ὀπάσειεν.
εἰ δέ τ' ἄνευ καμάτοιο καὶ αἰνοτλήτου ἀνίης
βούλεαι ἐντύνασθαι ἀσσητῆρα σίδηρον,
Μήνην αὐγάζοιο σὺν αἰγιόχῳ Κρονίωνι
ἠὲ Διωναίῃ, καὶ δ' εἰ φάος ἐλλιπὲς εἴη
λῆγον ἀπὸ διχομήνου ἐπ' εἰκάδι καὶ δ' ἔτι πρόσσω
πλὴν συνόδου· λώιον γὰρ ἀκεστορίην ἀνύσαιο,
ἢν ἀλέῃ συνόδοισι μεμυκότα φάεα Μήνης.
ὣς δ' αὕτως συνιόντες ἀπ' Ὠκεανοῖο ῥοάων
Φωσφόρος ἠ Φαέθων τελέουσ' εὐήρεα τμῆσιν.
αὕτως δ', εἰ φλέβα κεῖραι ὑφ' αἵματι πεπληθυῖαν
ἱμείρεις, ταύτῃσιν ἐφημοσύναις πεπίθοιο.

Περὶ δραπετῶν.

Εἰ δ' ἄρα καὶ δμώων ὀλοφώια ἔργα πύθοιο,
οἵ ῥά θ' ἑοὺς λείποντες ἐνὶ μεγάροισιν ἄνακτας
γαῖαν ἐς ὀθνείην ποσὶ καρπαλίμοις ἀλάλητται,
δρῆσται ἀταρτηροί, φιλίην λείποντες ἑδητύν,
οὔτε τραπέζης μνῆστιν ἐφεστίου, οὐ Κρονίωνος
Ἑρκείου σέβας ἁγνὸν ἐνὶ πραπίδεσσι σέβοντες,
ἀλλὰ σὺ καὶ τοίων μερόπων ἐπιφράζεο μοῖραν.
ἢν μὲν ἔῃ πανδῖα μετ' εὐπόκου Ἀρνειοῖο,
ὠκά μιν εἰσανάγοιο· τάχ' ἂν δὲ καὶ αὐτὸς ἵκοιτο
δεσπόσυνον ποτὶ δῶμ' ὑποδείλος, ἠΰτε τις φώρ,
παλλόμενος κραδίην ὑπὸ δείματι, καὶ δέ κεν ὤπας
ταρβαλέοις δακρύοισι πεφυρμένος ἰνδάλλοιτο.
ἢν δέ γε Ταῦρον ἔχῃσι παλίμφοιτος κερόεσσα,
ἀνέρος ἀφνειοῦ ἐνὶ δώμασιν ἠλασκάζων
δμὼς ὀλοὸς κρύπτοιτο· μόλις δὲ καὶ εἰς ἑὸν οἶκον
σπουδῇ ἀναγκαίῃ μιν ἄναξ ὑποδέξεται αὖτις,
ὀτλήσας μάλα πολλὰ καὶ ἐν πραπίδεσσι μογήσας.
ἢν δ' ἐν Ἀμυκλαίοισιν ἴδῃς κεράωπα Σελήνην
ἠιθέοις, ταχέως μιν ἑὸν δόμον εἰσανάγοιο·
ἢν δ' ἄρ' ἀλεύηται πέντ' ἤματα κρυπταδίῃ τε
λανθάνῃ, ἦ τ' ἂν μιν τρίτατον μετὰ μῆνα δέχοιο.
εἰ δέ γε Καρκίνον οἶκον ἐὸν βασίλεια Σελήνη
ἴχνεύῃ, τέτμοις κεν ἐν ἱερῷ ἄλσεϊ δμῶα,
ἠὲ καὶ ἐν τεμένει κρυφίην ποιεύμενον αὐλιν,
δευτέρῃ εἰν ἠοῖ· θεόθεν δ' ἱκέτην ἀνάγοιο
ὀρθῇσιν χαίτῃσι πεφρικότα βαμβαίνοντα.
ἢν δὲ Νεμειήταο πέλῃ κατὰ μέτρα Λέοντος,
εἰ μὲν ἐπὶ πρώτῃ ἠοῖ δρόμον ἐντύνειεν,
λήσεται, οὐδέ μιν αὖτις ἐφ' ἑστίῃ οἷο ἄνακτος
ἀθρήσαις θεράποντα φυγόπτολιν· εἰ δέ γ' ἐν ἠοῖ
δευτατίῃ αἱροιτο φυγήν, οὐ πάντα τελέσσει
δρησμοσύνης· εὕροις δ' ἂν ἐνὶ μεγάροισί μιν ἀνδρὸς
ἀφνειοῦ, γαίοντος ἀγηνορίῃσι νόοιο·
δίζεο δ' ἐν χώρῃ μιν ἢ εἰν ἐριθηλεῖ κήπῳ.
εἰ δὲ Σεληναίης ἐνὶ Παρθένῳ ἴχνευούσης
λείποι οἶκον ἄνακτος, ἅλοις κέ μιν ἐν πολέέσσιν
ἤμασι· δηθύνει γὰρ ἀπόκρυφος, εἴ κ' ἐνὶ τῷδε
δειχήλῳ Μήνης εὐφεγγέος αἰθροπολούσης

atque sectionem injiciat vir Pæoni operatus,
diu laboraverit, finem vero suscipiet malum,
atque male-gravem morbum viro huic induxerit.
Sin sine labore et gravi mœrore
vis dirigere sospitans ferrum,
Lunam adspicias cum ægidem-tenente *Jove*
aut *Venere*, atque etiam si lumen *deficiens* sit,
cessans a plenilunio ad vicesimam et ulterius etiam
præter congressum; melius enim sanitatem perfeceris,
si vitaveris congressibus coalescentia lumina Lunæ.
Ita etiam congredientes ab Oceani fluctibus
Venus et *Jupiter* efficiunt salutarem sectionem.
Ita, si venam incidere sanguine repletam
desideras, his mandatis obediveris.

V. De fugitivis servis.

Si vero etiam *servorum* noxia opera scisciteris,
qui suos relinquentes in ædibus dominos
terram in externam pedibus celeribus vagantur,
famuli pravi, amicum linquentes victum,
neque mensæ memoriam domesticæ, neque Jovis
Hercei reverentiam sanctam in præcordiis colentes,
at tu etiam horum mortalium animadverte sortem.
Si quidem sit divina cum gerente-pulcrum-vellus *Ariete*,
cito eum retraxeris; celeriter autem etiam ipse venerit
